των ἐν ἄρισα δρεώης, διατρέχων [14]) τὸν κάλλιστον δίαυλον παρὰ μέρος, ἐν βιβλίοις ἀεὶ παίζων τε καὶ σπουδάζων. ἀξιῶ γὰρ ἐγὼ τὸν Φιλόσοφον, μηδ' ἄλλο τι καινὸν, μηδ' ἀγεροῖκον εἶναι, ἀλλὰ καὶ τὰ ἐκ χαρίτων μυεῖσθαι, καὶ ἀκριβῶς Ἕλληνα εἶναι, τῦτ' ἔστι δύνασθαι τοῖς ἀνθρώποις ἐξομιλῆσαι, τῷ μηδενὸς ἀπείρως ἔχειν ἁλσυγίμε συγγράμματος. ἔοικε γὰρ ὐδ' ἄλλο τι γεγονέναι προοίμιον Φιλοσοφίας, ἡ πολυπραγμοσύνη γνώσεως, καὶ ἐν παισὶν ἡ Φιλόμυθος Φύσις, ὑπόσχεσίς ἐστι Φιλοσόφε τέλεος. καὶ δῆτα τίνος ἂν εἴη τέχνη καὶ ἐπιστήμη τέχνης ἢ ἐπιστήμης, ἢς ἐν τῷ λόγῳ τῦ εἶναι, τὸ πάσαις ἐποχεῖσθαι παραλαμβάνεται· εἰ μὴ Φιλοκερινοίητε αὐτὰς, καὶ τὴν μὲν ἐκ περιωπῆς ἀποσκοπᾶτο, τὴν δὲ καὶ πρόσω ἴδσαν περιεργάζοιτο, δορυφορεῖτο δ' ὑφ' ἁπασῶν, ὥσπερ ἔοικε τῇ βασιλίδι. τὰς δὲ Μύσας ἐχ ὁμῶ τε ἔσας ἐμφαίνει τὸ ὄνομα, θεῶν κεκλεσμένων, ἢ ἀνθρώπων γε θεῦ φήμῃ χρωμένων; χορός τέ ἐσι, δι' αὐτὴν ὅπερ τὴν σύνοδον· μίας δὲ αὐτῶν ἑδεμιᾶς χωρὶς, ἔτε ἐν συμποσίῳ θεῶν ἐπιδείκνυται τὸ οἰκεῖον ἔργον, ἔτε τυγχάνει παρὰ ἀνθρώποις βωμῶ καὶ νεῶ. καίτοι τινὲς ἤδη Φύσεως ἐνδεᾶ κατασκερματίζεσιν αὐτῶν τὸ χωρίζεσθαι μὴ δυνάμενον, καὶ ἕτερος ἑτέρας ἐπίβολος γέγονεν· ἀλλὰ Φιλοσοφίᾳ, τὸ ἐπὶ πάσαις ἐσί. καίτοι τῦτο αἰνίττεται τὸ τῇ συμφωνίᾳ τῶν Μυσῶν, εὐθὺς τὸν Ἀπόλλω παρεῖναι· ὁ δὲ λόγος ἔτος, τεχνίτην μὲν καὶ ἐπιστήμονα καλεῖ τὸν ἀποτερμονόμενον ἡντινῶν ἕδησιν, ἄλλον ἄλλῃ προσήκοντα δαίμονι· Φιλόσοφον δὲ τὸν ἡρμοσμένον ἐκ τῆς ἁπασῶν συμφωνίας, καὶ ἓν τὸ πλῆθος ποιήσαντα. ἢ τῦτον μὲν ἔπω, προσεῖναι δὲ δεῖ τὸ καὶ ἔχειν αὐτὸν ἴδιον ἔργον ὑπερκείμενον τῇ χορῷ, ὥσπερ τὸν Ἀπόλλω λόγος ἔχει. νῦν μὲν ταῖς Μύσαις συνάδειν αὐτὸν ἐξάρχοντα, καὶ ἐνδιδόντα ῥυθμὸν τῷ συςήματι, νῦν δὲ αὐτὸν κατὰ μόνας ᾄδειν· ἐκεῖνο δ' ἂν εἴη τὸ μέλος τὸ

14) γρ. ὡς ἂν ἄρ. ἀνατρέχων m. Morell.

τὸ ἱερὸν, καὶ ἀπόῤῥητον. καὶ ὁ φιλόσοφος ὁ καθ' ἡμᾶς, συνέσται μὲν ἑαυτῷ τε καὶ τῷ θεῷ διὰ φιλοσοφίας· συνέσται δὲ τοῖς ἀνθρώποις διὰ τῶν ὑφειμένων τοῦ λόγου δυνάμεων. ἐπιστήσεται μὲν οὖν, ὡς φιλολόγος· κρινεῖ δὲ, ὡς φιλόσοφος, ἕκαστόν τε καὶ πάντα· οἱ δὲ ἀστεμφεῖς οὗτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως, οὔ μοι δοκοῦσιν οὐδὲ ἑκόντες εἶναι τοιοῦτοι· πενίᾳ δὲ φύσεως μηδὲ τὰ σμικρὰ ἱκανοὶ, ὧν θᾶττον ἂν ἴδοις τὴν καρδίαν, ἢ τὰ ἐν τῇ καρδίᾳ, ἀδυνατούσης τῆς γλώττης ἐξερμηνεῦσαι τὴν γνώμην. ἐγὼ μὲν οὖν καὶ ἀπιστεῖν αὐτοῖς βούλομαι, καὶ οὐδ' ἂν φαίην ἀπόῤῥητόν τι κρύπτειν αὐτοὺς, ὥσπερ τὰς ἑστιάδας τὸ πῦρ· πρῶτον μὲν ὅτι μηδὲ ὅσιόν ἐστι τὰ μεγάλα σοφὸν γενέσθαι, τὸν τὰ μικρὰ μὴ δυνάμενον. ἔπειτα ὥσπερ ὁ θεὸς τῶν ἀφανῶν ἑαυτοῦ δυνάμεων εἰκόνας ἐμφανεῖς ὑπεστήσατο τῶν ἰδεῶν τὰ σώματα, οὕτως ἔχουσα κάλλος ψυχὴ καὶ γόνιμος οὖσα τῶν ἀρίστων, διαδόσιμον ἔχει μέχρι τῶν ἔξω τὴν δύναμιν· οὐδὲν γὰρ ἐθέλει τῶν θείων ἔσχατον εἶναι· εἰ δὲ καὶ κρύπτειν ἐπιτηδειότερος τὰ ἀβέβηλα ὁ παντοδαπῶς ἔχων τοῦ λόγου, καὶ περιβαλλόμενος δύναμιν τοῦ διατίθεσθαι τὰς συνουσίας ᾗ βούλεται· καὶ οὕτω μειονεκτεῖν ἀνάγκη τὸν ἄνδρα ἐκεῖνον, ὃς οὐ προετελέσθη τῷ κύκλῳ, καὶ τὰ Μουσῶν οὐκ ὠργίακε. δυοῖν γὰρ αὐτὸν καταλαμβάνει τὸ ἕτερον, ἤτοι σιγᾷν, ἢ λέγειν, ὅσα νόμος σιγᾶσθαι. ἢ γὰρ δὴ τὰς τῶν ἐν ἄστει τύχας, διαλέξεων ὑποθέσεις ποιήσεται, καὶ φορτικὸς τοῖς ἀνθρώποις συνέσται, ὃ μηδεὶς ἂν ἐλεύθερος ἀξιώσειεν· ἢ βιώσει ἐν σχολῇ γε ὁ τὴν σοφίαν[15]) κορυφαῖος εἶναι ποιούμενος. τυχὸν μὲν γὰρ οὐδ' ἂν εἰ βούλοιτο δύναιτο· πάντως δὲ οὐδ' ἂν δύναιτο, εἰ βούλοιτο. ἄγαμαι δὲ ἐγὼ καὶ τὸν Πρωτέα τὸν Φάριον, εἰ σοφὸς ἂν τὰ μεγάλα σοφιστικήν τινα θαυματολογίαν[16]) προυβέβλητο, καὶ παντοδαπῶς τοῖς ἐντυγχάνουσι συνεμίγνυ-

15) γρ. τὴν φιλοσοφίαν. et
16) γρ. θαυμαστολογίαν m. Mor.

μίγνυτο[17]). ὤχοντο γὰρ ἂν τὴν περὶ αὐτὸν τραγῳδίαν τεθαυμακότες, ὡς μὴ ἐπιζητῆσαι τὴν ἀλήθειαν περὶ ὧν πραγματεύοιντο. ἔστω δέ τι τῷ νεῷ προτεμένισμα τοῖς ἀτελέστοις· ὁ δὲ παιδάσκαξ ἀποσεμνυνόμενος, ἃ κρύπτει μᾶλλον ἢ ἐρεθίζει καὶ ἀναφρίπίζει τὴν ἐν τῇ Φύσει λιχνείαν, ὑφ' ἧς ἕκαστός ἐστι πολυπραγμων τὸ ἀποῤῥήτου. εἰ δὲ μὴ ὁ Ἰξίων ἀντὶ τῆς Ἥρας τὴν νεφέλην ἠγάπησε, καὶ ἠγαπήκει συνὼν τῷ εἰδώλῳ, ἐκ ἂν ποτε ἔσαν εἶναι μεθεῖτο τῆς αὐτόπτου διώξεως. παρασκευαστέον ἂν, ἀντὶ λόγου λόγον, ἀντὶ τοῦ μείζονος τὸν ἐλάττω· καλὸν μέντοι τινὰ καὶ τοῦτον, ᾧ προσεντυχόντες, ὁ μὲν πολὺς ἐνσχεθήσεται καὶ τοῦτον ἀσπάσεται, καὶ ἀδ' εἶναι πρεσβύτερον ἄλλον οἰήσεται· ὁ δὲ λαχὼν φύσεως θείας, ἐντεῦθεν, ἀρθεὶς περινοήσει κἀκεῖνον· ὃν δὲ ὁ θεὸς κινεῖ, τοῦτο καὶ παρ' ἡμῶν ἀνεώξεται τοῖς ἀνακτόροις· ἀδὲ ὁ Μενέλεως ἠγνόησε τὸν ὄντως Πρωτέα, Ἑλλην γὰρ ἀνὴρ ἦν, καὶ τοῦ Διὸς κηδεστὴς ἄξιος, ᾧ μηδὲ τὴν πρώτην ἐπὶ φαύλοις συνῆν. τὸ γὰρ πῦρ, καὶ τὸ δένδρον, καὶ τὸ θηρίον, λόγοι τινὲς ἦσαν περὶ ζώων τε καὶ φυτῶν, ἀλλὰ καὶ περὶ τῶν πρώτων στοιχείων, ὧν σύγκειται τὰ γινόμενα. ὁ δὲ ἀδὲ ταῦτα ἠγάπησεν, ἀλλ' ἐνδοτέρω φύσεως ἠξίει χωρεῖν. θεῖον ἦν ἀτεχνῶς τὸ πᾶσι ἀρκεῖν, ὡς ἕκαστος ἀπολαύειν αὐτοῦ δύναται· ὁ δὲ γενόμενος τῶν ἄκρων ἐπιτυχὴς, μεμνήσθω καὶ ἄνθρωπος ὤν, καὶ δυνάσθω συνεῖναι πρὸς μέτρον ἑκάστῳ. τί ἂν ἂν τις ἀποκηρύττοι τὰς Μούσας, δι' ὧν ἔστι καὶ τοῖς ἀνθρώποις ἀρέσκειν[18]), καὶ τὰ θεῖα τηρεῖν ἀκηλίδωτα[19]), χρωμένῃς ἐπικαλύμματι. εἰ δὲ καὶ ποικίλον ἡ Φύσις ἡμῶν, καμεῖται δήπου πρὸς τὴν ἐν θεωρίᾳ ζωήν· ὥστε ὑφήσει τοῦ μεγέθους καὶ καταβήσεται. ἓ γὰρ ἐσμὲν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζωῇ ψυχῆ· καὶ ἡμῶν ἓν αὐτῶν ἕνεκα μετιτέον τὰς ἀνθρωπινωτέρας τῶν λόγων, ὑποδοχὴν τινας

17) γρ. συνεγίγνετο. 18) γρ. ἐξαρέσκ. et
19) γρ. ἀκηλίδωτα, ἄλλως ἀκηλιδώτῳ m. Mor.

τινα μηχανωμένους κατιούσῃ τῇ φύσει. ἀγαπητὸν γὰρ ἔχοντά που πλησίον ἀπονεῦσαι, καὶ ἀφοσιώσασθαι τῇ ψυχικῇ συστάσει δεομένῃ γλυκυθυμίας, μὴ πόῤῥω πεσεῖν, μηδὲ κατὰ πᾶσαν ζῆσαι τὴν ποικιλίαν τῆς φύσεως. ὁ γὰρ θεὸς τὴν ἡδονὴν περόνην ἐποίησε τῇ ψυχῇ, δι' ἧς ἀνέχεται τὴν προσεδρείαν τοῦ σώματος. τοιοῦτον οὖν τὸ ἐν λόγοις κάλλος· οὐ βαθύνεται πρὸς ὕλην, οὐδὲ ἐμβαπτίζει τὸν νοῦν ταῖς ἐσχάταις δυνάμεσιν, ἀλλὰ δίδωσιν ἀνανεῦσαι δι' ἐλαχίστου, καὶ εἰς τὴν οὐσίαν ἀναδραμεῖν. ἄνω γάρ ἐστι καὶ τὸ κάτω τῆς τοιαύτης ζωῆς. ᾧ δὲ μὴ ἔστιν ἡσθῆναι καθαρὰν ἡδονήν· δεῖ δὲ τοῦ μειλιχίου τῇ φύσει· τί καὶ ποιήσει, ποῦ καὶ τρέψεται. ἆρα οὐ πρὸς ἃ μηδὲ εἰπεῖν ἄξιον; οὐ γὰρ δὴ τὴν φύσιν ὑπερφρονήσουσι, καὶ πρὸς θεωρίαν ἀτρύτως [20]) ἔχειν, ἐροῦσιν ἀπαθεῖς εἶναι ποιούμενοι, θεοὶ σαρκία περικείμενοι· εἰ δὲ λέγοιεν, ἴσων ἀντὶ θεῶν ἢ σοφῶν τε καὶ θείων ἀνδρῶν, χαῦνοι καὶ ἀλαζόνες πόῤῥω γενόμενοι· ἀμείνους δ' ἂν ἦσαν, διαστέλλοντες εὖ τὸ προσῆκον ἑκατέρῳ τῷ γένει. ἀπάθεια μὲν γὰρ ἐν θεῷ [21]) φύσει· ἀρετῇ δὲ ἄνθρωποι κακίαν ἀμειβόμενοι, μετριοπαθεῖς γίνονται· καὶ τὸ φυγεῖν τὴν ἀμετρίαν, αὐτὸ τοῦτ' ἂν εἴη τοῦ σοφοῦ τὸ ἀγώνισμα. ἤδη δὲ ἐγὼ κατενόησα καὶ βαρβάρους ἀνθρώπους ἐξ ἀμφοῖν τῶν ἀρίστων γενῶν, θεωρίαν μὲν ὑπεσχημένους, καὶ κατὰ τοῦτο ἀπολιτεύτους τε καὶ ἀκοινωνήτους ἀνθρώπους, ἅ τε αἴξαντας ἑαυτοὺς ἐκλύσαι [22]) τῆς φύσεως· καὶ ἦσαν αὐτοῖς σεμναί τε ᾠδαὶ καὶ ἱερὰ σύμβολα, καὶ ταυταί τινες πρόσοδοι πρὸς τὸ θεῖον· ταῦτα πάντα ἀποκόπτει κατὰ [23]) τῆς ἐπιστροφῆς τῆς εἰς ὕλην· καὶ βιοτεύουσι χωρὶς ἀπ' ἀλλήλων, τοῦ μή τι χάριεν ἰδεῖν ἢ ἀκοῦσαι.

Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον.

20) γρ. ἀτρώτως. 21) γρ. ἐν θεῶν.
22) γρ. ἑλκύσαι et
23) ἡ (κατὰ παρέλκειν δοκεῖ) m. Morell.

καὶ περὶ τούτων ἄν τις εἰπὼν, οὐ πόῤῥω βάλλοι τἀληθοῦς· ἀλλ' οὐδὲ οὗτοι μέντοι λαμπρῶς οὕτως ἐπαναστάντες τῇ φύσει, καὶ ὡς ἂν ἡμεῖς φαῖμεν δικαιότατοι τυχεῖν ὄντες τῆς ἀρίστης ζωῆς, ἀκμῆτες αὐτῆς ἀπολαύουσιν. ἀλλ' ἐπανάγει καὶ τούτους ἡ ἐπίκηρος φύσις, μικρὸν ἱδρυθέντας [24]) ἐν τῷ μακαρίῳ τῆς οὐσίας αὐτῶν· καὶ οὐ δήπου πάντα ἑξῆς τὸν χρόνον ἐπιπολῆς ἔχουσι τὸν νοῦν, καὶ ἐμφοροῦνται τοῦ κάλλους τοῦ νοητοῦ, οἷς ποτε καὶ γέγονε προστυχές. ἀκούω γὰρ ἐγὼ μηδὲ τούτοις ἅπασι παραγίνεσθαι τὸ τοιοῦτον, ἀλλ' οὐδὲ τοῖς πλείοσιν, ἀλλὰ καὶ τῶν ὀλίγων ἐλάττοσιν, οἷς ἡ πρώτη τε ὁρμὴ γέγονεν ἔνθεος· καὶ μένουσιν ἐπ' αὐτῆς ὅσον ἀνθρώπου φύσις χωρεῖ, πρὸς οὐδεμίαν ἀνθολκὴν τῆς φύσεως μειλισσόμενοι.

Πολλοὶ μὲν γὰρ ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι· οὐδ' οὗτοι μέντοι διαρκῶς ἀνέχονται τῆς βακχείας. ἀλλὰ νῦν μὲν ἐν τῷ θεῷ κεῖνται, νῦν δὲ ἐν τῷ κόσμῳ καὶ ἐν τοῖς σώμασι· καὶ ἴσασιν ὄντες ἄνθρωποι μικραὶ μερίδες τοῦ κόσμου, καὶ ἔχοντες ὑποκειμένας ζωὰς ἐλάττους, ἃς ὑποπτεύουσι· καὶ προκαταλαμβάνουσιν, ὡς μὴ κινοῖντό τε καὶ κατεξανίσταιντο. ἢ τί αὐτοῖς οἱ κάλαθοι βούλονται, καὶ τὰ πλεγμάτια ἅττα μεταχειρίζονται [25]), εἰ μὴ πρῶτον μὲν ἓν ὅ, τι ἦσαν [26]) ἄνθρωποι, τοῦτ' ἔστιν ἐπιστροφὴν πρὸς τὰ τῇδε ποιούμενοι [27]). οὐ γὰρ δὴ θεωροῦσί τε ἅμα καὶ σοφίζονται περὶ τὰ πλέγματα [28])· ἔπειτα τὴν σχολὴν ὑφεωρῶντο, ἧς ἡ φύσις ἡμῶν οὐκ ἀνέχεται, πολλὰς ἀρχὰς ἐνδιδοῦσα κινήσεων. ἵν' οὖν μὴ ἄλλο τι δρῷεν, ἀμφὶ ταῦτα ἔχειν νόμον [29]) ἐν σφίσι πεποίηνται [30]), καὶ ταύτῃ τὴν φύσιν προτρέπονται.

24) γρ. μακρὸν ἱδρυνθ.
25) γρ. τὰ πραγμάτια ἅτ. μεταχειρίσθαι.
26) γρ. ἐν τῷ τότε ἦσ.
27) γρ. πεποιημένη.
28) γρ. τὰ πράγματα.
29) γρ. ἔχει ὅμοιον et
30) γρ. τῇ φύσει προστρέπονται m. Mor.

τεν. καὶ γὰρ δὴ καὶ ἥδονται ταλασιουργοῦντες, καὶ μᾶλλον ὅσῳ πλείω τε καὶ καλλίω. δεῖ γὰρ ἡμῶν εἶναί τι καὶ περὶ τὰ τῇδε· μὴ μέντει τοῦτό γε ἰσχυρὸν, ἵνα μὴ πλέον καθέλκῃ, καὶ λίαν ἀντιλαμβάνηται· καίτοι τοῦ γε Ἑλληνικοῦ τὸ βάρβαρον ἔνστασιν τηρῆσαι ῥαμαλεώτερον· ᾗ γὰρ ἂν ὁρμήσῃ, σφοδρόν τέ ἐστι καὶ ἀνένδοτον· τὸ δὲ ἀστείως τε ἔχει, καὶ ἡμερώτερον κέκραται· ὥστε κἂν θᾶττον ἐκλύοιτο. ἐγὼ δὲ βουλοίμην μὲν ἂν εἶναι τῆς φύσεως ἡμῶν, καὶ ἀεὶ πρὸς θεωρίαν ἀνατετάσθαι· ἀμηχάνου δὲ ὄντος τε καὶ πεφηνότος, βουλοίμην ἂν ἐν τῷ μέρει μὲν ἔχεσθαι τῶν ἀρίστων, ἐν τῷ μέρει δὲ κατιὼν εἰς τὴν φύσιν, ἅπτεσθαί τινος εὐφροσύνης, καὶ ἐπαλείφειν εὐθυμίᾳ τὸν βίον. ἐπίσταμαι γὰρ ἄνθρωπος ὤν, καὶ οὔτε θεὸς, ἵνα δὴ καὶ ἀκλινὴς εἴην πρὸς ἅπασαν ἡδονήν· οὔτε θηρίον, ἵνα τὰς σώματος ἡδάμην ἡδονάς· λείπεται δή τι τῶν ἐν μέσῳ ζητεῖν· τί δ' ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ, νοῦ διέξοδος· κᾆτα εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὃν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον· τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς. εἰ δὲ μὴ, πάντως τὶς εἴδησις ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε, καὶ ποιητικὰ, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι ταῦτα πάντα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει, καταβραχὺ προσεθίζοντα τοῖς ὁράμασιν· ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. οὕτω μὲν ἀνὴρ Ἕλλην, καὶ οἷς τρυφᾷ τὴν ἐπιβολὴν γυμνάζει, καὶ ἀπὸ τῆς παιδιᾶς εἰς τὴν πρώ-

καὶ περὶ τούτων ἄν τις εἰπὼν, οὐ πόῤῥω βάλλοι τἀληθοῦς· ἀλλ' οὐδὲ οὗτοι μέντοι λαμπρῶς οὕτως ἐπαναστάντες τῇ φύσει, καὶ ὡς ἂν ἡμεῖς φαῖμεν δικαιότατοι τυχεῖν ὄντες τῆς ἀρίστης ζωῆς, ἀκμῆτες αὐτῆς ἀπολαύουσιν. ἀλλ' ἐπανάγει καὶ τούτους ἡ ἐπίκηρος φύσις, μικρὸν ἱδρυθέντας [24]) ἐν τῷ μακαρίῳ τῆς οὐσίας αὐτῶν· καὶ οὐ δήπου πάντα ἑξῆς τὸν χρόνον ἐπιπολῆς ἔχουσι τὸν νοῦν, καὶ ἐμφοροῦνται τοῦ κάλλους τοῦ νοητοῦ, οἷς ποτε καὶ γέγονε προστυχές. ἀκούω γὰρ ἐγὼ μηδὲ τούτοις ἅπασι παραγίνεσθαι τὸ τοιοῦτον, ἀλλ' οὐδὲ τοῖς πλείοσιν, ἀλλὰ καὶ τῶν ὀλίγων ἐλάττοσιν, οἷς ἡ πρώτη τε ὁρμὴ γέγονεν ἔνθεος· καὶ μένουσιν ἐπ' αὐτῆς ὅσον ἀνθρώπου φύσις χωρεῖ, πρὸς οὐδεμίαν ἀνθολκὴν τῆς φύσεως μειλισσόμενοι.

Πολλοὶ μὲν γὰρ ναρθηκοφόροι, παῦροι δό τε βάκχοι· οὐδ' οὗτοι μέντοι διαρκῶς ἀνέχονται τῆς βακχείας. ἀλλὰ νῦν μὲν ἐν τῷ θεῷ κεῖνται, νῦν δὲ ἐν τῷ κόσμῳ καὶ ἐν τοῖς σώμασι· καὶ ἴσασιν ὄντες ἄνθρωποι μικραὶ μερίδες τοῦ κόσμου, καὶ ἔχοντες ὑποκειμένας ζωὰς ἐλάττους, ὡς ὑποπτεύουσι· καὶ προκαταλαμβάνουσιν, ὡς μὴ κινοῖντό τε καὶ κατεξανίσταιντο. ἢ τί αὐτοῖς οἱ κάλαθοι βούλονται, καὶ τὰ πλεγμάτια ἅττα μεταχειρίζονται [25]), εἰ μὴ πρῶτον μὲν ἓν ὅ, τι ἦσαν [26]) ἄνθρωποι, τοῦτ' ἔστιν ἐπιστροφὴν πρὸς τὰ τῇδε ποιούμενοι [27]). οὐ γὰρ δὴ θεωροῦσί τε ἅμα καὶ σοφίζονται περὶ τὰ πλέγματα [28])· ἔπειτα τὴν σχολὴν ὑφεωρῶντο, ἧς ἡ φύσις ἡμῶν οὐκ ἀνέχεται, πολλὰς ἀρχὰς ἐνδιδοῦσα κινήσεων. ἵν' οὖν μὴ ἄλλο τι δρῷεν, ἀμφὶ ταῦτα ἔχειν νόμον [29]) ἐν σφίσι πεποίηνται [30]), καὶ ταύτῃ τὴν φύσιν προτρέπονται.

24) γρ. μακρὸν ἱδρυνθ.
25) γρ. τὰ πραγμάτια ἅτ. μεταχειρίσθαι.
26) γρ. ἐν τῷ τότε ἦσ.
27) γρ. πεποιημένη.
28) γρ. τὰ πράγματα.
29) γρ. ἔχει ὅμοιον et
30) γρ. τῇ φύσει προστρέπονται m. Mor.

ται. καὶ γὰρ δὴ καὶ ἥδονται ταλασιουργοῦντες, καὶ μᾶλλον ὅσῳ πλείω τε καὶ καλλίω. δεῖ γὰρ ἡμῶν εἶναί τι καὶ περὶ τὰ τῇδε· μὴ μέντοι τοῦτό γε ἰσχυρὸν, ἵνα μὴ πλέον καθέλκῃ, καὶ λίαν ἀντιλαμβάνηται· καίτοι σοῦ γε Ἑλληνικοῦ τὸ βάρβαρον ἔνστασιν τηρῆσαι ῥαμαλεώτερον· ᾗ γὰρ ἂν ὁρμήσῃ, σφοδρόν τέ ἐστι καὶ ἀνένδοτον· τὸ δὲ ἀστείως τε ἔχει, καὶ ἡμερώτερον κέκραται· ὥστε κἂν θᾶττον ἐκλύοιτο. ἐγὼ δὲ βουλοίμην μὲν ἂν εἶναι τῆς φύσεως ἡμῶν, καὶ ἀεὶ πρὸς θεωρίαν ἀνατετάσθαι· ἀμηχάνου δὲ ὄντος τε καὶ πεφηνότος, βουλοίμην ἂν ἐν τῷ μέρει μὲν ἔχεσθαι τῶν ἀρίστων, ἐν τῷ μέρει δὲ κατιὼν εἰς τὴν φύσιν, ἅπτεσθαί τινος εὐφροσύνης, καὶ ἐπαλείφειν εὐθυμίᾳ τὸν βίον. ἐπίσταμαι γὰρ ἄνθρωπος ὢν, καὶ οὔτε θεὸς, ἵνα δὴ καὶ ἀκλινὴς εἴην πρὸς ἅπασαν ἡδοκήν· οὔτε θηρίον, ἵνα τὰς σώματος ἡδοίμην ἡδονάς· λείπεται δή τι τῶν ἐν μέσῳ ζητεῖν· τί δ' ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ, νοῦ διέξοδος· κἆτα εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὃν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον· τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς. εἰ δὲ μὴ, πάντως τὶς εἴδησις ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε, καὶ ποιητικὰ, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι ταῦτα πάντα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει, καταβραχὺ προσεθίζοντα τοῖς ὁράμασιν· ὥστε θαρσῆσαί ποτε καὶ προσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. οὕτω μὲν ἀνὴρ Ἕλλην, καὶ οἷς τρυφᾷ τὴν ἐπιβολὴν γυμνάζει, καὶ ἀπὸ τῆς παιδιᾶς εἰς τὴν πρώ-

την ὑπόθεσιν ὄφελος ἄρνυται. καὶ γὰρ τὸ κρῖναι, καὶ συνθεῖναι λόγον, ἢ ποίησιν, οὐκ ἔξω νοῦ· καὶ τὸ λέξιν καθῆραί τε καὶ ἀποσμιλεῦσαι, καὶ τὸ κεφάλαιον ἐξευρεῖν τε καὶ τάξαι, καὶ ἑτέρου τάξαντος αὐτὸν ἐπιγνῶναι, πῶς ταῦτα καὶ ἀσπούδαστα καὶ παίγνια; οἱ δὲ τὴν ἑτέραν ὁδὸν τὴν ἀξιουμένην ἀδαμαντίνην εἶναι βαδίσαντες· ὑποκείσθω δὲ ὅπερ ἐστὶν, ἐνίους αὐτῶν τυγχάνειν τοῦ τέλους· ἀλλ' ἔμοιγε οὐδὲ ὁδὸν δοκοῦσι βεβαδικέναι. πῶς γὰρ, ἐν ᾗ μηδεμία φαίνεται καταβραχὺ πρόοδος, μηδὲ πρῶτον καὶ δεύτερον, μηδὲ τάξις; ἀλλ' ἔοικε γὰρ τὸ κατ' αὐτοὺς πρᾶγμα, βακχείᾳ καὶ ἅλματι μανικῷ δή τινι καὶ θεοφορήτῳ, καὶ τὸ μὴ δραμόντας εἰς τὸν ἔσχατον ἥκειν, καὶ μὴ κατὰ λόγον ἐνεργήσαντας, εἰς τὸ ἐπέκεινα λόγου γενέσθαι. οὐδὲ γάρ ἐστιν οἷον ἐπιστασία τις γνώσεως, ἢ διέξοδος νοῦ, τὸ χρῆμα τὸ ἱερόν· οὐδὲ οἷον ἄλλο ἐν ἄλλῳ· ἀλλ' ὡς μικρῷ μεῖζον εἰκάσαι, καθάπερ Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους, οὐ μαθεῖν τι δεῖ [31]), ἀλλὰ παθεῖν καὶ διατεθῆναι, γινομένους δηλονότι [32]) ἐπιτηδείους· καὶ ἡ ἐπιτηδειότης δὲ ἄλογος· εἰ δὲ μηδὲ λόγος αὐτὴν παρασκευάζοι, πολὺ μᾶλλον τούτοις οὖν καὶ ἡ κάθοδος εὐθὺς ἐπὶ σμικράν τινα πρᾶξιν, ἄμεσος αὕτη, καὶ πολὺ πόῤῥω, καὶ ἔοικε πτώματι, καθάπερ τὴν ἀναδρομὴν εἰκάζομεν ἅλματι. οὓς γὰρ οὐ προὔπεμψε λόγος, τούτους οὐδὲ ἐπανιόντας ἐδέξατο. πῶς οὖν ταῦτα ἀλλήλοις ἂν πρέψειε, νῦν μὲν ἐπαφὴν ἔχειν τοῦ πρώτου, νῦν δὲ ἐπὶ ῥῶπας καὶ λύγους ἐστράφθαι. ἀλλ' ὅγε ἄνθρωπος κατὰ τὴν μέσην καὶ ἐπιστατικὴν δύναμιν λογικός ἐστί τε καὶ προσαγορεύεται, ἣν οὐδέποτε γεγυμνάκασιν· οὔκουν ὅσα γε φαίνονται. τὸ μὲν οὖν τέλος, καὶ οὗ δεῖ γενέσθαι, κοινὸν ἀμφοῖν, καὶ τυχόντες οὐδὲν ἂν ἀλλήλων διαφέροιμεν· τὰν μέσῳ δὲ ὁ ἡμεδαπὸς φιλόσοφος ἄμεινον ἔσκεπται· ὁδὸν γὰρ παρεσκευάσατο, καὶ κλιμακηδὸν ἄνεισιν, ὥστε καὶ παρ' ἑαυτοῦ

31) γρ. τι δεῖν, et 32) γρ. δηλονότι γενομένους m. Mor.

ἐμπέτει τοσῆσδε· πρόσθεν γὰρ εἶναι ἐντυχὼν ποτὲ τῷ ἀνδρὶ, καὶ μὴ τυχὼν δὲ, πρὸ οὐδὲ γέγονε, καὶ οὐδὲ τώρα μέντοι σμικρόν· ἀλλὰ διαφέροι ἂν τῶν πολλῶν ἀνθρώπων πλέον, ἢ ὅσον ἐκεῖνοι τῶν βοσκημάτων. ταύτῃ καὶ πλείους ἂν εἶεν οἱ παρ' ἡμῶν ἀφικνούμενοι, κατὰ φύσιν ἐχούσης τῆς ἐπιχειρήσεως. ἐκείνῃ δ', εἰ μή τις αὐτόθεν τύχοι ψυχῆς, ἄνωθεν ἔλκουσα τὴν πρώτην καταβολὴν, καὶ νῷ χρῆμα ἐξαίσιον, οἷον αὐτάρκης εἶναι καὶ παρ' ἑαυτῷ κινηθῆναι. ἀτοῖος Ἀμὼς ὁ Αἰγύπτιος ἂν ἐξεῦρεν, οὐδ' ἂν εἶρεν χρείαν γραμμάτων. τοσοῦτον αὐτῷ τὸ νῷ περιῆν. ὁ δὲ δὴ τοιοῦτος, καὶ δίχα τῆς φιλοσόφου μεθόδου, θᾶττον ἀναλύσειεν. ὁ γάρ τοι φύσις ἀρκεῖ. πολὺ δή πω μᾶλλον, εἰ καί τις αὐτὸν 33) παραθήξειέ τε καὶ ἐκπαλέσαιτο. τὸ γὰρ ἔνδοθεν σπέρμα 34) δεινὸς αὐξῆσαι, καὶ σμικρὸν σπουδῆς λάγυ παραλαβὼν, πυρκαϊὰν ὅλην ἀνάψαι· τούτοις μὲν ἂν οὐδὲν παρὰ τοῦτο μεῖον. εἰ μάγε καὶ περύγε ποιήσει. τὰ τῆς Ἑλληνικῆς δὲ ἀγωγῆς ἢ καὶ τὰς ἥττον αἱρεῖς, προάγει τε καὶ ἀναζωπυρίζει, καὶ τὸ ἐν αὐτοῖς θεῖον ἐκθαλπεῖ· ἐκεῖ δὲ, μόνοι 35) τοῖς ἔνωθεν μακαρίοις τὸ τέλος ἐπιτυγχάνουσιν· σπανιώτερον δὲ δήπου τὸ γένος τῶν τοιούτων ψυχῶν, ἢ τὸ τοῦ Φοίνικος, ᾧ τὰς περιόδους μετρῶσιν Αἰγύπτιοι· οἱ δὲ πολλοὶ μύτην ἂν πονοῖεν καὶ ἀστοχοῦντο, δίχα νῷ τὴν νοητὴν ὁσίαν θηρώμενοι, καὶ μάλιστα ὡς ἐκ τῆς πρώτης Φύσεως ἐπὶ τόνδε τὸν βίον ἐξωρμησεν. ἔστι γὰρ ἂν ὅναντο τῆς ὁρμῆς· μᾶλλον δὲ αὐτὴν ἐγὼ τὴν ὁρμὴν, νῷ κεκινημένῃ γνώρισμα ποιοῦμαι· οἱ δὲ πλείους ἐκ οἴκοθεν ἐκινήθησαν, ἀλλ' ὑπὸ τὸν δευτέρων λεγόμενον πλοῦν ὑπὸ τῆς σχολῆς εἰς νοῦν διεγείροντες· ὥσπερ δὲ ἄλλο τι τῶν εὐδοκιμούντων, τὴν γενναίαν αἵρεσιν ἐζηλώκασι παντοδαποί τε ὄντες τὰ γένη, καὶ κατὰ χρείαν ἕκαστοι συνισάμενοι. περὶ τούτων δὴ καὶ σαφῶς

33) γρ. αὐτῷ m. Mor. 34) γρ. πνεῦμα et
35) γρ. μόνοις m. Mor.

σαφῶς διαστέλλομαι, ὅτι μάτην ἂν ἔτοι ποιοῖεν καὶ τρύχοιντο, οἷς ἔτε αὐτοφυὴς ἐξινῆς, ἔτε ἐπίκτητος. κινδυνεύει γὰρ οὐδ' εἶναι θεμιτὸν ἄλλῳ τῳ τῶν ἐν ἡμῖν τὸν θεὸν οἴεσθαι ἐνοικήσειν ἀντὶ τοῦ νοῦ. νεὼς γὰρ ἕτερος οἰκείας θεῷ. ταῦτ' ἄρα καὶ τοὺς παιδευτικοὺς ἀρετὰς σπουδάζεσθαι παρεδώκασιν Ἕλληνες σοφοὶ καὶ βαρβαροι, ἀπατεχίζοντες ἅπασαν τὴν πραγματείαν τῆς φύσεως, ἵνα μηδὲν ἐμπόδιον παρέχοιτο τοῖς νοήσεσιν. αὕτη μὲν ἡ διάνοια τῶν πρώτων καταστησαμένων ἑκατέρων φιλοσοφίαν· εἰ δὲ καὶ τοῖς ἀρεταῖς ἔθεσι[36]) μᾶλλον ἢ λόγῳ κρατύνουσι, καὶ τρεῖς αὐτὰς ἤγηνται· φρόνησιν γὰρ ἢ προσίενται, εἴ γε καὶ σωφροσύνην εἶναι τὰ κατ' αὐτὰς συγχωρήσομεν. ὡς οὐκ εἰσιένας[37]) τε καὶ συναιρεῖσθαι τοῖς ἀρεταῖς, διὰ τὴν ἀναγκαίαν ἀνταπόλειψιν[38]· ἀλλ' οἴονταί γε δεῖν σωφρονεῖν, ἢ διό τι σωφρονητέον εἰδότες, ἀλλ' ἐπίταγμα λαβόντες, ὥσπερ νόμον ἀναίτιον, ὃν ὁ μὲν θεὸς οἶδεν ὅτι τοῦτο δι' ἄλλο, διὰ τὰς διανοήσεις[39]), καὶ ὅτι πρὸς ἔργα πρὸς ἄνοδον, τὸ πρὸς μηδὲν τῶν ἐν ὕλῃ παθαίνεσθαι· οἱ δὲ ἀπέχοντες μίξεων, αὐτὸ δι' αὐτὸ τεθαυμακότες, καὶ μέγιστον ἄγοντες τὸ σωματότατον, τὴν παρασκευὴν τέλος ἡγέμενοι· ὑμεῖς δὲ τὰς ἀρετὰς, ὥσπερ στοιχεῖα τῆς ὅλης φιλοσοφίας, θαυμάζομεν[40]). τὸ μὴ καθαρῷ γὰρ καθαρῷ ἐφάπτεσθαι μὴ ἀ θεμιτὸν ᾖ, Πλάτωνος ἀποδεξάμενοι· ἀρεταὶ δὲ καθαίρουσι τὸ ἀλλότριον ῥυπτῆσαι· ἀλλ' εἰ μὲν ἦν ἡ ψυχὴ ταὐγαθὸν, ἦρκει καθήρασθαι, καὶ ἦν ἀγαθὸν ἤδη, τὸ μόνῃ γενέσθαι· νῦν δὲ, ἀ γάρ ἐστιν ἀγαθόν· ἀ γὰρ ἂν ἐγένετο ποτὲ ἐν κακῷ· ἀλλ' ἀγαθοειδὴς ἐστι καὶ μέση τὴν φύσιν. ῥέψασαν ἂν εἰς τὸ χεῖρον, ἐπανήγαγεν ἡ ἀρετὴ, καὶ τῆς κηλῖδος ἀπέλυσε[41]), καὶ πάλιν μέσην ἐποίησε. δεῖ δὴ καὶ προελθεῖν

36) γρ. θέσει.
37) γρ. ἐκ ἔτι γε μὴ εἰσ.
38) γρ. οἱ δὲ καὶ τὰς ἀρετὰς ἔθεσι μᾶλλον ἢ λόγῳ κρατύνουσι· καὶ οἱ.
39) γρ. νοήσεις καὶ.
40) γρ. σπουδάζομεν et
41) γρ. ἀπέλυσε m. Mor.

ελθεῖν ἐπὶ τἀγαθόν· τοῦτο δὲ ἦδη δικὴ λόγου. νοῦς γάρ ἐστι τὸ σύζυγον ὄνομα τῶν νοητῶν. οἷον εἰ τέλειος εἴη τὸ πρὸς ἀρετὴν ἰδεῖν, ἐκ ἀπόχρη μὴ πεκυφέναι πρὸς τὸ ἄδαφος, ἀλλὰ δεῖ μετεωρίσαι τὴν ἐν μέσῳ τοῦσιν τῆς ὅλης, ἐπὶ τὰ ἄνω νεῦσαι. καὶ δῆτα τῶν ἀρετῶν ὄντων ἂν τις, τὸ ἐπιλαθέσθαι τῆς ὑλικῆς προσπαθείας· δεῖ δὲ καὶ εἰναγωγῆς. ἐ γὰρ ἀπόχρη μὴ κακὸν εἶναι, ἀλλὰ δεῖ καὶ θεὸν εἶναι, καὶ ἔοικεν ἄνω τὸ μὲν, οἷον ἀπεστράφθαι τὰ σώματα, καὶ ὅσα τῶν σωμάτων· τὸ δὲ, οἷον ἐπεστράφθαι [42]) δικὴ νοῦ πρὸς θεόν. ἡμεῖς ἂν τιμῶντες τὰς ἀρετὰς, ἴσμεν, ἅπερ ἔχουσι τάξιν, ἣν αἱ τῶν ταιχείων γραμμαὶ πρὸς ἐπιστήμην βιβλίου. πρῶται γάρ εἰσιν εἰνιόντων ἐπὶ τὸν νεῶν, ἀλλ' ἐ τὸ πᾶν ἔχομεν ἔχοντες τὰς ἀρετὰς, ἀλλ' ἀφήκαμεν τὸ ἐμπόδιον, καὶ ὧν χαρὶς, ἐδὲ ὅσιον ἐστι ἐλπίσαι τυχεῖν τοῦ τέλους, τοῦτο τίνος παραπετάσμα· ταυτὶ δὲ ἐκ ἀπογνώσκοντες, ἦδη μέτειμεν αὐτὸ δικ νοῦ, σὺν τάξει παλαιοῖς τε καὶ μακαρίοις ἀνδράσιν εὑρημένῃ· καὶ ζητοῦντες ἐκ οἴδα εἴ ποτε ἕλωμεν, σχολῇ γε ὧν περιτύχοι τῷ μήτε ἐρασθέντι, μήτ' εἰ ζητητέον εἰδότι· καίτοι καίπερ ἀπειλήττουσιν αὐτῶν οἱ μάντεις ἐπὶ τούτῳ, καὶ μηδὲν προσπεριεργαζόμενοι. ἄειν γὰρ ἔξι ἐ κακοὶ, καθηρσμένοι· οἷς δὲ ἐπῆλθε διενέγκαι τῷ πλήθει κατὰ τύχην μαθήσιν, ὅτι ὁ λόγος ἐστὶ τῷ ἀνθρώπῳ καλὸν, εἴτε παιδείαν μὲν ἅπασαν ἠτιμάκασιν, ᾗ ἧς ὁ νοῦς ἀναχώννυται [43]) κινοῦντες δὲ παρ' ἑαυτῶν αὐτόπτας καινοτομίας, καὶ ἀποσεμνύνοντες μὲν πρὸς φιλοσοφίαν· ὅ, τι δ' ἂν εἰς αὐτὸς ἐμπέσῃ [44]) παροίκημα, τοῦτο τοῖς παρ' αὐτῶν προσθήκαις πεπηρὸν ἀπέδωκαν καὶ κακόηθες, τυφλοὶ γεννήματα, νῷ μὲν ἐκ ἄξιον εἰπεῖν, ἀλλ' ἐδὲ διανοίᾳ· δόξης δὲ αὐτόπτου καὶ φαντασίας ἡμαρτημένης ἐκφέροντες. τούτους ἂν ἴδοις γελοίως διακειμένους, μᾶλλον δὲ λίαν ἐλεεινῶς. ἄξιον γὰρ ἀνθρώπους

42) γρ. ἀπεστράφθαι m. Mor. 43) γρ. ἀναχώννυται et
44) γρ. ἐκπέσῃ m. Mor.

πους ὄντας ἐπ' ἀνθρώπων συμφοραῖς μὴ γελᾶν, ἀλλ' ὀλοφύρεσθαι. Φεῦ τῶν λόγων· Φεῦ τῶν δογμάτων! εἰ γὰρ ἐπέλθοι φιλοσοφεῖν τοῖς κριοῖς, οὐκ οἶδα ἅττ' ἂν ἀντὶ τούτων πρεσβεύσειαν· ἀλλ' ἡμεῖς αὐτοῖς εἴπωμεν· ἄξιον γάρ· ὦ τολμηρότατοι πάντων, εἰ μὲν ἠπιστάμεθα ὑμᾶς εὐμοιρήσαντας ἐκείνην τῆς ψυχῆς τὴν ἀξίαν, ἢ Ἀμοῦς, ἢ Ζωροάστρης, ἢ Ἑρμῆς, ἢ Ἀντώνιος, οὐκ ἂν ἠξιοῦμεν φρενοῦν, οὐδὲ διὰ μαθήσεως ἄγειν, νοῦ μέγεθος ἔχοντας, τῷ, προτάσεις εἰσὶ [45]) καὶ τὰ συμπεράσματα· ἀλλὰ κἂν ἐντυχεῖν ποτε τῷ τοιούτῳ γένοιτο, σεβοίμεθά τε ἂν αὐτὸν καὶ ἀζοίμεθα· ὑμᾶς δὲ ὁρῶμεν τῆς κοινῆς φύσεως ὄντας ἥττονας, καὶ οὐ μᾶλλον ἀγχίνους ἢ παχεῖς· ὑμᾶς οὖν ἀξιοῦμεν καὶ νουθετεῖν, ἐν κοινῷ τιθέντες, ὅ, τι ἂν ἄριστον ἡμῖν ἐξευρίσκωμεν. ἢ τοίνυν ἐπὶ τῶν πρώτων ὑποθέσεων μένετε· παρέδοσαν γὰρ αὐτὰς ἄνδρες ἀγχίποροι τοῦ θεοῦ· καὶ οὕτως [46]) ἂν εἴητο κατὰ Πλάτωνα μέσως ἔχοντες, οὐκ ἔτι μὲν ἀμαθεῖς, οὔπω δέ γε σοφοὶ, δόξαν ὀρθὴν πρεσβεύοντες, δίχα λόγου καὶ ἀποδείξεων. τό τε [47]) γὰρ ἀληθὲς, οὐχ ὅσιον ἀμαθὲς οἴεσθαι, καὶ τὸ ἄλογον εἶναι σοφὸν, οὐδεὶς ἐπιτρέψει λόγος. ταύτην ἀγαπῶντες τὴν τάξιν, μετρίως ἂν ἦτε πεπραγότες, καὶ ἀναίτιοι μὲν παρὰ θεοῦ, ἀναίτιοι δὲ καὶ παρὰ ἀνθρώπων· ἀλλὰ κἂν ἐπαίνου δικαίου τυγχάνοιτε· δήμου γὰρ ἀνδρὶ, καὶ τὸ ὅτι, αὔταρκες. εἰ δὲ μὴ κατὰ χώραν μένοιτε [48]), ἀλλ' ἔτι ὀρέξεσθε τοῦ πρόσω, καὶ τὸ διότι πολυπραγμονήσετε· καλῶς μὲν ἂν ποιοίητε [49]) σοφίας ἐρῶντες, ἱεροῦ χρήματος, ἀλλὰ μὴ ἐφ' ἑαυτῶν ποιῆσθε [50]) τὴν θήραν. ἀγύμναστοι γὰρ ἐστέ· καὶ κίνδυνος εἰς ἄβυσσόν τινα φλυαρίας ἐμπεσόντας [51]), διαφθαρῆναι· ὃ καὶ Σωκράτης ἐφοβήθη παθεῖν,

45) γρ. εἰσὶ ποιεῖν.
46) καὶ ὅλως.
47) γρ. τόγε.
48) γρ. μένετε.
49) γρ. ποιοῖτε.
50) γρ. ποιεῖτε et
51) γρ. τινα φιλαργυρίας ἐμπεσοῦσι, m. Mor.

θεῖν, καὶ τὸ πάθος οὐκ ἀπεκρύψατο φίλους ἄνδρας, Παρμενίδην, καὶ Ζήνωνα. καίτοι Σωκράτης ἐκεῖνος ἦν· ὑμεῖς δὲ, οἵπερ ἐστέ· δανὴ δὲ ὅμως ἡ τόλμα, δόγμασιν ἀπορρήτοις ἀξιούντων ἐνάλλεσθαι· καὶ ταῦτα ἐν λέξεσι τριοδίτισιν. ὁ μὲν οὖν Κάδμου σπόρος αὐθημερὸν ὁπλίτας, φησὶν, ἀνεδίδου σπαρτοὺς· σπαρτοὺς δὲ θεολόγους, οὐδείς πω μῦθος ἐτερατεύσατο. οὐ γάρ ἐστιν ἡ ἀλήθεια πρᾶγμα ἐκκείμενον, οὐδὲ καταβεβλημένον, οὐδὲ θήρᾳ ληπτόν· τί οὖν; ἐνταῦθα καλείσθω φιλοσοφία σύμμαχος· καὶ παρασκευαζέσθωσαν ἀνεζόμενοι πάσης ἐκείνης τῆς διεξόδου, μῆκος ἐχούσης μυρίον, παιδεύομενοι καὶ προπαιδευόμενοι. δεῖ γάρ τοι πρῶτον ἀποδῦναι τὴν ἀγροικίαν, καὶ τὰ μικρὰ ἐποπτεῦσαι πρὸ τῶν μειζόνων, καὶ χορεῦσαι πρὶν δᾳδουχῆσαι, καὶ δᾳδουχῆσαι πρὶν ἱεροφαντῆσαι. οὔπω ἐθελήσετε πόνων ἐπὶ πόνοις ἀνέχεσθαι; ἀλλ' οὐδὲ τὰ μεγάλα ἀκονιτὶ παραγίνεται. καίτοι γε εἰ σὺν ὥρᾳ τοῦ πράγματος ἥψασθε, καὶ ἡδονῆς ἄν τι τῷ ἔργῳ προσῆν, ἧς οἱ προελθόντες ἀντιλαμβάνονται· ὑμεῖς δὲ ὀψιμάθειαν αἰσχύνεσθε· ἀλλ' οὔτοι τοῦτο αἰσχρόν· ἡ δὲ ἀμαθία, καὶ τούτου μεῖζον τοῦτο αἰσχρόν· ἐν ᾗ κείμενοι, τῆς μὲν ἁπλῆς οὐκ ἀνέχεσθε· πάλαι γὰρ ἂν εἴητε μετρίως διακείμενοι, οὔτε εἰδότες, οὔτε εἰδέναι προσποιούμενοι, τουτέστιν ἐξ ἡμισείας εἰδότες· αὐτὸ γὰρ ἂν τοῦτο ἠπίστασθε, τὸ μηδενὸς ὑμῖν ἐπιστήμην παρεῖναι· τὴν δὲ διπλῆν ἄγνοιαν μεγαλοπρεπῶς ἐφ' ἑαυτοὺς ἕλκετε. φρονήματος γὰρ ἀντὶ φρονήσεως ὑποπλησθέντες, καὶ πρὶν μαθεῖν διδάσκειν ἐπιβαλλόμενοι, πάλιν ἐρῶ, φεῦ τῶν λόγων· φεῦ τῶν δογμάτων· οἷα καὶ τίκτεται παρ' ὑμῶν τέρατα ἀτεχνῶς διεσπασμένα καὶ πολυκέφαλα, οἷά φασιν ἐπαναστῆναί ποτε τοῖς θεοῖς. καὶ ταῦτα τί ἂν εἴποι τὶς, ἢ σπαράττειν τὸ θεῖον ἅπαν, ταῖς ἀτόποις ὑπονοίαις περὶ αὐτοῦ. οὐκ ἄν, εἴ γε τὸν ἰδιώτην καλῶς ἐτηρήσατε, ἀλλ' ἦν ἐκεῖ τὸ κατορθοῦν ἐν τῷ μετρίῳ [52]).

ὁ

52) γρ. μέτρῳ m. Mor.

ὁ Ἴκαρος, ἐπειδὴ τοῖν ποδοῖν ἀπηξίου κεχρῆσθαι, ταχὺ μάλα καὶ ἀέρος καὶ γῆς ἀπετύγχανεν, ὧν τῆς μὲν ὑπερεῖδε, τοῦ δὲ οὐκ ἐφίκετο. ταῦτα οὐ πρὸς τοὺς ἐκ τῆς ἑτέρας ἀγωγῆς μᾶλλον, ἢ καὶ πρὸς τοὺς παρ' ἡμῖν σὺν ἀλογίᾳ μεγαλοφώνους, οἳ καὶ παρέσχον ἀφορμὴν τῷ λόγῳ βοηθῆσαι τοῖς προπαιδεύμασιν· ὧν τί ἄν τις καὶ δοίη ἀνθρώπων ἀλαζόνων καὶ ἀνοήτων· πολλοῦ μέντ' ἂν εἶεν τρεῖς τοῦ ὀβολοῦ· ἐγὼ δὲ χάριν οἶδα καὶ ποιηταῖς δεξιοῖς, καὶ ῥήτορσιν ἀγαθοῖς, καὶ ὅστις ἱστορίαν τινὰ κατεβάλλετο λόγου ἀξίως· καὶ ἁπαξαπλῶς οὐδένα τῶν συνασεντηκόντων εἰς κοινὸν τοῖς Ἕλλησιν, ὅ, τις καὶ εἶχεν ἀγαθὸν, ἀγέραστον [53]) εἶναι βούλομαι, ὅτι παῖδάς τε παραλαβόντες ἡμᾶς ἐτιθηνήσαντο, καὶ ἀσθενεῖς ὄντας ἔτι τὴν γνώμην ἐνοσοκόμησαν, τοῖς ὠφελίμοις ἐγκαταμιγνύντες ἡδύσματα. ἄκρατα γὰρ οὐδεὶς ἂν ταῦτα παρεδέξατο, διά τε στυφότητα, καὶ τὴν τότε τῶν αἰσθήσεων ἁπαλότητα· κἆθ' οὕτω ῥώσαντες, καὶ παραπέμψαντες ἄλλος δι' ἄλλου, ταῖς ἐπιστήμαις παρέδοσαν· αἱ δὲ παρεσκεύασαν οἵους εἶναι τῶν ἄκρων ἐπορέξασθαι. ἐκεῖ τε [54]) γενομένων ὅταν αἴσθωνται τὰς ψυχὰς ῥαινομένας ἱδρῶτι, καὶ τὴν φύσιν ἡμῶν ἀπαγορεύουσαν, αὖθις ἀνεκαλέσαντο πραέως· καὶ ἡ Καλλιόπη παραλαβοῦσα ἥκοντας αὐχμοῦ πλέως, ἀνέπαυσέ τε εἰς ἀνθηροὺς ἀγαγοῦσα λαμῶνας, ὡς μὴ διακναισθῆναι τῷ πόνῳ, καὶ πανδαισίαν παρέθηκεν Ἀττικῶν καταγλωττισμάτων καὶ καρυκείας ποιητικῆς· ὑφ' ὧν τὴν μὲν πρώτην διέχεεν· ἔπειτα ἐμυώπισε [55]) λαθοῦσα, καὶ κατὰ μικρόν πως ἐπέστρεψε· τελευτῶσα δὲ ἐπὶ τὸν αὖθις ἐγύμνασεν ἀγῶνα. καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μούσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν ταύταις εἶναι [56]), καὶ οὐδ' εἴ τι περιττὸν αἰνίττονταί ποτε, καὶ παραδηλοῦσι συν-

ἰέναι

53) γρ. ἄπρακτον.
54) τῶν γεν.
55) γρ. ἐμυωπίασε et
56) γρ. ἐστὶ m. Mor.

ἰέναι βούλεται· τὸ δὲ ἐγκείμενον αὐτῶν κάλλος ἠγάσθη, καὶ εἰς αὐτὸ κέχηνε, καὶ ὑπὸ τούτου κατέχεται· οὐδὲ οὗτος μέντοι δεινὸν οὐδὲν εἴργασται, ἀλλὰ καὶ πολλὰ ἀγαθά γε αὐτῷ γένοιτο, μουσικῷ τε ἀνδρὶ καὶ χαρίεντι. καὶ γὰρ εἰ μὴ τεθήπαμεν τοὺς κύκνους, ὥσπερ τοὺς ἀετοὺς αἱρομένους ὑψοῦ ὑπὲρ 57) πᾶν τὸ ὁρώμενον· ἀλλὰ γανυμεθά γε καὶ ὁρῶντες αὐτοὺς καὶ ἀκούοντες τῆς ᾠδῆς· καὶ ἐμοῦ γε ἕνεκα, μηδείς ποτε κύκνων τὸ ἔσχατον ᾄσειεν. εἰ δὲ βασίλειοί τε εἰσὶν ἐκεῖνοι, καὶ διαιτῶνται παρὰ τὰ τοῦ Διὸς σκῆπτρα, καὶ τούτους εἴληχέ τις θεῶν ἐκ Διὸς γεγονὼς, καὶ οὐκ ἀπαξιοῦνται τοῦ τρίποδος. ἀετὸν δὲ ἅμα καὶ κύκνον γενέσθαι, καὶ τὰ ἀμφοῖν ἔχειν πλεονεκτήματα, ὄρνισι μὲν ἡ φύσις οὐ ξυνεχώρησεν· ἀνθρώπῳ δὲ ἔδωκεν ὁ θεὸς, ὅτῳ καὶ ἔδωκε, γλώττης τε εὖ ἥκειν, καὶ φιλοσοφίας ἐπήβολον εἶναι. ἠγώνισταί γε πρὸς τοὺς ἀμούσους ὑπὲρ Μουσῶν, οἳ καὶ κακοήθως ἀποδιδράσκουσι τὸν ἔλεγχον τῆς ἀμαθίας, τῷ καταφεύγειν ἐπὶ τὴν λοιδορίαν ὧν ἠγνοήκασιν. εἰ δή τι καὶ σπουδαιότερον εἴρηται παρὰ τὴν πρώτην ὑπόσχεσιν, τὶ μὲν ἂν γένοιτο καὶ σπουδαῖον 58) παιζόντων· οὐ μήν ἐστι τὶ ποιεῖν, μὴ ἀπὸ πάσης τῆς ἕξεως· ἀλλ' εἰ τῷ πλέονι παίζομεν, οὐ τοῦ παντὸς ἁμαρτάνομεν. παιδιᾷ γὰρ παρεμβαλλόμεθα, ἐνδοθείσῃ μὲν, ἀπὸ τοῦ δεῖν εὑρέσθαι τινὰ παρ' ἐμοῦ μαρτυρίαν τὸν Δίωνα, ἵνα μὴ γένοιτο καὶ τῆς παιδείας 59) αὐτοῦ κληρονόμος ὁ παῖς ὁ μοιρίδιος· δραμούσῃ δὲ ἐπὶ πολλὰ, καὶ δρόμους παντοίους. „ἀόριστοι γὰρ αἱ τῶν παιζόντων ὁρμαί· τοιοῦτόν „ἐστιν ἀγρὸς καὶ ἐλευθερία, καὶ τὸ μὴ πρὸς ὕδωρ εἰρησομένους γράφειν τοὺς λόγους. ὡς εἶδον ἐγὼ δικαστὴν ἐφέτην μετροῦντα τὸν χρόνον τοῖς ἀγορεύουσιν· αὐτὸς μέντοι τοῦ προσμεμετρημένου, τὸ μέν τι κατεδάρθανε, τὸ δὲ μάτην ἐγρηγόρει, καὶ ἀπῆν ὡς πορρωτάτω τοῦ πράγ-

57) καὶ ὑπὲρ. 58) σπουδαίων et
59) τῆς Φιλίας m. Mor.

πράγματος· ἀλλ' ἐδὲν ἧττον ὁ ῥήτωρ ἠγόρευεν, ὡς ὑπ' ἀνάγκης σιωπησόμενος αὐτίκα· ἐμὲ δὲ ἀφίησι καὶ οὐ σενοχωρεῖ προθεσμίαι, τῷ μήτε πρὸς ἔτως ἄτοπον παρασκευάζεσθαι δικαστὴν, ἀλλὰ μηδὲ μέλλει εἰς δικαστήριον ἀγνωμονέστερον εἰσιέναι τὸ θέατρον, θυρεκοπήσαντα, καὶ ἐπαγγείλαντα τοῖς ἐν ἄστει μειρακίοις ἀκρόαμα ἐπιδέξιον· ὡς σχέτλιά γε τῶν δεινύντων ἐν τοῖς θεάτροις τὰς λόγας. ὃν γὰρ δεῖ τοσούτοις ἀρέσκειν ἀνομοίως διακειμένοις, πῶς ἂν ἀνεφίκτων ἐρᾷ; ἔτος οὖν ἐστὶν ὁ δημολόγος [60]) ἀτεχνῶς, ὁ δῆλος ὁ δημόσιος, ὃ πᾶσιν ἐγκείμενος, ὃν ἔξεσι τῷ βαλομένῳ διαθεῖναι κακῶς. καὶν γελοῖός τις [61]), ὁ σοφιστὴς τέθηκε, καὶ τὸν σκυθρωπὸν ὑποπτεύει. σοφιστὴς γάρ ἐστι καὶν ὁτιοῦν γένος λόγων προσήσεται, δόξαν ἀντ' ἀληθείας ἐρανιζόμενος. λυπεῖ δὲ αὐτὸν καὶ ὁ πάνυ προσέχων τὸν νοῦν, ὡς λαβὴν θηρώμενος· ἀλλ' ἐδὲν ἧττον ὁ περιδινῶν ἀπαντα χόσε τὴν κεφαλὴν, ὡς ἐκ ἀξιῶν ἀκοῆς τὰ δεικνύμενα. καίτοι γε ἐκ ἐν δίκῃ πικρῶν τυγχάνει τῶν δεσποτῶν, ὅστις πολλὰς μὲν νύκτας ἀϋπνος ἀνέτλη· πολλὰς δὲ ἡμέρας παρετάθη, καὶ μικρᾷ δεῖν ἀπεσάλαξε τὴν ψυχὴν ὑπό τε λιμοῦ καὶ φροντίδων, ἵν' ἀγαθόν τι συλλέξηται· καὶ ἥκει φέρων ἄκουσμα χαρίεν τε καὶ ἡδὺ τοῖς ἀγεραίχοις αὐτοῦ παιδικοῖς, δι' ὃς ἔχει μὲν πονήρως, σκήπτεται δὲ ὑγιαίνειν. ὁ δὲ καὶ ἐλούσατο πρὸ τῆς κυρίας, καὶ εἰς αὐτὴν ἀπήντησεν, ἐσθῆτι καὶ σχήματι σοβαροῖς, ἵνα καὶ θέαμα καλὸν ᾖ, καὶ προσγελᾷ τῷ θεάτρῳ, καὶ χαίρει δῆθεν· ἡ δὲ ψυχὴ καταστείνεται, ἐπειδὴ καὶ Τραγασκάνθης ἐδήδοκεν, ἵνα τορόν τε καὶ εὔηχες φθέγξηται. τοῦτο μὲν ἂν οὐδ' ἂν ὁ σεμνότατος αὐτῶν προσποιήσαιτο, μὴ ὐ πάνυ μέλειν αὐτῷ, καὶ πεπραγματεῦσθαι τὰ περὶ τὴν φωνὴν, ὅς γε καὶ μεταξὺ τῆς ἐπιδείξεως ἐξεράφη, καὶ τὸ ληκύθιον ἤτησε, καὶ ὁ μὲν ἀκόλουθος ὤρεξεν· ἐκ πολλοῦ γὰρ καὶ

60) γρ. δεινολόγος et 61) γρ. γελάσειέ τις m. Mor.

καὶ παρεσκεύασεν· ὁ δὲ ἀποῤῥοφεῖ τε καὶ ἀνακογχυλίζει, τοῦ νεαρῶς ἐπιτίθεσθαι[62]) τοῖς μέλεσι· τυγχάνει δὲ οὐδ' ὡς ἀκροατῶν ἵλεων ὁ δύςηνος ἄνθρωπος· ἀλλὰ βούλοιντο μὲν ἂν αὐτὸν ἐξᾶσαι. γελῷεν γὰρ ἄν· βούλοιντο δ' ἂν καὶ διάραντα μόνον, ὥσπερ ἀνδριάντα, τὸ ςόμα καὶ τὴν χεῖρα, ἔπειτα ἀφωνότερον ἀνδριάντος γενέσθαι· ἀπαλλαγεῖεν γὰρ ἂν πάλαι δεόμενοι. ἐγὼ δὲ ἐπ' ἐμαυτοῦ γὰρ ᾄδω (καὶ ταῖσδε ταῖς κυπαρίττοις προσᾴδω), ὕδωρ δὲ τοῦτὶ θεῖ διάττον δρόμον[63]) οὐ μεμετρημένον, οὐδὲ πρὸς κλεψύδραν ταμιευόμενον, ὅ τις ἂν καὶ ὑπηρέτης μεταγωγήσῃ δημόσιος· ἀλλ' ἐγὼ μὲν εἰ μήπω παύομαι, ἀλλ' αὐτίκα πεπαύσομαι· εἰ δὲ μὴ, καὶ μετὰ πλεῖςον· οὐ μὲν δὴ καὶ εἰς νύκτα γε ᾄσομαι· τὸ δὲ καὶ πεπαυμένου ῥεῖ, καὶ ῥυήσεται καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ εἰς νέωτα, καὶ ἀεί. τί οὖν με δεῖ προθεσμίᾳ δουλεύειν, ἐξὸν ἐμφορεῖσθαι τῆς αὐτονομίας, καὶ περιάγειν τοὺς λόγους, ᾗ μοι δοκοῦσιν ἀκτέοι, οὐ κρινομένῳ πρὸς ὀλιγωρίαν ἀκροατῶν, ἀλλ' ἐμαυτὸν ἔχοντι μέτρον. ἐμοὶ γὰρ δὴ ταύτην ἔδωκε τὴν μοῖραν ὁ θεὸς, ἀδέσποτον εἶναι καὶ ἄφετον, ὃς οὐδὲ τρεῖς, οὐδὲ δύο περιεποιησάμην ἐμαυτοῦ μαθητὰς εἶναι, δι' οὓς ἂν ἐδέησεν εἰς ἀποδεδειγμένον χωρίον φοιτᾷν, καὶ περὶ συγκειμένων πρὸς αὐτοὺς διαλέγεσθαι. ἠπιςάμην γὰρ πολὺ τῆς ἐλευθερίας ὑποτεμούμενος, εἰ πρῶτον μὲν ἀνάγκην ἔχω βιβλίον ἐξονυχίζειν, ὑφ' οὗ γίνεται τὸ κατὰ μνήμην ἐνεργεῖν· τὴν δὲ ἐπιβολὴν ἀγύμναςον εἶναι καὶ ἄγονον, ἣν δεῖ κριτὴν εἶναι βιβλίων· ἐπειδὴ κατὰ τοῦτο ὁ φιλόσοφος μᾶλλον· ἐκεῖνο δὲ ἀποδεδόσθω γραμματικοῖς. εἶεν δ' ἂν καὶ φιλοσόφων βιβλίων γραμματικοί τινες ἀποδεδειγμένοι, τὰς συλλαβὰς εὖ μάλα συγκρίνοντές τε καὶ διακρίνοντες· οἰκεῖον δὲ οὐδὲν οὐδέποτε μαιευόμενοι· ὅ, τι δὲ καὶ τέκοιεν, ὑπὸ θράσους τυφλὸν καὶ ἀνεμιαῖον. οὐ γὰρ ἐκθάλπει τὸν εἴσω λόγον, ὅτῳ καθ' ἡμέραν

62) ἐπικεῖσθαι et

63) διὰ τῶν δρόμων m. Mor.

ἡμέραν ἐμεῖν ἀνάγκη· τό, τε σπουδῇ σχεδιάζειν ἐν μὴ δέοντι τῇ σπουδῇ χρώμενον, ἐξίτηλον αὐτὴν ἀποφαίνει. φύονται μὲν γὰρ ἐπὶ λόγοις ὠδῖνες ψυχῶν, ὥσπερ ἐπὶ τόκοις σωμάτων· ὅστις δὲ ἀώροις αὐτοῖς συνεθίζεται, καὶ τὰ λοιπὰ πέπονθε παραπλήσια τοῖς ἐπὶ τῶν σωμάτων συμβαίνουσιν· ὀλισθῆσαι δὲ ἔξις εἰς τὸ ἀμβλώσκειν, ἐδὲν ἂν ὠδινήσειεν ἀρτιμελὲς καὶ βιώσιμον. ἐντεῦθεν ὁ πρόχειρος εἰς δῆμον εἰπεῖν, ἀδύνατος ἐπισῆσαι, καὶ σκέμμα παραλαβὼν, ὥσπερ ἀνδριάντα ξέσας ἐς τὸ ἀκριβὲς ἀπεργάζεσθαι. ἅμα δὲ ἐδὲ μακάριον ᾤμην εὐδύνας ὑπέχειν, καὶ αὐτοῖς τοῖς ἀκροατᾶς, καὶ ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν· ὑπὲρ μὲν αὐτῶν, τοῖς προσήκουσιν· ὑπὲρ δὲ τῶν ὁσημέραι λόγων, αὐτοῖς. βέλοιτο γὰρ ἂν ὁ διδάσκαλος ἀνὴρ εὐδοκιμεῖν ἐν τοῖς μαθηταῖς, καὶ θορυβεῖν ἐπὶ τοῖς λόγοις αὐτῷ τὰ παιδάρια. ἐκεῖν ἄλλο τοῦτο θέατρον παρὰ πολὺ δυσυχέστερον· νυνὶ δὲ ὁπόσοις τε βέλομαι, καὶ ὁπόσα, καὶ περὶ ὧν, καὶ ὁπηνίκα, καὶ ὅπου, τοσαῦτα καὶ ἔτως σύνειμι. καὶ ὁ μέν τις ὤνησε συγγενόμενος, ὁ δὲ αὐτὸς ὤναστο. βελοίμην δ' ἂν ἐγὼ τῶν ἀγαθόν τι λεγόντων ἀκούειν μᾶλλον, ἢ λέγειν αὐτός. τῷ παντὶ γὰρ εὐτυχέστερον ἀμείνοσιν ἐντυγχάνειν, ἢ χείροσιν. ἀλλ' ὄγε τὸ διδασκάλε βίος· λόγε δὲ ἐξηρήσθων, εἴ τις εἰς ἢ δύο φύσεα τῶν ἐν τῷ πράγματι χαλεπῶν γεγένασι διαφέροντες. γένοιτο γὰρ ἂν καὶκεῖνο καὶ καθ' ἕκασον ἐπιτηδευμα φανῆναί τινας ἀμείνους, ἢ ὡς ἀλῶναι τοῖς προσπεφυκόσιν αὐτῷ καὶ παραβλαστάνουσι πάθεσιν· ἐπεὶ ὄγε διδάσκαλος, ἐπειδὴ ἐξαρτήσηται τὲς θαυμασομένες, ἐδενὸς ἐδὲν ἀποδέξεται λέγοντος· ἢ κίνδυνος καταφρονηθῆναι, καὶ περιιδεῖν ἀφπταμένα τὰ μειράκια. εἰ γὰρ ἐ διοίσεται, τὴν ὑπόθεσιν ἔφθειρε· δεῖ δὲ αὐτὸν τηρεῖσθαι διδάσκαλον. εἱμαρμένη τοίνυν ἀνδρὸς διδασκάλε καὶ φθονερὸν αὐτὸν εἶναι, τὸ μέγιστόν τε καὶ ὑλικώτατον τῶν παθῶν· καὶ ἀπεύξεται μὲν μηδένα γενέσθαι σοφὸν ἐν πόλει· γενομένε δὲ, λωμανεῖται τὴν δόξαν,

ξαν, ἵνα μόνος ἀποβλέποιτο. καθεδεῖται δὲ ὥσπερ κεράμιον ἐπιχειλὲς τῆς σοφίας, καὶ οὐκ ἂν ἔτι χωρῆσον. οὐκοῦν ἀγαθόν γέ τι χωρεῖ, τελχὶς καὶ βάσκανος ὤν. πῶς οὖν ἄν τις κάκιον ἀπαλλάξειεν ἀνδρὸς, ὅτῳ μὴ ἔξεστι γενέσθαι βελτίονι. Σωκράτης δὲ καὶ Προδίκῳ παρεῖχεν ἑαυτὸν ὠφελεῖν εἴ τι δύναιτο, καὶ Ἱππίᾳ ξυνεχώρει τὶ λέγειν, καὶ ὡς Πρωταγόραν ἐβάδιζε, καὶ συνίστη τοὺς πλουσιωτάτους τῶν νέων τῷ τοιῷδε φύλῳ τῶν σοφιστῶν. οὐ γὰρ ἐποιεῖτο σοφὸς εἶναι Σωκράτης· ἦν γὰρ σοφός· καὶ τοῖς μειρακίοις ἐξῆν, εἰ προσεῖχον τὸν νοῦν, μὴ ἀγνοεῖν, ὅστις μὲν ὁ διδάσκων Πρωταγόρας, ὅστις δὲ ὁ μανθάνων Σωκράτης· ἀλλὰ καὶ Γλαύκων, ἀλλὰ καὶ Κριτίας, ἐκ τῆς ὁμοίας αὐτῷ διελέγοντο, καὶ οὐδὲ Σίμων ὁ σκυτεὺς πάνυ τι συγχωρεῖν ἠξίου Σωκράτει, ἀλλ' ἐπράττετο λόγον ἑκάστου λόγου· Κλειτοφῶν δὲ καὶ ἐλοιδόρησεν αὐτὸν ἐν Λυσίου τοῦ σοφιστοῦ, καὶ τὴν Θρασυμάχου συνουσίαν προυτίμησε· Σωκράτης δὲ, οὐδὲ πρὸς τοῦτο παρωξύνετο, ἀλλὰ καὶ τοῦθ' ὁ Κλειτοφῶν κακῶς οἴσται. ἤρκει δὲ αὐτῷ καὶ Φαῖδρος περιτυχὼν, καὶ εἵπετο Φαίδρῳ Σωκράτης πρὸ ἄστεος ἡγουμένῳ, καὶ ἠνέσχετο φορτικοῦ λόγου, καὶ ἀντεξήγαγεν αὐτῷ λόγον ἕτερον, ἵνα Φαίδρῳ χαρίσηται. οὕτως εὔκολος ἦν, καὶ οὐκ ἀπεσεμνύνετο πρὸς τοὺς ἀνθρώπους. αὕτη μὲν γὰρ ἡ Ξανθίππη, φεῦ τῆς ὀλιγωρίας, ὡς ἐχρῆτο Σωκράτει. ἀλλ' οὐδὲν ἐκώλυσε Σωκράτην εὐθυμεῖσθαι καὶ καταφρονούμενον· οὐδὲ ἐμὲ τοίνυν, οὐδ' ἄλλον οὐδένα ἀνθρώπων, ὅστις οὐχ ὑπέθηκεν ἑαυτὸν τῷ παντοδαπῷ θηρίῳ τῇ δόξῃ, ἀλλ' ἑαυτῷ 64) ἀρέσκει καὶ τῷ θεῷ· τοῖς δὲ ἀνθρώποις ἀνθρωπίνως συνεῖναι καὶ βούλεται καὶ ἐπίσταται· ἐπείτοι Σωκράτης καὶ τὸν ἀτοπώτερον τῶν λόγων διατιθέμενος, τὸν ἐπὶ διαβολῇ τῶν ἐρωτικῶν, δύναται μεθαρμόσασθαι τὴν ἀληθεστέραν, καὶ αὐτίκα γε μεθαρμόσεται, καὶ τὸ Διὸς ἅρμα ὑμνήσει,

 καὶ

64) γρ. ἀλλ' ἑαυτὸν m. Mor.

καὶ τὰς ἱερὰς διαιρέσεις τῶν ἕνδεκα θεῶν. μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· ὑμνεῖ δὲ καὶ ψυχὰς ὀπαδὸς θεῶν, καὶ τὸν ἀγῶνα, ὃν ἔχουσιν ὑπερκύψαι τῶν ἐρανιωτῶν. ἐκεῖ πῃ καὶ τὸν παρακεκινδυνευμένον λόγον, τὸ παιδίον ἐξηγεῖσθαι τολμᾷ, τὸ ἐπέκεινα ταύτῃ παρὰ τὴν αὐτὴν πλάτανον, παρ' ἣν ἐρρήτορευσε, καὶ τῷ σοφιστῇ Λυσίᾳ προσεγυμνάσατο· καὶ πρὸς τὸν αὐτὸν μέντοι παῖδα, ἤτοι λέγω τὸν Φαῖδρον· νεανίας γὰρ ἦτος καὶ ἀνὴρ ἤδη· ἀλλ' ὑπόκειται μειράκιον αὐτῷ καλὸν καὶ ἐν ὥρᾳ· καὶ τοῦτο πείθει καὶ μεταπείθει τὰ περὶ ἔρωτος· καὶ πρὸς αὐτὸ παίζει τε καὶ σπουδάζει. τί οὖν εἰ κἀγὼ πρὸς [65]) τὸν ἐμαυτοῦ παῖδα, ὃν ὑπέσχετο μὲν εἰς νέωτα ὁ θεὸς, ἐμοὶ δὲ πάρεστιν ὁ παῖς ἤδη. πρὸς τοῦτον ἂν αἰτίως παίζειν τε καὶ σπουδάζειν· ἐπεὶτοι καὶ αὐτὸν ἀμφότερα ἀγαθὸν γενέσθαι βέλομαι,

Μύθων τε ῥητῆρ' ἔμεναι, γνωστῆρά τε ἔργων.

καὶ μὴ καταφρονεῖν τοῦ Σωκράτους, ὃς ἐκ παιδὸς καὶ τοὺς δημοσίᾳ θαπτομένους δύνασθαι λόγῳ κοσμεῖν. καίτοι καὶ τοῦτο μεῖζον ἢ καθ' ἑαυτὸν ᾤετο. προσένεμε γὰρ Ἀσπασίᾳ τὴν δύναμιν ταύτην, ᾗ προσεφοίτα κατὰ χάριν τοῦ τὰ ἐρωτικὰ παιδευθῆναι. εἰ δέ τινες κατὰ τὴν Ἀσπασίαν τε καὶ Σωκράτην ἐρωτικὰ ἐννενοήκασι, μὴ ἀπιστήσεις, ὅτι φιλοσοφίας τὰς τελεωτάτας ἐποπτεύσασα τελετὰς, ἅπαντα χῆ τὸ καλὸν ἐπιγνώσεται καὶ ἀσπάσεται, καὶ ῥητορικὴν ἐπαινέσεται, καὶ Ἀσπασίας καὶ ποιητικῆς ἀνθέξεται. ταύτην μὲν γὰρ ἄντικρυς εἰργάσατο καὶ Σωκράτης, οὐχ ὁ παῖς, οὐδ' ὁ νέος Σωκράτης, ἀλλ' ὁ μετὰ τὴν ἡλικίαν ἤδη δίαιταν ἔχων ἐν τῷ δεσμωτηρίῳ, ὁπηνίκα παίζειν ἤκουσα καιρὸς ἦν τηλικοῦδε ὄντι, καὶ ἐν τοιούτοις ἔπω λέγω δεινοῖς· τί γὰρ ἂν καὶ δεινὸν Σωκράτει· ἀλλ' οὐδὲ μέντοι παίζειν ἀξίοις· ὁ δὲ τῷ θεῷ φησὶ πείθεσθαι, καὶ μὴ ἀπιστῶμεν. ὠκειοῦτο γὰρ αὐτὸν τῇ κοινωνίᾳ τοῦ ἔργου. ἡ δὲ ποιητὴς ἐστιν ὁ τὸ

65) γρ. πρὸς αὐτὸν m. Mor.

τὸ χρηστήριον ἔχων τὸ Πυθοῖ, καὶ νὴ Δία τὸ ἐν Βραγχίδαις. ἔτος μέντοι μετεποιήθη καὶ τῆς Ὁμήρου ποιήσεως αὐτῷ προσηκούσης.

Ἥσιδον μὲν ἐγὼν, ὁ δ' ἀπέγραφε θεῖος Ὅμηρος.

λελήθασιν ἓν ὑπὸ σοφίας οἱ σασιῶται τῆς εὐγλωττίας ἕτοι, καὶ τὸν Ἀπόλλω δεύτερον ἄγοντες ἑαυτῶν, μετ' Ἀσπασίας τε καὶ Σωκράτους. ἡμεῖς δὲ ἐπὶ πάντας τοὺς λόγους παρακαλῶμεν τὸν παῖδα καὶ συνευξώμεθα αὐτῷ, μὴ, πρὶν ἀμωσγέ πως ἐμφορηθῆναι ῥητορικῆς καὶ ποιήσεως, καὶ δύνασθαι νεῖν τε ἔχειν[66]), καὶ δι' αὐτῶν ἀμύνειν αὐτοῖς, ἐντυχεῖν ἀνδρὶ θρασὺς ἔχοντι, καὶ ἐπανισαμένῳ ταῖς Μούσαις. τί γὰρ ἂν καὶ χρήσαιτο τοῖς κτήμασι τοῖς πατρῴοις; τοὺς μὲν γὰρ ἀγροὺς ἐλάττους ἐποίησε, καὶ συχνοί μοι τῶν οἰκετῶν ἰσοπολῖται γεγόνασι· χρυσίον δὲ ὅτε ἐν Φαλαίροις ἔχω γυναικῶν, ὅτε ἐν νομίσμασιν· ἔ, τι γὰρ καὶ ἦν, ἅπαν αὐτὸ ὥσπερ Περικλῆς εἰς τὸ δέον ἀνάλωσα· τὰ βιβλία δὲ πολλαπλάσια τῶν ἀπολειφθέντων ἀπέδειξα· τούτοις ἓν ἅπασι δέον σὲ δύνασθαι χρῆσθαι. εἰ δὲ ὅτι σοὶ μὴ διώρθωσα τὰ Δίωνος γράμματα, δι' ὃν καὶ προῆλθεν ἐπὶ τοσόνδε ὁ λόγος, διὰ τοῦτο δυσχεραίνεις τὸν πατέρα, ἀλλ' ὁδὲ ἄλλο τί σοι διώρθωται τῶν τῆς ὁμοίας ἕξεως. Δίωνι γὰρ ἐκ ἀπολογίας πρὸς τοῦτο δεήσει. πάλιν ἓν δεήσῃ ῥητορικῆς· ἀλλ' ἐγὼ νόμον ἐκ φιλοσοφίας παρέξομαι. Πυθαγόρας Μνησάρχου Σάμιος ἐπιγέγραπται τῷ νόμῳ, ὅσις ὁ νόμος ἐκ ἐᾷ τοῖς βιβλίοις ἐπιποιεῖν· ἀλλὰ βέλτιον μένειν αὐτὰ ἐπὶ τῆς πρώτης χειρὸς, ὅπως ποτὲ ἔσχε τύχης ἢ τέχνης. ἔστι μὲν ἓν ἐν τοῖς ῥητορείοις ὁ νόμος τὸ ἀῤῥητόρευτον. ἐν γὰρ τοῖς ἀλόγοις πράγμασι πίστεσιν, ὅ, τι μὴ παρὰ τὴν πειθὼ τοῦ λέγοντος, ἀλλὰ παρὰ τὴν πολιτείαν ἰσχύει. καίτοι τινὲς ἀφ' ἡμῶν ἀξιοῦσιν ἀπὸ τοῦ τοιούτου ῥήτορες εἶναι, γράμματα ἀτέχνως ὄντες· οἱ δὲ, κἂν μάρτυρας ἀναβιβάσωνται,

66) τε δὴ ἔχ. m. Mor.

χρεῶν, δεομένων δὲ ἀναγινώσκειν εἰς κοινὴν ἀκοὴν, ἐποίει ἔτως· εἰ δέ ποτε παρείκοι, προσεξεῦρον ἄν τι καὶ προσηρμήνευσα· ἐ μὰ τὸν Λόγιον, ἐκ ἐπιτηδεύσας, ἀλλ' ἐπελθὸν ἔτως συνεχώρησα τῇ γνώμῃ τε καὶ τῇ γλώττῃ· καὶ δῆτα θόρυβος ἤρθη πολὺς, καὶ κρότος ἐρρύη, τὸν ἄνδρα ἐπαινέντων ἐκεῖνον, ὅτε τὸ σύγγραμμα ἦν, ἐπ' αὐταῖς ἐχ ἥκιστα ταῖς προσθήκαις. ἔτω μοι τὴν ψυχὴν ὁ θεὸς ἀπαλὸν ἐκμαγεῖον ἐποίησε τῶν ἐν λέξεσί τε καὶ ἤθεσι χαρακτήρων· εἰ δὲ καὶ τῷ τοῖς ἀδιορθώτοις τῶν βιβλίων ἐγγεγυμνάσθαι τὴν προσοχὴν ἐπέτεινεν, εἰς τῦτο τὴν ἕξιν ἐπήγαγεν ἡ Φύσις πειρωμένῳ, τοὺς ἐξηυλημένες τὰ ὦτα, παραπέμπει τις ἠχὼ καὶ πεπαυμένῳ τῦ μέλες, καὶ μένεσι χρόνον ὑποσυχνον τοῖς αὐλήμασι κατακώχιμοι· ἐγὼ δὲ θαμὰ καὶ τραγῳδίαις ἐπετραγῴδησα, καὶ κωμῳδίαις ἐπισωμύλλομαι πρὸς τὸν πόνον ἑκάστῳ τῦ γραίψαντος. εἴποις ἂν ἡλικιώτην εἶναι, νῦν μὲν Κρατίνῳ καὶ Κράτητος, νῦν δὲ Διφίλῳ τε καὶ Φιλήμονος, καὶ ὐδ' ἔστιν ἰδέα φιλομετρίας τινὸς ἢ ποιήσεως, πρὸς ἣν τινα ἐ διαίρομαι καὶ ἐπεξάγω τὴν πεῖραν· καὶ ὅλα συγγράμματα πρὸς ὅλα ποιῶν, καὶ τεμαχίοις παραβαλλόμενος, παντοδαπῶν τε ὄντων τῶν λεκτικῶν χαρακτήρων καὶ πλεῖσον διαφερόντων, ἐν ἑκάστῳ τῶν μιμήσεων προσηχεῖν ἀνάγκη, καὶ τὸμὸν ἴδιον· ὥσπερ ἡ ὑπάτη χορδὴ τὸν ῥυθμὸν αὐτὴ μένεσα παραβομβεῖ κινεμένῳ τῷ μέλει.

ΔΙΩΝΟΣ
ΤΟΥ
ΧΡΥΣΟΣΤΟΜΟΥ
ΛΟΓΟΙ.

ΛΟΓΟΣ ΠΡΩΤΟΣ
ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Φασί ποτε Ἀλεξάνδρῳ τῷ βασιλεῖ τὸν αὐλη-
5. τὴν Τιμόθεον, τὸ πρῶτον ἐπιδεικνύμενον αὐ-
10. λῆσαι κατὰ τὸν ἐκείνου τρόπον, μάλα ἐμπείρως καὶ μουσικῶς [1]· ὃ μαλακὸν αὔλημα, ὃδὲ ἀναβεβλη-μένον [2], ὃδὲ τῶν πρὸς ἅνεσιν καὶ ῥᾳθυμίαν ἀγόν-των· ἀλλ' αὐτὸν οἶμαι τὸν ὄρθιον, τὸν τῆς Ἀθηνᾶς
15. ἐπικαλέμενον, νόμον. καὶ τὸν Ἀλέξανδρον εὐθὺς ἀναπηδῆσαι πρὸς τὰ ὅπλα, τοῖς ἐν θεοῖς ὁμοίως. ἔτω σφόδρα ἐπαρθῆναι αὐτὸν ὑπὸ τοῦ μέλους τῆς μουσικῆς [3], καὶ τοῦ ῥυθμοῦ τῆς αὐλήσεως. τὸ δὲ τό-
20. του αἴτιον, ὃχ ἕτως ἡ τῆς μουσικῆς δύναμις, ὡς ἡ τοῦ

1) μουσικῶς] eleganter, cum delectus exquisita elegantia, habita ratione et rei agendae, et coram quo, et quo tempore, ageretur; non temere, sed cum discretione, vt vulgo loquimur.

2) Veneta dat ὃδὲν ἀναβεβλ. f. voluit editor, aut dedit vel auctor ipse ὃδέ γ' ἀναβ.

3) Suspicabar aliquando ὑπὸ τοῦ ἐμμελοῦς τῆς μουσικῆς. *a serio et graui illius musices.* quod nunc in medio relinquam, quia ῥυθμοῦ insequens etiam hic nomen substantiuum, sibi respondens, postulare potest videri.

τῆ βασιλέως διάνοια σύντονος ἔσα καὶ θυμοειδής. ἐπεὶ Σαρδαναπάλλου ἐκ ἂν ποτε ἤκουσεν ἐκ τῆ θαλάμε καὶ παρὰ τῶν γυναικῶν, ἐχ ὅπως Τιμόθεος, ἢ ἄλλος τις τῶν νεωτέρων, ἀλλ' οὐδὲ Μαρσύας αὐτὸς ἢ Ὄλυμπος. δοκεῖ δὲ ἔμοιγε, μηδὲ τῆς Ἀθηνᾶς, εἰ δυνατὸν ἦεν[4]), διεξιέσης τὸν αὐτὸν[5]) νόμον, ἅψασθαί ποτε ὅπλων ἐκεῖνος· πολὺ δ' ἂν πρότερον ὀρχήσασθαι ἀναισχὺς, ἢ φυγεῖν· ἔτως ἀθλίως εἶχεν ὑπ' ἐξουσίας καὶ τρυφῆς. ἐκεῖν καὶ ἡμᾶς εἰκὸς ἐστι, μὴ χείρως ἀνδρὸς αὐλητῆ γενέσθαι, περὶ τὸ ἡμέτερον ἔργον[6]), μηδὲ ἧττον ἀνδρείως καὶ μεγαλόφρονας εὑρεῖν λόγως, τῶν ἐκείνε κρεμάτων. ἔτι δὲ, μὴ ἕνεκα τρόπον ἡμεσμένως, ἀλλὰ τὲς αὐτὲς σφοδρὲς[6b]) τε καὶ πραέως, καὶ πολεμικὲς ἅμα καὶ εἰρηνικὲς[7]), καὶ νομίμως[7b]), καὶ τῷ ὄντι βασιλικοὺς, ἅτε, οἶμαι, πρὸς ἀνδρεῖον βουλόμενον εἶναι

4) ἦεν abeſt a Veneta, et poteſt commode abeſſe.
5) αὐτῆς, lectionem marg. Mor. haud repudiem.
6) ἔργον] Sophiſtae (ſic tum appellabantur qui philoſophiae ſtuderent, eamque aliis, ſeu in ſcholis priuatis, ſeu in concionibus in publico habitis, traderent) erat, vt rectam viuendi rationem graui et exquiſita oratione docerent.
6b) φαιδρὲς margo Mor.
7) ἡσυχικὲς m. M.
7b) νομίμως tametſi defendi poteſt, haud ſatis placet. Poteſt vtique accipi, pro iis orationibus, quibus adducantur audientes legentesue ad obſequendum legibus; quemadmodum εἰρηνικοὶ λόγοι ſunt orationes pacem et concordiam conciliantes, et βασιλικοὶ docentes artem bene regnandi, vel et pro iis, quae ſint eiuſmodi, quales eſſe oporteat, loco et tempori conuenientes. Malim tamen γονίμως *fructuoſas*, in ſe tenentes ſemina quaſi honeſtarum ſententiarum et praeclararum animi commotionum atque actionum. Hoc obſtat vnum, quod inſequens νόμιμον βασιλέα videatur etiam hic νομίμως λόγως poſtulare; nam alias ἀντίθεσις labat.

ναι[8]) καὶ νόμιμον ἡγεμόνα, πολλοῦ μὲν δεόμενον θάρσους, πολλῆς δὲ καὶ ἐπιεικείας. ὁ γοῦν Τιμόθεος, εἰ, καθάπερ πολεμικόν τινα διελθεῖν ᾔδει νόμον, οὕτως ἠπίστατο δίκαιον αὔλημα, καὶ φρόνιμον, καὶ σώφρονα[9]) τὴν ψυχὴν, καὶ φιλάνθρωπον δυνάμενον παρασχεῖν, μὴ πρὸς ὅπλα ὁρμῶσαν μόνον, ἀλλὰ ἐπί[10]) τε εἰρήνην καὶ ὁμόνοιαν, καὶ θεῶν τιμὰς, καὶ ἀνθρώπων ἐπιμέλειαν, τοῦ παντὸς ἂν ἦν ἄξιον Ἀλεξάνδρῳ παρεῖναί[11]) τε καὶ ἐπαυλεῖν, οὐ θύοντι μόνον, ἀλλὰ καὶ ἄλλως, ὁπότε ἢ πενθῶν ἀκρίτως τύχοι παρὰ τὴν ἀξίαν καὶ τὸ πρέπον, ἢ κολάζων πικρότερον τοῦ νομίμου καὶ ἐπιεικοῦς, ἢ χαλεπαίνων τοῖς αὐτοῦ φίλοις τε καὶ ἑταίροις, ἢ ὑπερορῶν τοὺς θνητούς τε καὶ ἀληθεῖς γονέας. ἀλλὰ γὰρ οὐ πᾶσαν ἴασιν, οὐδὲ ὠφέλειαν ὁλόκληρον ἠθῶν, ἱκανὴ παρασχεῖν, ἡ μουσικῆς ἐπιστήμη τε καὶ ἕξις. οὐ γὰρ οὖν, ὥς φησιν ὁ ποιητὴς,

Οὐδ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός.

μόνος δὲ ὁ τῶν φρονίμων τε καὶ σοφῶν λόγος· οἷοι γεγόνασιν οἱ πολλοὶ[12]) τῶν προγόνων· ἀνενδεὴς καὶ τέλειος

8) volebam aliquando βουλομένους ἰέναι *orationes proficisci volentes ad principem*. Verum vulgata non minus bonam praestat sententiam, *ad principem euntes, qui vult studetque fortis et legibus seruiens esse*.

9) f. οὕτως ἠπίστατο δὴ καὶ αὔλημα, δικαίαν καὶ σώφρονα.

10) ἐπὶ] potest ferri, tametsi miror, cur discesserit a coepta oratione sine causa, et a πρὸς ad ἐπὶ deciderit; tolle ἐπί τε, et nil orationi deerit: quare fere suspicor in hoc ἐπί τε aliud quid latere; nescio an ἐπιτηδεύουσαν, *mentem studentem paci*, aut si ἐπί τε seruamus, suspicor post εἰρήνην deesse φερομένην vel tale quid.

11) παρεῖναί τε] subaudi αὐτὸν. *quantiuis facere par erat Alexandrum, vt sibi adesset Timotheus.*

12) οἷοι et πολλοὶ] scil. λόγοι. Ad προγόνων pertinere videtur πρότερον, quod est in V. L. Venetae. Varietatem lectionis Venetae appello collectionem, ἀμούσως illam quidem

τέλειος ἡγεμών, καὶ βοηθὸς εὐπειθὴς καὶ ἀγαθῆς φύσεως, πρὸς πᾶσαν ἀρετὴν παραμυθούμενός τε καὶ ἄγων ἐπιμελῶς. τίς ἂν ἓν πρέπουσα καὶ ἀξίως φανείη διατριβὴ τῆς σῆς προθυμίας; πόθεν ἂν εὕροιμεν ἡμεῖς τέλειον ἔτω λόγον, ἄνδρες ἀλῆται[13]), καὶ αὐτεργοὶ τῆς σοφίας, πόνοις τε καὶ ἔργοις ὡς[14]) δυνάμεθα χαίροντες τὰ πολλά· τὺς δὲ αὖ λόγους, παρακλήσεως ἕνεκεν φθεγγόμενοι πρὸς αὐτούς;

dem congeſtam, vt reperiri paene nil poſſit, quae eſt in fine Venetae. Collectionem hanc, quam in meo opuſculo Dioneo paene nunquam inſpexeram, nunc haud paulo diligentius inſpicium; haud enim vſu carebit.

13) Bonum eſt et ſeruari debet ἀλῆται (vt etiam vult Caſaubonus,) nam, tametſi etiam non malam reddat ſententiam, neque ab elegantia graeca abhorreat ἀθληταὶ, in quod etiam ante me dudum incidiſſe Henricum Stephanum, nuper admodum a Federico Morello accepi, qui libro Dionis vſus eſt, cuius margini Stephanus quaedam allevisſet, repugnat tamen auctoris propoſito hoc quidem loco, quo is extenuare ſuas laudes vult, et ſe oſtendere hominem paene contemnendum. ἀθλητὴς σοφίας eſt laus, eſt commendatio quaedam. Dio vero non iactare ſe, ſed premere et minuere atque obſcurare vult ſua ornamenta, quare ipſe ſe ἀλήτην extorrem, erronem, vagabundum appellat, et αὐτεργὸν τῆς σοφίας, qui ſapientiam ipſe ſibi ſuo marte parat, doctrina nulla vſus aliena, eam exercet ipſe corpore ſuo, adminiculo miniſtrorum in ea exercenda carens. De reliquo dictio ἀθλητὴς σοφίας pro ſtudioſo, laborioſo cultore ſapientiae, multas et magnas in eius exercitio moleſtias fortiter atque conſtanter tolerante, eſt valde bona, et exquiſita, ad illam facta Demoſthenicam ἀθληταὶ τῶν καλῶν ἔργων καὶ πάσης ἀρετῆς p. 799. 16. vbi Taylor citat P. Victorii Var. Lect. 24. 9. Sic Ariſtides II. 406. 10. ἀγωνιστὴς πολέμων. v. Diodor. Sic. II. 551. 40. Philoſtrat. 685, 28. 748, 19. ipſe Noſter infra ἀθλητάς τε καὶ ἀγωνιστὰς τῶν καλῶν ἔργων ἠγεῖτο — γρ. αὐληταὶ m. Mor.

14) ὡς] malim οἷς — id eſt ἐς πόνους πονεῖν καὶ ἃ ἔργα ἐργάζεσθαι δυνάμεθα.

αὐτὸς, καὶ τῶν ἄλλων ἀεὶ τὸν ἐντυγχάνοντα [15]) ὥσπερ οἱ κανθάροντες καὶ μεταφέροντες ἐκ εὔφορον βάρος, φθέγγονταί τε καὶ ᾠδὴν ἡσυχῇ τὸ ἔργον παραμυθούμενοι, ἐργάται ὄντες, ἐκ ᾠδοί τινες, ἢ δὲ ποιηταὶ μελῶν; πολλοὶ μὲν ἦν κατὰ φιλοσοφίαν λόγοι, καὶ πάντες οἰκοῦς ἄξιοι, καὶ θαυμασὴν ὠφέλειαν ἔχοντες, τοῖς μὴ παρέργως ἀπεροωμένοις. ἀλλὰ δεῖ τὸν ἐγγύς τε καὶ μάλιστα ἐψόμενον [16]) ἀναγινώσκοντας, καὶ παρακαλέσαντας Πειθώ τε καὶ Μούσας καὶ Ἀπόλλωνα, ὡς δυνατὸν προθύμως διελθεῖν. φέρε εἴπωμεν τά τε ἤθη καὶ τὴν διάθεσιν τῦ χρηστῦ βασιλέως, ἐν βραχεῖ περιλαμβάνοντες ὡς ἔνεστιν [17]),

—— ᾧ ἔδωκε Κρόνε παῖς ἀγκαλομήτεω
Σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσιν ἐμβασιλεύῃ [18]);

πάνυ γὰρ ἦν καλῶς σὺν ἄλλοις πλείοσιν Ὁμήρος, ἐμοὶ δοκεῖν, καὶ τῦτο ἔφη, ὡς ἐχ ἅπαντας παρὰ τῦ Διὸς ἔχοντας τὸ σκῆπτρον, ἐδὲ τὴν ἀρχὴν ταύτην, ἀλλὰ μόνους τὺς ἀγαθύς· ἐδὲ πολλοῖς τισι δικαίοις, ἢ τῷ βασιλεύεσθαι [19]) καὶ φροντίζειν ὑπὲρ

15) *ἀεὶ τὸν ἐντυγχάνοντα*] sic recte est in marg. Mor. annotatum, *et si qui alii nobiscum congrediuntur, prout suum quemque tempus identidem et opportunitas nobiscum conciliat et ad nos affert*, modo hunc hoc tempore, modo alium alio. *τῶν ἐντυγχανόντων* text. Mor. et Veneta.

16) *ἐψόμενον*] imo vero *ἀψόμενον*. redit enim ad *λόγον*. eam orationem, quae audientis animum vel maxime attingat, feriat, pertrectet et percellat.

17) *ὡς ἔνεστιν*] lego *ὅσ'* (aut *ὅσα*) *ἔνεστιν*. breui oratione complectentes ea omnia, quae insunt illi, cui Iupiter sceptrum dedit. eodem ducit *ὅσον*, quod est in V. L. Venetae.

18) Veneta *ἵνα σφίσι βασιλεύῃσι*.

19) *βασιλεύεσθαι*] adscripserat vir doctus, nescio quis, Veneto codici, quo vtor, *βασιλεύεσθαι*· recte vero. idem adscripserat hanc interpretationem: *neque alio iure, quam vi consulat*. plane vt Naogeorgus; et facile fiat, vt hic vir

ὑπὲρ τῶν ἀρχομένων. οὐχ ὥστε ἀκολαςαίνειν καὶ σπαθᾶν, ἀνοίας καὶ ὕβρεως καὶ ὑπερηφανίας, καὶ πάσης ἀνομίας ἐμπιμπλάμενόν [20]) τε, καὶ ἀποπιμπλάντα ἐξ ἅπαντος αὐτοῦ τὴν ψυχὴν τεταραγμένην ὀργαῖς τε καὶ λύπαις καὶ φόβοις καὶ ἡδοναῖς, καὶ παντοίαις ἐπιθυμίαις· ἀλλ' ὡς οἷόν τε, προσέχοντα τὸν νοῦν αὐτῷ τε καὶ τοῖς ὑπηκόοις, νομέα καὶ ποιμένα τῷ ὄντι τῶν λαῶν γιγνόμενον, οὐχ ἑςιάτορα καὶ δαιτυμόνα, ὡς ἔφη τὶς, οἷον οὐδὲ καθεύδειν αὐτὸν ἀξιοῖ [21]) δι' ὅλης τῆς νυκτὸς, ὡς οὐκ οὔσης αὐτῷ σχολῆς ῥαθυμεῖν. ταῦτα γάρ φησι καὶ Ὅμηρος ὁμοίως τοῖς ἄλλοις σοφοῖς τε καὶ ἀληθέσιν ἀνδράσιν, ὡς οὐδείς ποτε πονηρὸς καὶ ἀκόλαςος καὶ φιλοχρήματος, οὔτε αὐτὸς ἑαυτοῦ γενέσθαι δυνατὸς ἄρχων, οὐδ' ἐγκρατής· οὔτε τῶν ἄλλων οὐδενὸς, οὐδ' ἔςαι ποτὲ ἐκεῖνος βασιλεὺς, οὐδ' ἂν πάντες φῶσιν Ἕλληνες καὶ Βάρβαροι, καὶ ἄνδρες καὶ γυναῖκες [22]). καὶ μὴ μόνον ἄνθρωποι θαυμάζουσιν [23]) αὐτὸν

vir doctus, cuius me nomen fugit, idem sit cum Naogeorgo. malim tamen *neque alia lege*, seu *conditione*. quicquid est, paret illum, vel illos existimasse, legendum esse, quod vtique est, οὐδ' ἐπ' ἄλλοις τισὶ δικαίοις. τὰ δίκαια sunt pacta conuenta, leges, in quas consentiunt, et quas ipsi sibi mutuo consensu scribunt, qui secum paciscuntur. v. ind. Demosthen.

20) ἐμπιμπλάμενον] Subaudi τινα αὐτῶν.

21) aut αὐτὸς ἀξιοῖ *ipse* (Homerus puta) *vult* vel postulat, vel αὐτὸν ἀξιοῦν. prius si malumus, erit οἷον *qualem*; sin posterius, erit οἷον *valentem*. qui a semet ipse hoc exigat, vt totas per noctes ne dormiat.

22) ἄνδρες καὶ γυναῖκες] Veneta dat ἄνδρες δὲ γυν. compone ambas lectiones et veram habebis: ἄνδρες δὲ καὶ γυναῖκες.

23) θαυμάζουσιν — ὑπακούουσιν et συγχωρεῖ — ποιεῖ] aut mutandi sunt hi quatuor indicatiui, id quod malim, coniunctiuis, θαυμάζωσιν, ὑπακούωσιν, συγχωρῇ et ποιῇ, aut φῶσιν paulo ante mutandum est cum φάσιν.

αὐτὸν καὶ ὑπακούουσιν, ἀλλ' οἵ τε ὄρνιθες πετόμενοι[24]), καὶ τὰ θηρία[25]) ἐν τοῖς ὄρεσι, μηδὲν ἧττον τῶν ἀνθρώπων, συγχωρεῖ τε καὶ ποιεῖ τὸ προστατόμενον. οὐκοῦν λέγωμεν, ὑπὲρ τοῦ καθ' Ὅμηρόν τε καὶ τῇ ἀληθείᾳ βασιλέως. οὗτος γὰρ ὁ λόγος ἁπλῶς λεγόμενος ἄνευ πάσης κολακείας ἢ λοιδορίας, αὐτὸς ἀφ' αὑτοῦ, τὸν μὲν ὅμοιον τῷ ἀγαθῷ γνωρίζει τε καὶ ἐπαινεῖ, καθόσον ἐστὶν ἐκείνῳ ὅμοιος· τὸν δὲ ἀνόμοιον ἐξελέγχει τε καὶ ὀνειδίζει. ἔστι δὴ, πρῶτον μὲν θεῶν ἐπιμελὴς, καὶ τὸ δαιμόνιον προτιμῶν. οὐ γὰρ δυνατὸν ἄλλῳ τινὶ πεποιθέναι μᾶλλον τὸν δίκαιον ἄνδρα καὶ ἀγαθὸν, ἢ τοῖς δικαιοτάτοις τε καὶ ἀρίστοις θεοῖς. ὅστις δὲ κακὸς ὢν ἡγεῖταί ποτε θεοὺς ἀρέσκειν, κατ' αὐτὸ τοῦτο πρῶτον, οὐχ ὅσιός ἐστιν[26]). ἢ γὰρ ἀνόητον, ἢ πονηρὸν νενόμικε τὸ θεῖον. μετὰ δὲ τοὺς θεοὺς, ἀνθρώπων ἐπιμελεῖται· τιμῶν μὲν καὶ ἀγαπῶν τοὺς ἀγαθοὺς, κηδόμενος δὲ πάντων. τίς μὲν γὰρ ἀγέλης βοῶν κήδεται μᾶλλον τοῦ νέμοντος; τίς δὲ ποιμνίοις ὠφελιμώτερός τε καὶ ἀμείνων ποιμένος; τίς δὲ μᾶλλον Φίλιππος τοῦ πλείστων μὲν ἄρχοντος ἵππων, πλεῖστα

24) πετόμενοι] tametsi libere per auras volant. Huc referendum videtur esse Scholium ad imam oram p. 3. ed. Mor. adscriptum: ὁποῖον ἱστορεῖται περὶ τῶν Λιβύων βασιλέως Ἀψεφᾶ διὰ τῶν ψιττακῶν μεμηχανῆσθαι ἱπταμένων, καὶ κελαδούντων· Ἀψεφᾶς θεός ἐστιν.

25) τὰ θηρία ἐν τοῖς ὄρεσι] tametsi iuris sui sunt, libereque per montes et saltus inaccessos vagantur.

26) κατ' αὐτὸ -- ὅσιός ἐστιν] *propter hoc ipsum primum, est impius.* h. e. prima et praecipua causa, cur impius habeatur, est hoc, quod existimet, deos se, cum sit improbus et impurus, tamen probaturos esse. quod si autem πρῶτον non pro adiectiuo, sed pro aduerbio, *primo loco*, habeamus, deerit aliquid. *propter hoc ipsum erit, primum impius, deinde* — ἔπειτα καὶ ἠλίθιος, *deinde vero etiam stultus*, vel simile quid.

φα δὲ ἀφ' ἵππων ἀφελεμένῳ; τίνα δὲ εἰκὸς ἔτως εἶναι φιλάνθρωπον, ἢ ὅστις [27]) πλείσων μὲν ἀνθρώπων ἐγκρατής ἐστι, μάλιστα δὲ ὑπὸ ἀνθρώπων θαυμάζεται; δεινὸν γάρ, εἰ οἱ ἀλλοφύλων καὶ ἀγρίων ἄρχοντες θηρίων, εὐνέτεροί εἰσι τοῖς ἀρχομένοις, τῷ βασιλεύοντος ἀνθρώπων ἡμέρων καὶ ὁμοφύλων. καὶ μέντοι καὶ φιλῶσι, καὶ ἀνέχονται μάλιστα πάντων ἀγέλαι μὲν νομέων [28]), ἵπποι δὲ ἡνιόχων· κυνηγέται δὲ ὑπὸ κυνῶν φυλάσσονται καὶ ἀγαπῶνται, καὶ τἆλλα ἔτως [29]) ἀγαπᾷ τὰ ἀρχόμενα τὸς ἄρχοντας. πῶς ἔν εἰκὸς, τὰ μὲν ἄφρονα καὶ ἀγνώμονα εἰδέναι καὶ φιλεῖν τὸς ἐπιμελουμένους· τὸ δὲ πάντων συνετώτατον, καὶ μάλιστα ἀποδοῦναι χάριν ἐπισταμένον, ἀγνοεῖν καὶ ἐπιβουλεύειν; ἀλλὰ γὰρ ἀναίσχυντον, τὸν ἥμερον καὶ φιλάνθρωπον βασιλέα, μὴ μόνον φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἀλλὰ καὶ ἐρᾶσθαι· ταῦτ' ἔν εἰδὼς, καὶ φύσει τοιοῦτος ὤν, ἵλεων καὶ πρᾷον παρέχει τὴν ψυχὴν πᾶσιν, ὥστε πάντας ἡγεμένους εὔνους καὶ φίλους. καὶ μὲν δὴ οἴεται δεῖν πλεῖον [30]) ἔχειν διὰ τὴν ἀρχὴν, ἢ τῶν χρημάτων, οὐδὲ τῶν ἡδονῶν, ἀλλὰ τῆς ἐπιμελείας καὶ τῶν φροντίδων. ὥστε καὶ φιλόπονος μᾶλλόν ἐστιν, ἢ πολλοὶ τῶν ἄλλων φιλήδονοι καὶ φιλοχρήματοι. ἐπίσαται γὰρ, ὅτι αἱ μὲν ἡδοναὶ, τὸς ἀεὶ συνόντας [31]), τά τε ἄλλα λυμαίνονται, καὶ ταχὺ πείθουσιν ἀδυνάτους πρὸς αὐτάς· οἱ δὲ πόνοι τά τε [32]) ἄλλα ὠφελοῦντες, ἀεὶ μᾶλλον παρέχουσι δυναμένους πονεῖν [33]). ἐκεῖν

μόνῳ

27) ἔτως εἶναι φιλάνθρωπον, ἢ ὅσις] apparet aut pro ἔτως ſubiiciendum eſſe μᾶλλον, aut pro ἢ, ὡς.
28) νομεῖς et ἡνιόχες margo Mor.
29) f. καὶ τὰ ἄλλα δὲ ἔτως.
30) πλεῖον] V. L. Ven. πλέον.
31) συνόντας] ſubaudi αὐταῖς.
32) aut τε eſt delendum, aut leg. eſt ὠφελοῦσι καὶ ἀεὶ.
33) poſt πονεῖν videtur aliquid deeſſe; nam cum Dio paullo ante

μόνῳ ἔξεστιν αὐτῷ, τοὺς μὲν στρατιώτας, συστρατιώτας προσειπεῖν, τοὺς συνήθεις, φίλους, μὴ δὲ καταγελῶντα [34]) τοῦ ὀνόματος τῆς φιλίας· πατέρα δὲ τῶν πολιτῶν καὶ τῶν ἀρχομένων οὐ λόγῳ κεκλῆσθαι μόνον, ἀλλὰ τοῖς ἔργοις [35]) τοῦτο ἐπιδείκνυσθαι· δεσπότην δὲ, οὐχ ὅπως τῶν ἐλευθέρων, ἀλλὰ μηδὲ τῶν δούλων χαίρειν καλούμενον. βασιλεύειν γὰρ οὐχ αὑτοῦ χάριν οἴεται μᾶλλον ἑνὸς ὄντος, ἢ τῶν ἀνθρώπων ἁπάντων. καὶ τοίνυν εὐεργετῶν ἥδεται πλείω τῶν εὐεργετουμένων, καὶ μόνης ταύτης τῆς ἡδονῆς ἐστιν ἀκόρεστος. τὰ μὲν γὰρ ἄλλα τῆς βασιλείας ἀναγκαῖα νενόμικε· τὸ δὲ τῆς εὐεργεσίας, μόνον ἑκούσιόν τε καὶ εὔδαιμον. καὶ τῶν μὲν ἀγαθῶν ἀφειδέστατός ἐστι, ὡς οὐδέποτε ἐπιλειψόντων· κακοῦ δὲ ἧττον αἴτιος γίνεσθαι πέφυκεν, ἤπερ ὁ ἥλιος τοῦ σκότους. ὃν οἱ μὲν ἰδόντες καὶ συγγενόμενοι οὐκ ἐθέλουσιν ἀπολιπεῖν· οἱ δὲ ἀκούοντες ἐπιθυμοῦσιν ἰδεῖν, μᾶλλον ἢ παῖδες ἀγνοουμένους πατέρας ἀνευρεῖν. τοῦτον οἱ μὲν πολέμιοι δεδοίκασι, καὶ οὐδεὶς ὁμολογεῖ πολέμιος εἶναι, οἱ δὲ φίλοι θαῤῥοῦσι· καὶ οἱ σφόδρα ἐγγὺς, ἡγοῦνται πάντες [36]) ἐν τῷ ἀσφαλεστάτῳ εἶναι. οὗ τἀναντία ὑπάρχει τῷ κακῷ· τοὺς μὲν ἐχθροὺς θαῤῥύνειν· τοὺς δὲ φίλους καὶ τοὺς ἐγγὺς ἐκπλήττειν καὶ φοβεῖν. τῷ γεμὴν ἡμέρῳ καὶ ἀβλαβεῖ τοὺς μὲν προσλιπαροῦντας, μετὰ τοῦ πεποιθότος περιγίνεται βιοῦν· τοὺς δὲ προσιόν-

ante deditos voluptatibus cum auaris copulasset, consentaneum erat, et exspectabat lector quisque, vt, posteaquam de damnis vitae libidinosae exposuisset, incommoda quoque cupiditatis seu auaritiae exsequeretur.

34) τοὺς δὲ συνήθεις, φίλους, μὴ (quod est in Veneta, aut μηδὲν) καταγελῶντα.

35) ἀλλὰ καὶ τοῖς ἔργοις.

36) πάντες] malim πάντων. *in loco esse omnium tutissimo*, vt nulli sint alii in tutiore.

τας καὶ ὀρῶντας, ἐκ ἔκπληξις ἀδὲ φόβος, ἀλλ' αἰδὼς ὕπεισι, πολὺ κρεῖττον καὶ ἰσχυρότερον φόβου. τὸς μὲν γὰρ φοβουμένους ἀνάγκη μισεῖν καὶ ἀποδιδρᾶναι θέλειν[37]· τὸς δὲ αἰδουμένους παραμένειν καὶ θαυμάζειν. τὴν μὲν ἐν ἁπλότητα καὶ τὴν ἀληθειαν, ἡγεῖται βασιλικὸν καὶ φρόνιμον· τὴν δὲ πανουργίαν καὶ τὴν ἀπάτην, ἀνόητον καὶ δειλοπρεπές, ὁρῶν, ὅτι καὶ τῶν θηρίων τὰ δειλότατα, καὶ ἀγεννέστατα ἐκεῖνα[38] καὶ ψευδέστατα πάντων μάλιστα καὶ ἐξαπατᾷ. φιλότιμος δὲ ὢν τὴν φύσιν, καὶ εἰδὼς[39], ὅτι τὸς ἀγαθὸς πεφύκασιν οἱ ἄνθρωποι τιμᾶν· ἧττον ἐλπίζει τιμᾶσθαι ἂν ὑπὸ ἀκόντων, ἢ παρὰ μισόντων φιλίας τυγχάνειν. καὶ πολεμικὸς μὲν ἔτως ἐστὶν, ὥστε ἐπ' αὐτῷ εἶναι τὸ πολεμεῖν[40]). εἰρηνικὸς δὲ ἔτως[40b]), ὡς μηδὲν ἀξιόμαχον αὐτῷ λείπεσθαι.

37) ἀποδιδρᾶναι θέλειν] sic dedi, et pro prima voce V. L. Venetae etiam dat ἀποδιδρᾶναι. Ven. et Mor. dant ἀποδιδρᾶν ἐθέλειν. natum vitium e permutatione τᾶ αι cum ε, quae in codd. occurrit creberrima.

38) ἐκεῖνα mouet suspicionem defectus, e. c. οἷον ἀλώπεκες vel tale quid; nisi est Latinismus. *timidissima illa et ignauissima animalia*, vbi subauditur, quae nemo ignorat quae sint, aut redundat, vt saepe ἔτος vel ταῦτα per abundantiam subiiciuntur.

39) καὶ εἰδὼς abest a Veneta, sed perperam.

40) τὸ πολεμεῖν] Interpretem h. l. a sententia longe aberrasse ait Casaubonus, quod ipse passus est. recte enim vero interpres pro τῷ ed. Mor. interpretando reddidit τὸ, quod etiam vir doctus Venetae meae adscripserat. Hactenus quidem recte Naogeorgus. Sed caput rei haud vidit. nam permutandae sunt sedes harum duarum vocum πολεμικὸς et εἰρηνικὸς, et hoc in illius locum, illud autem in huius locum est immittendum, vt haec sit sententia: *hactenus studet paci, vt penes eum sit* τὸ πολεμεῖν *sumendi belli arbitrium, hactenus autem bello dat operam, vt nullum sibi relinquat hostem, vnde metus sit.*

40b) ὄντως m. Mor.

πεσθαι. καὶ γὰρ δὴ καὶ τόδε οἶδεν, ὅτι τοῖς καλλισα πολεμεῖν παρεσκευασμένοις, τούτοις μάλισα
35. ἔξεσιν εἰρήνην ἄγειν. φιλέταιρος δὲ καὶ φιλοπολίτης, καὶ φιλοστρατιώτης, ὁμοίως πέφυκεν. ὅσις μὲν γὰρ ὑπερόπτης τῶν στρατευομένων, καὶ ἐδεπώποτε ἢ σπανίως ἑώρακε τοὺς ὑπὲρ τῆς ἀρχῆς κινδυ-
40. νεύοντας καὶ πονοῦντας· τὸν δὲ ἀνόητον [41]) καὶ ἄνοπλον ὄχλον διατελεῖ θωπεύων [41b]), ὁμοίόν γε πέπονθε, καθάπερ εἰ ποιμὴν τοὺς μὲν [42]) συμφυλάττοντας αὐτῷ ἀγνοοίη, καὶ μήτε τροφὴν αὐτοῖς ἐρέγοι,
45. μήτε [43]) συναγρυπνήσειέ ποτε φυλάττουσιν. ὅτος γὰρ ἐ τοὺς θηρίοις μόνον, ἀλλὰ καὶ τοὺς κύνας ἀνεπείθες, μὴ ἀπέχεσθαι τῆς ποίμνης. ὅσις δὲ τοὺς μὲν στρατιώτας διαθρύπτει, μήτε γυμνάζων, μήτε πονεῖν παρακελευόμενος, τῶν δὲ ἄλλων ἀνθρώπων
5. ἠμέλησεν, ὁμοιός ἐσι κυβερνήτῃ τοὺς μὲν ναύτας διαφθείροντι, πλησμονῇ τε καὶ ὕπνῳ δι' ἡμέρας, τῶν δὲ ἐπιβατῶν καὶ τῆς νηὸς ἀπολλυμένης ἑδὲν φροντίζοντι. εἰ δέ τις πρὸς μὲν ταῦτα ἔχει μετρίως,
10. τοὺς δὲ πλησίον αὐτῷ καὶ φίλους καλεμένους ἀναγκάζει [44]) τε καὶ μὴ σκοπεῖ τοῦτο, ὅπως δόξωσι μα-

41) ἀνόητον] nunquam non laborauit popellus ignominia vecordiae. Sed huic loco, quo popellus inermis militiaeque muniis exsolutus, opponitur militibus pro patria labores tolerantibus et discrimina adeuntibus, melius videtur conuenire ἀνόνητον, *inutilem*. verum est popellum esse inutilem, et oneroſum adeo reip. si non seueriſſimo sensu, sed paullo mitius accipiatur.

41b) θεραπεύων m. Mor.

42) aut delendum est μέν, aut deest aliquid sententiae, ad hunc fere modum: τοῖς δὲ λῃσαῖς συνδιαιτῶτο.

43) μήτε] sic recte emendat Casaubonus. μήτ' εἰ Ven. et Mor.

44) recte vidit Casaub. ἀναγκάζει in indicatiuo esse scrib. (quod idem vir doctus quoque in Veneto meo annotauit) tum deesse aliquid, varia ipse comminiscens. ego suspicor πεινῆν deesse. *cogat esurire*. ἀναγκάζοι Mor. et Ven.

καίριοι καὶ ζηλωτοὶ πᾶσι, λανθάνει προδότης αὐτῷ καὶ τῆς ἀρχῆς γενόμενος· τὲς μὲν ὄντας φίλες ἀθύμες ποιῶν, τῶν δὲ ἄλλων μηδένα ἐπιθυμεῖν τῆς αὐτῷ φιλίας· ἀποστερῶν δὲ αὐτὸν τῷ καλλίστῳ καὶ ὠφελιμωτάτῳ κτήματος φιλίας. τίς μὲν γὰρ ἀοκνότερος πονεῖν, ὅταν τοιῶτος [45]) καιρὸς ᾖ, φίλος; τίς δὲ δυσχεραίνειν ἑτοιμότερος ἐν ταῖς ἀτυχίαις [46]); ὁ παρὰ τίνος δὲ ἔπαινος ἡδίων, ἢ τῶν φίλων; παρὰ τίνος δὲ ταληθὲς ἀλυπότερον; τίς δὲ φρερὰ [47]); ποῖα δὲ ἐρύματα; [ὁποίων [48])] ποῖα δὲ ὅπλα βεβαιότερα καὶ κρείττω τῆς ἀπὸ τῶν εὐνοούντων φυλακῆς; ὁπόσες γὰρ ἄν τις ᾖ κεκτημένος ἑταίρες, τοσούτοις μὲν ὀφθαλμοῖς, οἷ βέλεται, ὁρᾷ, τοσαύταις δὲ ἀκοαῖς, αἷ δεῖ, ἀκούει, τοσαύταις δὲ διανοίαις διανοεῖται περὶ τῶν συμφερόντων. διαφέρει γὰρ οὐδέν, ἢ εἷ τῳ θεὸς ἐν σώματι ἔχοντι πολλὰς ψυχὰς ἔδωκεν, ἀπάσας ὑπὲρ ἐκεῖνα προνοουμένας. ἵνα δὲ τὰ πολλὰ ἀφεὶς εἴπω τὸ φανερώτατον σημεῖον, τοιοῦτός ἐστιν ὁ χρηστὸς βασιλεὺς, ὃν [49]) οἱ ἀγαθοὶ ἄνδρες οὐκ αἰσχύνονται ἐπαινοῦντες ὅτε τὸν παρόντα χρόνον,

45) τοιῶτος] Casaub. τοῦτος suadet vel τοιοῦτος. quo non valde opus esse existimem.

46) pro ἀτυχίαις est in Veneta εὐτυχίαις. Scio in codd. graecis mistis α et ευ inter se saepissime permutari. quid si tamen ex vno colo duo faciamus, ad hunc modum: τίς δὲ δυσχεραίνειν ἐν ταῖς ἀτυχίαις; τίς δὲ συγχαίρειν ἐν ταῖς εὐτυχίαις.

47) post Φρερὰ deesse videtur ἀσφαλεςέρα et post ἐρύματα, ἐχυρώτερα.

48) pro ὁποίων dat Veneta ὁποίας. vtrumque est vitiosum, et recte Morellus suum ὁποίων, vt delendum, vncis inclusit.

49) ὃν cohaeret cum ἐπαινοῦντες. *quem a se laudibus ornari nil pudet bonos, neque reformidant aut suum aeuum, aut insequentia saecula, ne suas praedicationes illis minus approbent.*

χρόνον, ἔστε τὸν ὕστερον. καὶ μέντοι καὶ αὐτὸς, ὁ τὸν παρὰ τῶν βαναύσων καὶ ἀγοραίων ἀγαπᾷ τὸν [50]) ἔπαινον, ἀλλὰ τὸν παρὰ τῶν ἐλευθέρων καὶ γενναίων, οἷς ἐκ ἄξιον τὸ ζῆν ψευσαμένοις. τίς ἂν ἐκ ἂν μακαρίσειεν τὸν τοιοῦτον ἄνδρα τε καὶ βίον; πόθεν δὲ ἐκ ἂν ἔλθοιεν ἐπ' ἐκεῖνον ὀψόμενοί τε αὐτὸν καὶ ἀπολαύσοντες τῆς καλῆς διανοίας καὶ ἀγαθῆς; τί μὲν γὰρ σεμνότερον θέαμα, γενναίῳ καὶ φιλοπόνῳ βασιλέως; τί δὲ ἥδιον ἡμέρᾳ καὶ προσφιλὲς; πάντας [51]) μὲν εὖ ποιεῖν ἐπιθυμοῦντος, ὠφελεῖν δὲ δυναμένου. τί δὲ λυσιτελέστερον ἴσῃ καὶ δικαίᾳ; τίνος μὲν γὰρ ὁ βίος ἀσφαλέστερος, ἢ οὗ πάντες ὁμοίως φυλάττουσιν; ὁ τίνος δὲ ἡδίων, ἢ τῷ μηδένα ἐχθρὸν ἡγεμένῳ; τίνος δὲ ἀλυπότερος, ἢ τῷ μηδὲν ἔχοντος αὐτὸν αἰτιάσασθαι; τίς δὲ εὐτυχέστερος ἐκείνῳ τῷ ἀνδρὸς, ὃς τῶν ἀγαθῶν ἐδένα λανθάνει [52])· ἐγὼ μὲν ἂν ἁπλῶς εἶπον τὰ περὶ τὸν ἀγαθὸν βασιλέα. τούτων δὲ εἴ τι φαίνεταί σοι προσήκειν, μακάριος μὲν αὐτὸς τῆς εὐγνώμονος καὶ ἀγαθῆς φύσεως· μακάριοι δὲ ὑμεῖς [53]) οἱ συμμετέχοντες. μετὰ δὲ τὸν γᾶν [54]) εἰρημένον λόγον, ἐγὰ

50) τὸν dele, aut deest aliquid. e. c. τὸν εὐκαταφρόητον καὶ εὐεξαγόρασον ἔπαινον *praedicationem et facile contemnendam, et vili redimendam.* vel τὸν ἀβέβαιον καὶ εὐμετάβλητον ἔπαινον *infidam et mutabilem.*

51) aut hic ἅπαντας, aut paulo post πάντας, consensus et constantiae ergo; et sic quoque ὁ τίνος δὲ ἀλυπότερος, ob praecedentem versum.

52) ὃς τῶν -- λανθάνει] praefert Morellus lectionem marginis ὅσις ἀγαθὸς ὢν ἐδένα λ. mihi videtur vtraque lectio copulanda esse ὅσις ἀγαθὸς ὢν τῶν ἀγαθῶν ἐδένα λ.

53) ὑμεῖς potest ferri, et sic accipi, ac si orator subito a principe ad circumstantem coronam transferret orationem. malim tamen vtique cum Casaubono et Anglo, quem Wolf probat, ἡμεῖς.

54) γᾶν] aut νῦν tantum, aut νῦν ὀπωσᾶν.

μὲν[55]) ἐπεθύμουν διελθεῖν περὶ τῦ μεγίστε καὶ πρώτε βασιλέως καὶ ἄρχοντος, ὃν χρὴ μιμεμένους ἀεὶ τὸς θνητὸς καὶ τὰ τῶν θνητῶν διέποντας, ἐπιμελεῖσθαι[56]) πρὸς ἐκεῖνον, ὡς δυνατόν ἐσιν εὐθύνοντας[57]) καὶ ἀφομοιῦντας τὸν αὐτῶν τρόπον. διὰ τῦτο γὰρ καὶ Ὅμηρος διοτρεφέας εἶναι φησὶ τὸς ἀληθῶς βασιλέας, καὶ Διὶ τὴν βελὴν ὁμοίως, καὶ τὸν Μίνω, μεγίστην ἔχοντα δόξαν ἐπὶ δικαιοσύνῃ, τῦ Διὸς ὁμιλητὴν ἔφη γενέσθαι. καὶ σχεδὸν ὅσοι πώποτε ἐν Ἕλλησιν, ἢ Βαρβάροις γεγόνασι βασιλεῖς, ἐκ ἀνοήτοις τυγχάνειν τἀύτης τῆς προσηγορίας, τῦ θεῦ τότε μαθηταὶ τε καὶ ζηλωταὶ ὁ λόγος[58]) αὐτὸς ἀποφαίνεται. Ζεὺς γὰρ μόνος θεῶν πατὴρ καὶ βασιλεὺς ἐπονομάζεται, καὶ Πολιεὺς, καὶ Φίλιός τε καὶ Ἑταιρεῖος, καὶ Ὁμόγνιος. πρὸς δὲ τότοις, Ἱκέσιός τε καὶ Φύξιος, καὶ Ξένιος, καὶ μυρίας ἄλλας ἐπικλήσεις ἔχων, πάσας[59]) ἀγαθὰς καὶ ἀγαθῶν αἰτίας[60]). Βασιλεὺς μὲν, κατὰ τὴν ἀρχὴν καὶ τὴν δύναμιν ὀνομασμένος. πατὴρ δὲ, οἶμαι, διά τε τὴν κηδεμονίαν καὶ τὸ πρᾶον· Πολιεὺς δὲ, κατὰ τὸν νόμον[61]) καὶ τὸ κοινὸν ὄφελος· Ὁμό-

γνιος

55) μὲν] huic particulae respondet ea, quae p. 59. 10. leguntur, vbi filum orationis longa interlocutione distinctum resumitur atque continuatur.

56) post ἐπιμελεῖσθαι videtur deesse τῦ φαίνεσθαι· *studere, vt se gerant*, vel *praestent*.

57) εὐθύνοντας] malim compositum ἀπευθύνοντας.

58) ὁ λόγος] *fama historica*.

59) distinguo sic: — ἐπικλήσεις, ἔχων πάσας.

60) αἰτίας] id est δηλωτικὰς vel σημαντικὰς. nomen enim ipsum bona non creat, sed solummodo indicat. hactenus tamen ferri potest αἰτίας, quod ei, cui virtutum appellationes iure competunt, et eas qui meritus est, ab eo bona proficiscuntur. tametsi hoc paulo longius est arcessitum.

61) f. κατὰ τὸ νόμιμον vel κατὰ τὸ ἔννομον. propter legum tutelam et exsecutionem.

γνιος δὲ, διὰ τὴν τῆ γένες κοινωνίαν θεοῖς τε καὶ ἀνθρώποις· Φίλιος δὲ καὶ Ἑταιρεῖος, ὅτι πάντας ἀνθρώπες ξυνάγει, καὶ βέλεται εἶναι ἀλλήλοις φίλες, ἐχθρὸν δὲ ἢ πολέμιον μηδένα. Ἱκέσιος δὲ, ὡς ἂν [62]) ἐπήκοός τε καὶ ἵλεως τοῖς δεομένοις· Φύξιος δὲ διὰ τὴν τῶν κακῶν ἀπέφευξιν [63])· Ξένιος δὲ ὅτι καὶ τῆτο ἀρχὴ φιλίας, μηδὲ τῶν ξένων ἀμελεῖν, μηδὲ ἀλλότριον ἡγεῖσθαι μηδένα ἄνθρωπον. Κτήσιος δὲ καὶ Ἐπικάρπιος, ἅτε τῶν καρπῶν αἴτιος, καὶ δοτὴρ πλέτε καὶ κτήσεως, οὐ πενίας, οὐδὲ ἀπορίας. ὡς εὐθὺς ἀπάσας ταύτας δέον γενέσθαι [64]) τὰς δυνάμεις, τῇ τῆ βασιλέως δυνάμει τε καὶ κλήσει. καλὸν ἂν εἰπεῖν ὑπὲρ τῶν ὅλων τῆς διοικήσεως ὁποῖόν γε τὸ ξύμπαν, ὡς ἂν αὐτό [65]) τε τὸ εὔδαιμον καὶ σῶφρον ἀεὶ διαπορεύηται [66]) τὸν ἄπειρον αἰῶνα, συνεχῶς ἐν ἀπείροις περιόδοις, μετὰ ψυχῆς τε ἀγαθῆς καὶ δαίμονος ὁμοίως [67]), καὶ προνοίας, καὶ ἀρχῆς τῆς δικαιοτάτης τε καὶ ἀρίστης, ἡμᾶς τε ὁμοίως παρέχηται [68]), κατὰ φύσιν κοινὴν τὴν αὐτῆ καὶ τὴν ἡμετέραν, ὑφ' ἑνὶ θεσμῷ καὶ νόμοις κεκοσμημένας [69]); καὶ τῆς αὐτῆς

62) ἂν] f. ὢν.

63) Φύξιος δὲ — ἀπόφ.] possit quoque Iupiter ideo sic dictus esse, διὰ τὴν ἐν τοῖς κακοῖς πρὸς αὐτὸν καταφυγὴν τῶν ταλαιπωρεόντων.

64) f. δέον ἐγγενέσθαι.

65) αὐτὸ] Sic recte Casaubonus, redit enim ad τὸ ξύμπαν. Sed totum locum sic refingo: ὁποῖόν τε (non γε) τὸ ξύμπαν, καὶ, ὅτι ὡς ἂν αὐτὸ ςέγον (id est ἔχον in se tenens, et habens propriam et cognatam sibi felicitatem) τὸ εὔδαιμον. quale sit vniuersum, et quod, vtpote in se habens. Veneta et Morell. dant αὐτός.

66) διαπορεύεται, in indicatiuo.

67) δαίμονες ὁμοίως] Subaudi ἀγαθῆ, nam est etiam δαίμων κακός. Recurrit eadem dictio p. 43, 40. ed. Mor. vbi interpres recte reddidit.

68) παρέχεται.

69) f. νόμοις τοῖς αὐτοῖς κεκοσμ.

τῆς μετέχοντας πολιτείας. ἢν ὁ μὲν τιμῶν καὶ φυλάττων, καὶ μηδὲν ἐναντίον πράττων, νόμιμος καὶ θεοφιλὴς, καὶ κόσμιος· ὁ δὲ ταράττων, ὅσον ἐφ' ἑαυτῷ, καὶ παραβαίνων καὶ ἀγνοῶν, ἄνομος καὶ ἄκοσμος, ὁμοίως μὲν ἰδιώτης, ὁμοίως δὲ ἄρχων ὀνομαζόμενος· πολὺ δὲ μείζων καὶ φανερωτέρα πᾶσιν, ἡ παρὰ τῶ ἄρχοντος πλημμέλεια. ὥσπερ ἂν ὅσοι στρατηγοί τε καὶ ἄρχοντες στρατοπέδων καὶ πόλεων καὶ ἐθνῶν, ὅσις ἂν τὸν σὸν μάλιστα μιμῆται τρόπον, καὶ τοῖς σοῖς ἤθεσιν ὅμοιον αὑτὸν, ὡς δυνατὸν, φαίνηται παρέχων, ἔτος ἂν εἴη σοὶ πάντων ἑταιρότατος καὶ προσφιλέστατος· εἰ δέ τις ἐναντίος καὶ ἀνόμοιος γίγνοιτο, δικαίως ἂν τυγχάνοι μέμψεώς τε καὶ ἀτιμίας, καὶ αὐτῆς τε[70]) τῆς ἀρχῆς ταχὺ παυθεὶς[71]), παραχωρήσειεν ἑτέροις ἀμείνοσί τε καὶ ἄμεινον δυναμένοις διοικεῖν· ἕτω δὴ καὶ τῶν βασιλέων, ἅτε οἶμαι παρὰ τῶ Διὸς ἐχόντων τὴν δύναμιν καὶ τὴν ἐπιτροπὴν, ὃς μὲν ἂν πρὸς ἐκεῖνον βλέπων, πρὸς τὸν τῶ Διὸς νόμον τε καὶ θεσμὸν κοσμῇ[72]) καὶ ἄρχῃ δικαίως τε καὶ καλῶς, ἀγαθῆς τυγχάνει μοίρας, καὶ τέλεος εὐτυχεῖς. ὃς δ' ἂν παραβῇ καὶ ἀτιμάσῃ τὸν ἐπιτρέψαντα ἢ δόντα τὴν δωρεὰν ταύτην, ἐδὲν ἀπώνατο τῶν ἀπὸ τῆς πολλῆς ἐξουσίας καὶ δυνάμεως, ἢ τοσοῦτον μόνον, ὅσον φανερὸς πᾶσι γενέσθαι τοῖς καθ' αὑτὸν καὶ τοῖς ὕστερον, πονηρὸς καὶ ἀκόλαστος ὤν, τὸν μυθευόμενον Φαέθοντος ἀναπληρώσας πότμον[73]). ἅτε

ἰσχυ-

70) τε] l. δὲ.

71) V. L. Ven. dat παυσθεὶς, quod est vsitatius.

72) κοσμῇ potest defendi, subaudiendo a communi τὴν ἐπιτροπὴν; malim tamen εὐνομῇ *pudentem et temperantem se gerat*, bonaeque disciplinae et recti ordinis tenacem.

73) πότμον] huc referenda videtur V. L. Venetae ποταμὸν, sed illa vitiosissima.

ἰσχυρῶ καὶ θελξ παρὰ μοῖραν 74) ἐπιβὰς ἅρματος, οὐχ ἱκανὸς ὢν ἡνίοχος. λέγει δὲ καὶ Ὅμηρος, ὧδέ πως·

Ὅς μὲν ἀπηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα εἰδῇ,
Τῷδε καταρῶνται πάντες βροτοί, ἄλγε' ὀπίσσω
Ζωῷ, αὐτὰρ 75) τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες.
Ὅς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ,
Τῷ μέντοι κλέος εὐρὺ διὰ ξείνοι φορέουσι
Πάντας ἐπ' ἀνθρώπους, πολλοὶ δέ μιν ἐσθλὸν ἔειπον.

Τὸ μὲν ἐν ἐμὸν, ὅπερ ἔφην, ἥδιστ' ἂν καὶ προθυμότατα τοῦτον εἴποιμ' ἂν τὸν λόγον, τὸν ὑπὲρ τοῦ Διὸς, καὶ τῆς τοῦ παντὸς φύσεως. ἐπεὶ δὲ πλεῖόν 76) ἐστι παντὸς τοῦ καιροῦ τοῦ παρόντος, καὶ δεόμενον ἀποδείξεων ἀκριβεστέρων, αὖθις ποτὲ ἴσως γένοιτ' ἂν σχολὴ 77) διελθεῖν αὐτόν. εἰ δ' ἄρα μῦθόν τινα ἐθέλοις ἀκοῦσαι, μᾶλλον δὲ ὑγιῆ καὶ ἱερὸν λόγον, σχήματι μύθου λεγόμενον, τυχὸν οὐκ ἄτοπός σοι φανήσεται, νῦν τε καὶ ὕστερον ἐνθυμουμένῳ κατὰ σαυτὸν, ὃν ἐγώ ποτε ἤκουσα γυναικὸς Ἠλείας, ἢ Ἀρκαδίας ὑπὲρ Ἡρακλέους διηγουμένης. ὡς γὰρ 78) ἔτυχον ἐν τῇ φυγῇ ποτε ἀλώμενος, καὶ πολλήν γε χάριν οἶδα τοῖς θεοῖς, ὅτι με ἐκ εἴασαν θεατὴν γενέσθαι πολλῶν καὶ ἀδίκων πραγμάτων. ἐπήει γὰρ

74) παρὰ μοῖραν] id est παρὰ τὸ προσῆκον, praeter ius et fas.

75) αὐτὰρ] l. ἀτὰρ ex Homero.

76) incidi in eandem coniecturam, in quam Casaubonus dudum incidit, leg. esse πλείων et δεόμενος, vt ad λόγος referatur. et erat hoc vtique elegantius. verum tamen potest vulgata defendi, subaudi τοῦτο, aut quod malim, addendo, corrigi; quo facto constabit sibi δεόμενον. Sed rursus tum paulo post esset αὐτὸ leg. παντὸς probum est et seruandum. *totum hoc, in quo nunc versamur, tempus.*

77) σχολὴ] sic dedi. σχολῇ Mor. et Ven.

78) ὡς γὰρ ἔτυχον] apodosis est paulo post in illis καὶ δή ποτε

γῆν ὡς εὐδαίμονι πλείστην γῆν ἐν ἀγύρτου σχήματι καὶ στολῇ, τοῦτο μὲν παρ' Ἕλλησι, τοῦτο δὲ παρὰ Βαρβάροις,

αἰτίζων ἀκόλας[79], ἐκ ἄορας, ἐδὲ λάβητας.

καὶ δή ποτε ἀφικόμενος εἰς Πελοπόννησον, ταῖς μὲν πόλεσιν ἐ πάνυ προσῆειν, περὶ δὲ τὴν χώραν διέτριβον, ἅτε πολλὴν ἱστορίαν ἔχουσαν[80], νομεῦσι καὶ κυνηγέταις, γενναίοις τε καὶ ἁπλοῖς ἤθεσιν ἐπιμιγνύμενος. καὶ δὴ βαδίζων ὡς ἀφ' Ἡραίας εἰς Πίλαν παρὰ τὸν Ἀλφειὸν[81], μέχρι μέν τινος ἀπετύγχανον[82] τῆς ὁδοῦ, μεταξὺ[83] δὲ εἰς ὕλην τινὰ καὶ δυσχωρίαν ἐμπεσών, καὶ πλείους ἀτραπους

ἐφ'

79) in Ven. est ἀκώλας, peius adhuc in V. L. ἀκολάθας: sed vtroque inter se et cum Homero collato, emergit vera lectio ἀκόλας, quam recte fecit Morellus quod restituit. adscripserat idem quoque vir doctus Veneto meo. Verum debebat Morellus alterum quoque vitium, ἄρνας, tollere, quod ei, nescio qua de causa, placuit praeferre. dedi ἄορας, vt m. Morell. v. Dauis. ad Max. Tyr. or. 4. sect. 5. p. 507.

80) dicitur aliqua regio πολλὴν ἱστορίαν ἔχειν, in qua sunt loca multa rebus memorabilibus ibi gestis clara, viatorem celebritate sua ferientia. Cicero de Fin. V. I. quod totum huc pertinet, sed, quod in fine capitis maxime: *quacunque ingredimur, in aliquam historiam vestigium ponimus.*

81) τὸν ἀλφειὸν] sic dedi, vt margo Mor. exhibet; quo Veneta etiam ducit, dans τῷ ἀλφειὸν. vbi vir doctus mediam vocem correxit τὸν. Mór. dat τῷ ἀλφειῷ.

82) aut ἐπετύγχανον leg. aut ἐκ ἀπετύγχ. quod vir doctus Venetae adscripsit. *aliquamdiu, forte secunda, perseverabam in recta via*, aut *aliquamdiu a recta via non aberrabam.*

83) μεταξὺ δὲ] *inter haec autem*, intereadum sic recta via sine errore pergo. animaduertit vitium interpres quoque et recte sententiam expressit. De aberratione sua a via recta demum paulo post commemorat.

ἐπὶ βȣκολίοις ἅττα καὶ ποίμναις[84]) φερȣ́σας, ȣ̓δενὶ συναντῶν, ȣ̓δὲ δυνάμενος ἐρέσθαι, διημάρτανόν τε καὶ ἐπλανώμην μεσημβρίᾳ ςαθερᾷ. ἰδὼν ȣ̓ν ἐπὶ ὑψηλῷ τινι δρυῶν συςροφὴν[85]), οἷον ἄλσȣς[86]), ᾠχόμην ὡς ἀποψόμενος ἐντεῦθεν ὁδόν τινα ἢ οἰκίαν. καὶ καταλαμβάνω λίθȣς τέ τινας εἰκῇ ξυγκειμένȣς, καὶ δέρματα ἱερείων κρεμάμενα, καὶ ῥόπαλα καὶ βακτηρίας, νομέων τινῶν ἀναθήματα, ὡς ἐφαίνετο. ὀλίγον δὲ ἀπωτέρω, καθημένην γυναῖκα ἰσχυρὰν καὶ μεγάλην, τῇ δὲ ἡλικίᾳ πρεσβυτέραν, τὰ μὲν ἄλλα ἄγροικον ςολὴν ἔχȣσαν, πλοκάμȣς δέ τινας πολιȣ̀ς καθεῖτο. ταύτην ἕκαςα ἀνηρώτων. ἡ δὲ πάνυ πρᾴως καὶ φιλοφρόνως, δωρίζȣσα τῇ φωνῇ, τόν τε τόπον ἔφραζεν, ὡς ἱερὸς Ἡρακλέȣς εἴη, καὶ περὶ ἑαυτῆς, ὅτι παῖδα ἔχοι ποιμένα, καὶ πολλάκις αὐτὴ νέμοι τὰ πρόβατα, ἔχειν δὲ μαντικὴν, ἐκ μητρὸς θεῶν δεδομένην, χρῆσθαι δὲ αὐτῇ τȣ́ς τε νομέας πάντας τȣ̀ς πλησίον, καὶ τȣ̀ς γεωργȣ̀ς ὑπὲρ καρπῶν καὶ βοσκημάτων γενέσεως καὶ σωτηρίας. καὶ σὺ δὲ ἐπεὶ ἐλήλυθας, ἔφη, ȣ̓κ ἄνευ θείας τύχης εἰς τόνδε τὸν τόπον, ȣ̓κ ἐάσω σε ἀπελθεῖν μάτην. καὶ μετὰ τȣ̃το[87]) δὴ προέλεγεν, ὅτι ȣ̓ πολὺς χρόνος ἔσοιτό μοι τῆς ἄλλης καὶ τῆς ταλαιπωρίας, ȣ̓́τε σοὶ εἶπεν[88]), ȣ̓́τε τοῖς ἄλλοις ἀνθρώποις. ταῦτα δὲ ἔλεγεν, ȣ̓χ ὥσπερ οἱ πολλοὶ

84) leg. ἐπὶ βȣκόλι' ἅττα καὶ ποίμνας. etiam βȣκώλια est in V. L. Ven. et βȣκόλια in m. Mor.

85) δρυῶν συςροφὴ est locus, vbi arbores densae, et quasi corrotundatae vel conglobatae stant, vt veluti insulam quandam in medio solo vndique circum nudo efficiant.

86) malim ἄλσος.

87) μετὰ τȣ́των lectio marg. Mor. sed illa vitiosa, est in Veneta.

88) f. καὶ τῆς ταλαιπωρίας δὲ ȣ̓́τε σοι, εἶπεν.

πολλοὶ τῶν λεγομένων ἐνθέων ἀνδρῶν καὶ γυναικῶν, ἐσθμαίνουσα καὶ περιδινοῦσα τὴν κεφαλὴν[89]), καὶ πειρωμένη δεινὸν ἐμβλέπειν, ἀλλὰ πάνυ ἐγκρατῶς, καὶ σωφρόνως. συμβαλεῖς δὲ, ἔφη, ποτὲ ἀνδρὶ τε καρτερῷ[90]), πλείσης ἄρχοντι χώρας, καὶ ἀνθρώπων· τούτῳ μή ποτε ὀκνήσῃς εἰπεῖν τόνδε τὸν μῦθον, εἰ καί σε καταφρονεῖν τινες μέλλοιεν, ὡς ἀδολέσχῃ καὶ πλάνητος. οἱ γὰρ ἀνθρώπων λόγοι, καὶ τὰ πάντα σοφίσματα, ἐδενὸς ἄξια πρὸς τὴν παρὰ τῶν θεῶν ἐπίνοιαν[91]), καὶ φήμην. ὅσοι γάρ ποτε σοφοὶ καὶ ἀληθεῖς κατ' ἀνθρώπους λόγοι περὶ θεῶν τε καὶ τῶ ξύμπαντος, ἐκ ἄνευ θείας ποτὲ[92]) βολήσεως καὶ τύχης ἐν ψυχῇ ποτε ἀνθρώπων[93]) ἐγένοντο, ὡς ἔστι μαθεῖν διὰ τῶν πρώτων μαντικῶν τε καὶ θείων ἀνδρῶν. οἷον ἐν Θρᾴκῃ τινὰ λέγουσιν Ὀρφέα γενέσθαι Μούσης υἱὸν, ἄλλον δὲ ποιμένα ἐν ὄρει τινὶ τῆς Βοιωτίας αὐτῶν ἀκοῦσαι τῶν Μουσῶν. ὅσοι δὲ ἄνευ δαιμονίου κατοχῆς καὶ ἐπιπνοίας λόγους τινὰς ὡς ἀληθεῖς παρ' αὐτῶν ἐκόμισαν εἰς τὸν βίον, ἐκτόπους καὶ πονηρούς[94]). διόπερ δὴ ἄκυε τοῦδε τοῦ μύθου

89) v. ad h. l. Casaubon. et Morell. verum illos hic quidem non ignota docentes.

90) f. ἀνδρὶ καρτερῷ, πλείσης τε ἄρχοντι χ.

91) ambigo inter vulgatam et Casauboni ἐπίπνοιαν, quod mihi quoque in mentem venit, et eccui non veniat? Ad mentem Casauboni P. Wesselingius h. l. exhibuit ad Diodor. Sic. I. 685. Sed ἐπίνοια ἢ παρὰ θεῶν est omnis perceptio mentis, vilum omne et scitum, a diis profectum, et humanae menti iniectum. Sic quoque ἡ παρὰ θεῶν φήμη est omne augurium, omnis vox, omnis sonus, ὀττεία, κληδών, omen, quo dii sententiam suam aut futura hominibus denuntiant.

92) ποτε] dele primas duas literas.

93) f. ἐν ψυχῇ τῶν πώποτε ἀνθρώπων. *hominum, quotquot unquam fuere, cuiquam in mentem venisse.* nam ποτε toties in tam breui spatio iterari, sit inscitum.

94) post πονηρὰς videtur verbum ἐκόμισαν esse iterandum.

μύθου[95]) σφόδρα ἐγρηγορώς[96]) τε καὶ τὸν νοῦν προσέχων, ὅπως διαμνημονεύσας ἀπαγγείλῃς πρὸς ἐκεῖνον, ᾧ φημί σε[97]) συμβαλεῖν. ἔστι δὲ περὶ τοῦδε τοῦ θεοῦ, παρ' ᾧ νῦν ἐσμέν. ἦν μὲν γὰρ, ὡς πάντες λέγουσι, Διὸς υἱὸς ἐξ Ἀλκμήνης, βασιλεὺς δὲ οὐ μόνον Ἄργους, ἀλλὰ καὶ τῆς Ἑλλάδος ἁπάσης. τοῦτο δὲ οἱ πολλοὶ οὐκ ἴσασιν, ἀλλ' ὅτι αὐτὸς ἀπεδήμει στρατευόμενος καὶ φυλάττων τὴν ἀρχήν[98]). οἱ δ' Εὐρυσθέα φασὶ βασιλεύειν τότε, ὃς ἦν πάντων φιλοπονώτατος, καὶ πολὺ κρείττων τῶν ἐκεῖ. ταῦτα δὴ[99]) λέγεται μάτην ὑπό των[100]). ἐκεῖνος δὲ οὐ μόνον τῆς Ἑλλάδος ἦν βασιλεὺς, ἀλλ' ἀπ' ἀνίσχοντος ἡλίου μέχρι δυομένου, πάσης ἦρχε γῆς, καὶ[1]) τῶν ἀνθρώπων ἁπάντων, παρ' οἷς ἱερά ἐστιν Ἡρακλέους.

95) διόπερ ἄκουε δὴ (id est ἤδη *nunc tandem*) τοῦδε τοῦ μύθου. Sic etiam in V. L. Ven. Sed in texto Ven. est διόπερ δὴ ἄκουε τούτου δὲ τοῦ μύθου.

96) ἐγρηγορώς τε] sic dedi, est enim partic. perf. medii, non aduerbium; quod formatur ἐγρηγορότως. Ven. et Mor. dant ἐγρηγόρως τε.

97) γε lectio marg. Mor. est in texto Ven.

98) ἀρχὴν, οἱ δ' Εὐρ. *verum quia Hercules ipse per se suscipiebat expeditiones bellicas, tuendorum ergo finium, hi* (qui populares illos de Hercule rumores aut commenti sunt, aut alunt et propagant) *Eurystheum aiunt regnum tenuisse.* Et reperio nunc hanc correctionem etiam apud Anglum, cui subscribit Wolf quoque. ἀρχὴν οὐδ' Εὐρ. Mor. et Ven.

99) δὲ melius conuenit, quam δὴ.

100) ὑπό των] semper inest hic vitium, seu leuiculum, seu grandius. Saltim ὑπὸ τῶν erit legendum, nisi quid grauius subsit. τῶν pro τούτων. *ab his.* malim tamen ὑπὸ τῶν τἀληθὲς ἀγνοούντων. *ab iis, quos vera rei ratio fugit.* nam Casauboni ὑπὸ πάντων haud placet.

1) pro καὶ est in Veneta εἰ, non ἢ, quod margo Mor. dat, et vir doctus Venetae adscripserat. Sed haud satis facit. videtur in εἰ latere εἷς, et locus sic constituendus: ἦρχε γῆς εἷς ἑκόντων ἀνθρώπων ἁπάντων. vocabulo πάσης opponitur εἷς *vnus toti orbi terrarum.*

πολλοὶ τῶν λεγομένων ἐνθέων ἀνδρῶν καὶ γυναικῶν, ἐσθμαίνουσα καὶ περιδινοῦσα τὴν κεφαλὴν[89]), καὶ παρωμένη δεινὸν ἐμβλέπειν, ἀλλὰ πάνυ ἐγκρατῶς, καὶ σωφρόνως. συμβαλεῖς δὲ, ἔφη, ποτὲ ἀνδρί τε καρτερῷ[90]), πλείσης ἄρχοντι χώρας, καὶ ἀνθρώπων· τοῦτῳ μή ποτε ὀκνήσῃς εἰπεῖν τόνδε τὸν μῦθον, εἰ καί σε καταφρονεῖν τινες μέλλοιεν, ὡς ἀδολέσχῃ καὶ πλάνητος. οἱ γὰρ ἀνθρώπων λόγοι, καὶ τὰ πάντα σοφίσματα, ἐδενὸς ἄξια πρὸς τὴν παρὰ θεῶν ἐπίνοιαν[91]), καὶ φήμην. ὅσοι γάρ ποτε σοφοὶ καὶ ἀληθεῖς κατ' ἀνθρώπους λόγοι περὶ θεῶν τε καὶ τοῦ ξύμπαντος, ἐκ ἄνευ θείας ποτὲ[92]) βουλήσεως καὶ τύχης ἐν ψυχῇ ποτε ἀνθρώπων[93]) ἐγένοντο, ὡς ἔστι μαθεῖν διὰ τῶν πρώτων μαντικῶν τε καὶ θείων ἀνδρῶν. οἷον ἐν Θρᾴκῃ τινὰ λέγουσιν Ὀρφέα γενέσθαι Μούσης υἱὸν, ἄλλον δὲ ποιμένα ἐν ὄρει τινὶ τῆς Βοιωτίας αὐτῶν ἀκοῦσαι τῶν Μουσῶν. ὅσοι δὲ ἄνευ δαιμονίου κατοχῆς καὶ ἐπιπνοίας λόγους τινὰς ὡς ἀληθεῖς παρ' αὐτῶν ἐκόμισαν εἰς τὸν βίον, αὐτόπτας καὶ πονηρούς[94]). διόπερ δὴ ἄκυρα τοῦδε τοῦ μύθου

89) v. ad h. l. Casaubon. et Morell. verum illos hic quidem non ignota docentes.

90) f. ἀνδρὶ καρτερῷ, πλείσης τε ἄρχοντι χ.

91) ambigo inter vulgatam et Casauboni ἐπίπνοιαν, quod mihi quoque in mentem venit, et eccui non veniat? Ad mentem Casauboni P. Wesselingius h. l. exhibuit ad Diodor. Sic. 1. 685. Sed ἐπίνοια ἢ παρὰ θεῶν est omnis perceptio mentis, vilum omne et scitum, a diis profectum, et humanae menti iniectum. Sic quoque ἡ παρὰ θεῶν φήμη est omne augurium, omnis vox, omnis sonus, ὀττεία, κληδών, omen, quo dii sententiam suam aut futura hominibus denuntiant.

92) ποτὲ] dele primas duas literas.

93) f. ἐν ψυχῇ τῶν πώποτε ἀνθρώπων. *hominum, quotquot unquam fuere, cuiquam in mentem venisse.* nam ποτε toties in tam breui spatio iterari, sit inscitum.

94) post πονηρούς videtur verbum ἐκόμισαν esse iterandum.

μύθȣ[95]) σφόδρα ἐγρηγορώς[96]) τε καὶ τὸν νȣ̃ν προσέχων, ὅπως διαμνημονεύσας ἀπαγγείλῃς πρὸς ἐκεῖνον, ᾧ φημί σε[97]) συμβαλεῖν. ἔςι δὲ περὶ τȣ̃δε τȣ̃ θεȣ̃, παρ' ᾧ νῦν ἐσμέν. ἦν μὲν γὰρ, ὡς πάντες λέγȣσι, Διὸς υἱὸς ἐξ Ἀλκμήνης, βασιλεὺς δὲ ȣ̓ μόνον Ἄργȣς, ἀλλὰ καὶ τῆς Ἑλλάδος ἁπάσης. τȣ̃το δὲ οἱ πολλοὶ ȣ̓κ ἴσασιν, ἀλλ' ὅτι αὐτὸς ἀπεδήμει ςρατευόμενος καὶ φυλάττων τὴν ἀρχήν[98]). οἱ δ' Εὐρυσθέα φασὶ βασιλεύειν τότε, ὃς ἦν πάντων φιλοπονώτατος, καὶ πολὺ κρείττων τῶν ἐκεῖ. ταῦτα δὴ[99]) λέγεται μάτην ὑπό των[100]). ἐκεῖνος δὲ ȣ̓ μόνον τῆς Ἑλλάδος ἦν βασιλεὺς, ἀλλ' ἀπ' ἀνίσχοντος ἡλίȣ μέχρι δυομένȣ, πάσης ἦρχε γῆς, καὶ[1]) τῶν ἀνθρώπων ἁπάντων, παρ' οἷς ἱερά ἐςιν Ἡρακλέȣς.

95) διόπερ ἄκȣε δὴ (id est ἤδη *nunc tandem*) τȣ̃δε τȣ̃ μύθȣ. Sic etiam in V. L. Ven. Sed in texto Ven. est διόπερ δὴ ἄκȣε τȣ́τȣ δὲ τȣ̃ μύθȣ.

96) ἐγρηγορώς τε] sic dedi, est enim partic. perf. medii, non aduerbium; quod formatur ἐγρηγορότως. Ven. et Mor. dant ἐγρηγόρως τε.

97) γε lectio marg. Mor. est in texto Ven.

98) ἀρχὴν, οἱ δ' Εὐρ. *verum quia Hercules ipse per se suscipiebat expeditiones bellicas, tuendorum ergo finium, hi* (qui populares illos de Hercule rumores aut commenti sunt, aut alunt et propagant) *Eurystheum aiunt regnum tenuisse.* Et reperio nunc hanc correctionem etiam apud Anglum, cui subscribit Wolf quoque. ἀρχὴν ȣ̓δ' Εὐρ. Mor. et Ven.

99) δὲ melius conuenit, quam δὴ.

100) ὑπό των] semper inest hic vitium, seu leuiculum, seu grandius. Saltim ὑπὸ τῶν erit legendum, nisi quid grauius subsit. τῶν pro τȣ́των. *ab his.* malim tamen ὑπὸ τῶν τἀληθὲς ἀγνοȣ́ντων. *ab iis, quos vera rei ratio fugit.* nam Casauboni ὑπὸ πάντων haud placet.

1) pro καὶ est in Veneta εἰ, non ἢ, quod margo Mor. dat, et vir doctus Venetae adscripserat. Sed haud satis facit. videtur in εἰ latere εἷς, et locus sic constituendus: ἦρχε γῆς εἷς ἑκόντων ἀνθρώπων ἁπάντων. vocabulo πάσης opponitur εἷς *vnus toti orbi terrarum.*

κλέους. ἦν δὲ καὶ πεπαιδευμένος ἁπλῶς, ἐ πολύτροπος, ἐδὲ περιττὸς[2]) σοφίσμασι καὶ πανουργήμασιν ἀνθρώπων κακοδαιμόνων. λέγουσι δὲ καὶ ταῦτα περὶ Ἡρακλέους, ὡς γυμνὸς ἦει[3]), μόνον ἔχων λεοντῆν καὶ ῥόπαλον. τοῦτο δὲ ἔτως λέγουσιν, ὅτι ἐκεῖνος ἔτε χρυσίον, ἔτε ἀργύριον, ἔτε ἐσθῆτα περὶ πολλοῦ ἐποιεῖτο, ἀλλὰ ταῦτα πάντα ἐνόμιζε τοῦ μηδενὸς ἄξια, πλὴν ὅσον δοῦναι καὶ χαρίσασθαι. πολλοῖς γὰρ ἐ μόνον χρήματα ἔπεμπε καὶ γῆν καὶ ἀγέλας ἵππων καὶ βοῶν, ἀλλὰ βασιλείας[4]) καὶ πόλεις ὅλας ἐδωρήσατο. ἐπίστευε γὰρ αὐτοῦ πάντας εἶναι, καὶ ἐδὲν ἀλλότριον. προσγενέσθαι δὲ τοῖς δοθεῖσι τὴν εὔνοιαν τῶν λαβόντων. ἐ τοίνυν ἐδὲ ἐκεῖνο ἀληθὲς φασιν, ὅτι δὴ περιῆει μόνος ἄνευ στρατιᾶς. ἐ γὰρ δυνατὸν πόλεις τε ἐξαιρεῖν, καὶ τυράννους ἀνθρώπους καταλύειν, καὶ πᾶσι παντα χοῦ προστάττειν χωρὶς δυνάμεως. ὅτι δὲ αὐτουργὸς ἦν καὶ τῇ ψυχῇ πρόθυμος, καὶ τὸ σῶμα ἱκανὸς, καὶ πάντων μᾶλιστα ἐπόνει, μόνον αὐτὸν ἔφασαν βαδίζειν, καὶ πράττειν ἅπαντα ὅσα βέλοιτο. καὶ μὴν ὅγε πατρὸς αὐτοῦ[5]) πολλὴν ἐπιμέλειαν ἐποιεῖτο, ὁρμᾶς τε ἀγαθὰς ἐπιπέμπων, καὶ εἰς ὁμιλίας ἀνθρώπων ἀγαθῶν ἄγων. ἐσήμηνε δὲ καὶ δι' οἰωνῶν, καὶ δι' ἐμπύρων, καὶ διὰ πάσης μαντικῆς[5b]) ἔκαστα. ἐπειδὴ δὲ ἑώρα βελόμενον ἄρχειν ἑαυτοῦ, οὐ τῶν ἡδονῶν, ἐδὲ τῶν πλεονεξιῶν ἐπιθυμοῦντα, ὧν ἕνεκεν οἱ πολλοὶ πλέτου ἐρῶσιν, ἀλλ' ὡς ἂν δύνηται πλεῖστα καὶ πλείστους εὖ ποιεῖν, ἐπισάμενος αὐτοῦ γενναίαν

2) f. ἐ πολυτρόπως, ἐδὲ περιττῶς.
3) in V. L. Ven. est εἴη pro ἦει.
4) f. ἀλλὰ καὶ βασιλείας.
5) deleui comma, nam αὐτοῦ stat in biuio, et tam ad πατρὸς, quam ad ἐπιμέλειαν ἐποιεῖτο, est referendum.
5b) γρ. μαντικὴ m. Mor.

γεννείων ἔσεσθαι τὴν φύσιν· ὅμως δὲ ὑπονοῶν ὅσον οὔπω
35. ἐν αὐτῷ θνητὸν, καὶ ὅτι πολλὰ παραδείγματα ἐν
ἀνθρώποις πονηρὰ εἴη τρυφῆς καὶ ἀπολασίας, καὶ
πολλοὶ παραστρέφουσιν ἅπαντα τὸν πεφυλαγμένον 6)
ὀρθῶς, ἔξω τῆς αὐτῆς φύσεώς τε καὶ γνώμης. ταῦ-
40. τα λογιζόμενος, Ἑρμῆν ἔπεμψε, κελεύσας ἃ δεῖ
ποιεῖν. ὁ δὲ, ἀφικόμενος εἰς Θήβας, ἔνθα νέος ὢν
ἐτρέφετο Ἡρακλῆς, ἔφραζέ τε, ὃς εἴη, καὶ παρά
τε 7) πεμφθείς. καὶ ἄγαν λαβὼν αὐτὸν, ἄφραστον
45. καὶ ἄβατον ἀνθρώποις ὄδὸν, ἕως ἦλθεν ἐπί τινα
ὑπερσχὼν ὄρους περιφανῆ 7b) καὶ σφόδρα ὑψηλὴν,
τὰ δὲ ἔξωθεν, δεινῶς ἀπότομον χρημνοῖς ὀρθίοις,
καὶ βαθείαις φάραγγι, ποταμῷ κύκλῳ περιῤῥέον-
5. τος πολὺν ψόφον τε καὶ ἦχον ἀναδιδόντος, ἃς τοῖς
πόρρωθεν ἀναβλέπουσι μίαν ὁρᾶσθαι τὴν ἄνω κορυ-
φὴν, τὸ δὲ ἀληθὲς, ἦν δίδυμος 8) ἐκ μιᾶς ῥίζης,
καὶ πολύ γε ἀλλήλων διεστήκεσαν. ἐκαλεῖτο δὲ αὐ-
10. τῶν, ἡ μὲν Βασίλειος ἄκρα, ἱερὰ Διὸς Βασιλέως·
ἡ δὲ ἑτέρα τυραννικὴ 9), Τυφῶνος ἐπώνυμος. δύο
δὲ εἶχον ἔξωθεν ἐφόδους εἰς αὐτὰς ἑκατέρα 10). ἡ
μὲν

6) πεφυλαγμένον cum sit in texto Venetae, tamen in V. L. repetitur. quod indicio est, auctorem huius indicis aliud voluisse dare, f. πεφυκότα, quod est in marg. Morell. et solum probo. posset quidem vulgata quodammodo defendi, *sibimet ipsi attentum, atque acrem vigilem et custodem.* Sed non patitur ὀρθῶς, quod necessario πεφυκότα postulat. f. sic legas a mente auctoris haud abhorrenter: τὸν εὖ πεφυκότα καὶ πεπαιδευμένον ὀρθῶς.

7) aut παρὰ τοῦ *a quodam*, aut vt est in marg. Morell. scrib. παρ' ὅτε, eadem sententia.

7) περιφανῆς m. Mor.

8) δίδυμος] scil. ἡ κορυφὴ. — διεστήκεσαν] scil. αἱ κορυφαὶ, quo eodem etiam αὐτῶν est referendum, item ἄμφω.

9) f. ἡ δὲ ἑτέρα, ἡ τυραννικὴ, τυφ.

10) f. εἰς αὐτὰς, μίαν ἑκατέραν.

μὲν βασίλειος, ἀσφαλὴς καὶ πλατεῖα[11]), ὡς ἀκινδύνως τε καὶ ἀπταίστως δι' αὐτῆς εἰσιέναι[12]) ἐφ' ἅρματος ἐλαύνοντα· εἴ τῳ δεδομένον εἴη παρὰ τοῦ μεγίστου θεῶν· ἡ δὲ ἑτέρα στενήν τε καὶ σκολιὰν, καὶ βίαιον, ὡς τοὺς πλείστους πειρωμένους αὐτῆς, οἴχεσθαι κατὰ τῶν κρημνῶν καὶ τοῦ ῥεύματος, ἅτε οἶμαι παρὰ δίκην ἰόντας. φαίνεται μὲν οὖν ὅπερ ἔφην τοῖς πολλοῖς, ἅτε ὁρῶσι μακρόθεν, ἄμφω μία τε καὶ ἐν ταὐτῷ σχεδὸν, ὑπερέχει δὲ ἡ βασίλειος κορυφὴ τοσοῦτον, ὥστε ἐκείνη μὲν ἐπάνω τῶν νεφῶν ἐστιν, ἐν αὐτῷ τῷ τε καθαρῷ καὶ αἰθρίῳ[13]) ἀέρι· ἡ δὲ ἑτέρα πολὺ κατωτέρω, περὶ αὐτὴν μάλιστα τὴν τῶν νεφῶν συστροφὴν, σκοτεινὴ καὶ ἀχλυώδης. ἄγων οὖν ἐκεῖσε Ἑρμῆς, ἐπέδειξε τὴν φύσιν τοῦ χωρίου. τοῦτο δὲ ἦν Ἡρακλέους[14]), ἅτε νέου καὶ φιλοτίμου, προθυμουμένου θεάσασθαι τὰ ἔνδον. οὐκοῦν ἔπου, φησὶν, ἵνα καὶ σαφῶς ἴδῃς τὴν διαφορὰν τῶν ἄλλων[15]),

ἃ

11) f. ἀσφαλῆ καὶ πλατεῖαν, scil. εἶχε τὴν εἴσοδον. *habebat introitum tutum et latum, patulum.* monstrat ita leg. esse, quod statim sequitur in altero membro: ἡ δὲ ἑτέρα στενήν τε καὶ σκολιὰν καὶ βίαιον.

12) malim ἰέναι simplex. εἰς potest iteratum esse e fine vocabuli proximi αὐτῆς.

13) αἰθρίῳ est in texto Ven. sed in V. L. est αἰθερίῳ, quod cum non abhorreat a natura linguae graecae, tamen in vsu haud versatur.

14) Casaubonus legi vult: τοῦτο δεηθεὶς ὑφ' ἡρακλέους, affirmans ita postulare sententiam. recte vero, si δεηθεὶς significat *rogatus.* atqui passiua illa significatione non vsurpatur, sed tantum actiua, *aliquis, qui rogauit.* quare aliam video rationem esse ineundam; et geminam quidem illam; vt aut legatur τοῦτο δ' ἦν πρὸς ἡρακλέους. *hoc autem ad mentem erat Herculis.* aut τοῦτο δ' ἦν ἔκκαυμα (vel αἴθυγμα vel tale quid) ἡρακλ. *hoc autem incitamentum erat Herculis.* Sententias Angli (nam dubius fuit et anceps) v. apud Wolff T. I. Anecd. Gr. p. 287.

15) Morellus e Guil. Canteri N. L. affert eius coniecturam, leg.

ἃ λανθάνει τοὺς ἀνοήτους. ἐπεδείκνυεν οὖν αὐτῷ πρῶτον ἐπὶ τῆς μείζονος κορυφῆς καθημένην ἐν θρόνῳ λαμπρῷ γυναῖκα εὐειδῆ, καὶ μεγάλην, ἐσθῆτι λευκῇ κεκοσμημένην, σκῆπτρον ἔχουσαν οὐ χρυσοῦν, οὐδὲ ἀργυροῦν, ἀλλ' ἑτέρας φύσεως καθαρᾶς καὶ πολὺ λαμπροτέρας, ὁποίαν μάλιστα τὴν Ἥραν γράφουσι. τὸ δὲ πρόσωπον, φαιδρὸν ὁμοῦ καὶ σεμνὸν, ὡς τοὺς μὲν ἀγαθοὺς ἅπαντας θαῤῥεῖν ὁρῶντας, κακῶν[16]) δὲ μηδένα δύνασθαι προσιδεῖν, μὴ μᾶλλον ἢ τὸν ἀσθενῆ τὴν ὄψιν ἀναβλέψαι πρὸς τὸν τοῦ ἡλίου κύκλον. καθεστηκὸς δὲ καὶ ὅμοιον αὐτῇ τὸ εἶδος ὁρᾶσθαι, καὶ τὸ βλέμμα οὐ μετατρεπόμενον. πολλὴν δ' εὐφημίαν τε καὶ ἡσυχίαν ἀθόρυβον κατέχειν τὸν τόπον, εἶναι δὲ ἅπαντα μεστὰ[16b]) καρπῶν τε καὶ ζώων εὐθηνούντων ἀπὸ παντὸς γένους· παρῆν δὲ καὶ χρυσὸς αὐτόθι ἄπλετος σεσωρευμένος, καὶ ἄργυρος, καὶ χαλκὸς, καὶ σίδηρος. οὐ μὴν ἐκείνη γε οὐδὲν τῷ χρυσῷ προσεῖχεν οὐδὲ ἐτέρπετο, ἀλλὰ μᾶλλον τοῖς καρποῖς τε καὶ ζώοις. ἰδὼν οὖν αὐτὴν ὁ Ἡρακλῆς ᾐδέσθη τε, καὶ ἠρυθρίασε, τιμῶν καὶ σεβόμενος, ὡς ἂν ἀγαθὸς παῖς μητέρα γενναίαν. καὶ ἤρετο, τίς ἐστι θεῶν, τὸν Ἑρμῆν· ὁ δὲ εἶπεν· αὕτη σοι μακαρία δαίμων Βασιλεία Διὸς βασιλέως ἔκγονος[17]), ὁ δὲ Ἡρακλῆς ἐχάρη, καὶ ἐθάῤῥησε πρὸς αὐτήν. καὶ αὖθις ἐπήρετο τὰς σὺν αὐτῇ γυναῖκας, τίνες εἰσὶν[18]), ἔφη, ὡς εὐσχήμονες καὶ μεγαλοπρεπεῖς,

leg. esse τῶν ἄθλων, Casaubonus τῶν ἀκρῶν mauult, ambo frustra; miror par virorum doctissimorum in loco tam plano potuisse labi. bene habet vulgata. τὰ ἄλλα sunt reliqua, quae nondum spectauerat Hercules. *vt videas discrimen*, vel *praestantiam reliquorum, quae stultis latent.*

16) In V. L. Venetae est κακόν, quod perinde bonum est.

16b) ἅπαντας μετὰ m. Mor.

17) ἔκγονος] sic Veneta, *neptis*, aut et *filia*. ἔγκονος Mor.

18) Inalim τίνες εἰσίν. ὡς, ἔφη, εὐσχήμονες.

καὶ ἀρρένωπος. ἥδε μὲν, ἔφη, σοι ἡ προσορῶσα γοργόν τε καὶ πρᾶον, ἐκ δεξιῶν, καὶ καθημένη [19]), Δίκη, πλείστῳ δὴ καὶ φανερωτάτῳ λάμπουσα κάλλει. παρὰ δὲ αὐτὴν, Εὐνομίαν [20]) πάνυ ὁμοίαν, καὶ μικρὸν διαφέρουσα τὸ κάλλος. ἐκ δὲ τοῦ ἐπὶ θάτερα μέρους γυνὴ σφόδρα ὡραία, καὶ ἀβρῶς ἐξαλμένη [21]), καὶ μειδιῶσα ἀλύπως, Εἰρήνην καλοῦσιν αὐτὴν [22]). ὁ δ' ἐγγὺς ἅτος [23]) ἑστηκὼς τῆς Βασιλείας, παρ' αὐτὸ τὸ σκῆπτρον ἔμπροσθεν, ἰσχυρὸς ἀνὴρ, πολιὸς καὶ μεγαλόφρων, ἔτος δὲ καλεῖται Νόμος· ὁ δὲ αὐτὸς, καὶ λόγος ὀρθὸς κέκληται, σύμβουλος καὶ πάρεδρος, ἃ χωρὶς, εὖδεν ἐκείνοις πρᾶξαι θέμις, εὖδε διανοηθῆναι. ταῦτα μὲν ἐν ἀκοαῖς καὶ ὄψεσιν, ἐτέρπετο καὶ προσεῖχε τὸν νοῦν, ὡς ἀδέποτε αὐτῶν ἐπιλησόμενος. ἐντεῦθεν δὴ [24]) ἐπεὶ κατιόντες ἐγένοντο κατὰ τὴν τυραννικὴν εἴσοδον, δεῦρο, ἔφη, θέασαι καὶ τὴν ἑτέραν, ἧς ἐρῶσιν οἱ πολλοὶ, καὶ περὶ ἧς πολλὰ καὶ παντοδαπὰ πράγματα ἔχουσιν, φονεύοντες ἀλλήλους καὶ ἐπιβουλεύοντες, οἱ ταλαίπωροι· παῖδές τε γονεῦσι πολλάκις, καὶ γονεῖς παισὶ, καὶ ἀδελφοὶ ἀδελφοῖς, τὸ μέγιστον κακὸν ἐποθοῦντες καὶ μακαρίζοντες, ἐξουσίαν μετὰ ἀνοίας. καὶ δὴ πρῶτον μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ἐδείκνυεν, ὡς μία μὲν ἐφαίνετο, πρόδηλος καὶ αὕτη σχεδὸν,

19) f. πρᾷον, ἐκ δεξιῶν καθημένη.

20) εὐνομία] est modestia publica, pudor, reuerentia legum, diligentia legibus et disciplinae publicae parendi.

21) pro ἐξαλμένη est in Veneta ἐσσαμένη, quod idem est ad sententiam, sed paulo magis poeticum.

22) post αὐτὴν desiderari nomen et descriptionem τῆς Φιλίας, oritur suspicio e p. 71, 5.

23) non offendit quidem in se ἅτος, verumtamen quia statim insequitur, malim hic loci ἔτως iam prope.

24) δὴ] melius conuenit δὲ.

σχεδὸν, ὁποίαν πρότερον[25]) εἶπον, ἐπισφαλὴς δὲ καὶ παρ' αὐτὸν φέρουσα τὸν κρημνόν. πολλαὶ δὲ ἄδηλοι καὶ ἀφανεῖς διαδύσεις, καὶ κύκλῳ πυ ὑπόνομος ὁ τόπος, καὶ διατετμημένος ὑπ' αὐτὸν οἶμαι τὸν θρόνον. αἱ δὲ πάροδοι καὶ ἀτραποὶ πᾶσαι, πεφυρμέναι αἵματι καὶ μεσταὶ νεκρῶν. διὰ δὲ τοῦτον οὐδεμιᾶς ἦγεν αὐτὸν, ἀλλ' ἔξωθεν καθαρωτέρας, ἅτε οἶμαι θεατὴν ἐσόμενον. ἐπεὶ δὲ εἰσῆλθον[26]), καταλαμβάνουσι τὴν Τυραννίδα καθημένην, ὑψηλὴν ἐξεπίτηδες προσποιουμένην[27]) καὶ ἀφομοιοῦσαν αὐτὴν τῇ Βασιλείᾳ, πολὺ δὲ, ὡς ἐνόμιζεν, ὑψηλοτέρῳ καὶ κρείττονι τῷ θρόνῳ, μυρίας τινὰς ἄλλας ἔχοντι γλυφὰς καὶ διαθέσεις, χρυσοῦ[28]) καὶ ἐλέφαντος, καὶ ἠλέκτρου, καὶ ἐβένου, καὶ παντοδαπῶν χρωμάτων πεποικιλμένῳ. τὴν δὲ βάσιν, οὐκ ἦν ἀσφαλὴς ὁ θρόνος, οὐδὲ ἡδρασμένος, ἀλλὰ κινούμενός τε καὶ ὀκλάζων[29]). ἦν δὲ

25) f. ὁποίαν τὴν προτέραν aut τὴν πρότερον, nam perinde est; sed τὴν abesse nolim. *qualem dixi viam illam priorem.*

26) In Veneta est εἰσῆλθεν (et etiam in t. Mor.) quod vir doctus ibi recte εἰσῆλθον emendauit; et interpres Morell. idem expressit.

27) sic distinguo cum Anglo: καθημένην ὑψηλὴν, ἐξεπίτηδες προσπ.

28) f. ἄλλας ἐπ' ἄλλαις ἔχοντι γλυφὰς, καὶ διαθέσει χρυσοῦ. *alias ex aliis habenti sculpturas, et variegato per dispositionem artificiosam variarum materiarum.* διάθεσις est variarum rerum per certa interualla dispositio, cum delectu materiarumque et ordinis et constructionis, vt aliae cum aliis cohaereant, et alternent, et ex varietate et aequabili rerum inter se proportione oblectatio atque admiratio exsistat.

29) Si dictio haec e poeta petita est, et videtur vtique Homerica esse, quod nunc quaerere non vacat, leg. erit κινύμενός τε καὶ ὀκλάζων. Verumtamen non ita sunt religiosi veteres in recitandis antiquiorum sententiis, vt eorum verba ad suam mentem nunquam mutent. indulgent

οὐδ' ἄλλο οὐδὲν ἐν κόσμῳ διακείμενον, ἀλλὰ πρὸς δόξαν ἅπαντα καὶ ἀλαζονείαν, καὶ τρυφήν. πολλὰ μὲν σκῆπτρα, πολλαὶ δὲ τιάραι, καὶ διαδήματα ἐπὶ τῆς κεφαλῆς. καὶ δὴ μιμουμένη τὸ ἐκείνης ἦθος, καὶ [30]) ἀντὶ μὲν τοῦ προσφιλοῦς μειδιάματος ταπεινὸν ἐσεσήρει [31]) καὶ ὕπουλον. ἀντὶ δὲ τοῦ σεμνοῦ βλέμματος, σκυθρωπὸν ὑφεωρᾶτο καὶ ἄγριον. ἵνα δὲ φαίνοιτο μεγαλόφρων, οὐ προσέβλεπε τοὺς προσιόντας, ἀλλ' ὑφεώρα [32]) καὶ ἠτίμαζεν. ἐκ τούτου δὲ πᾶσιν ἀπηχθάνετο, πάντας δὲ ἠγνόει. καθημένη δὲ ἀτρεμίζειν οὐκ ἠδύνατο, θαμινὰ δὲ κύκλῳ περιέβλεπεν, καὶ ἀνεπήδα πολλάκις ἐκ τοῦ θρόνου. τὸ δὲ χρυσίον αἴσχιστα ἐφύλαττεν ἐν τοῖς κόλποις, πάλιν δὲ ἐῤῥίπτει φοβηθεῖσα ἀθρόον, εἶτ' εὐθὺς ἥρπαζεν ὅ, τι ἔχοι [32b]) τὶς τῶν παριόντων, καὶ τὸ βραχύτατον. ἡ δὲ ἐσθὴς παντοδαπὴ, τοῦτο μὲν ἁλουργῶν, τοῦτο δὲ φοινικῶν, τοῦτο δὲ κροκωτῶν. ἦσαν δὲ καὶ λευκοί τινες φαινόμενοι τῶν πέπλων. πολλὰ δὲ καὶ κατέῤῥηκτο τῆς στολῆς. χρώματα δὲ παντοδαπὰ ἠφίει [33]), φοβουμένη καὶ ἀγωνιῶσα, καὶ ἀπιστοῦσα καὶ ὀργιζομένη. καὶ ποτὲ μὲν ὑπὸ λύπης ταπεινή· ποτὲ δὲ ὑφ' ἡδονῆς μετέωρος ἐωρᾶτο. καὶ νῦν μὲν ἐγέλα [34]) τῷ προσώπῳ πάνυ ἀσελγῶς·

gent enimuero sibi quid hac in re iustae libertatis. m. Mor. dat ἀκμάζων.

30) καὶ nisi est tollendum, referri debet ad prius καὶ, vt sit per tmesin sic enunciatum pro καὶ δὴ καὶ ἐκείνης τὸ ἦθος μιμουμένη. quod paulo est durius.

31) ἐσεσήρει] sic Casaubonus et Morellus recte emendant. ἐπεσήρου text. Morell. et Ven. ἐσεσύρου margo Mor.

32) ὑφεώρα] aut ἀφεώρα, *alio detorquebat oculos*, v. p. 272, 33. ed. Mor. aut ὑπεώρα *despiciebat*, *contemnebat*.

32b) γρ. μὴ ἔχοι m. Mor.

33) recte dat Veneta ἠφίει. Mor. ὑφίει.

34) post ἐγέλα deest, aut adiectiuum, aut participium aliquod, e. c. ἰταμῷ, aut λαμυρῷ, aut σεσηρότι.

γῶς· πάλιν δὲ εὐθὺς ἐθρήνει. ἦν δὲ καὶ ὅμιλος περὶ αὐτὴν γυναικῶν, οὐδὲν ἐκείναις ὁμοίαν, αἷς ἔφην εἶναι περὶ τὴν Βασιλείαν. ἀλλ' Ὠμότης καὶ Ὕβρις, καὶ Ἀνομία καὶ Στάσις, αἳ πᾶσαι διέφθειρον αὐτὴν, καὶ κάκιστα ἀπώλλυον. ἀντὶ δὲ Φιλίας Κολακεία παρῆν, δουλοπρεπὴς καὶ ἀνελεύθερος, οὐδεμιᾶς ἧττον ἐπιβουλεύουσα ἐκείνων, ἀλλὰ μάλιστα δὴ πάντων ἀπολέσαι[35]) ζητοῦσα. ὡς δὲ καὶ ταῦτα ἱκανῶς ἐθεάσατο, πυνθάνεται αὐτοῦ ὁ Ἑρμῆς, πότερα αὐτὸν ἀρέσειε τὰ πράγματα[36]), καὶ ποτέρα τῶν γυναικῶν. ἀλλὰ τὴν μὲν ἑτέραν, ἔφη, θαυμάζω καὶ ἀγαπῶ, καὶ δοκεῖ μοι θεὸς ἀληθὴς[37]) εἶναι, ζήλου καὶ μακαρισμοῦ ἀξία· ταύτην δὲ, τὴν ὑστέραν, ἐχθίστην ἔγωγε ἡγοῦμαι καὶ μιαρωτάτην· ὥστε ἥδιστα ἂν αὐτὴν ὤσαιμι κατὰ τούτου τοῦ σκοπέλου, καὶ ἀφανίσαιμι. ταῦτ' οὖν ἐπήνεσεν ὁ Ἑρμῆς, καὶ τῷ Διῒ ἔφρασεν. κἀκεῖνος ἐπέτρεψεν αὐτῷ βασιλεύειν τοῦ σύμπαντος ἀνθρώπων γένους, ὡς ὄντι ἱκανῷ. τοιγαροῦν ὅπου μὲν ἴδοι τυραννίδα καὶ τύραννον, ἐκόλαζε καὶ ἀνῄρει, παρά τε Ἕλλησι καὶ Βαρβάροις· ὅπου δὲ βασιλείαν καὶ βασιλέα, ἐτίμα καὶ ἐφύλαττε. καὶ διὰ τοῦτο τῆς γῆς καὶ τῶν ἀνθρώπων σωτῆρα εἶναι[38]), οὐχ ὅτι τὰ θηρία αὐτοῖς ἀπήμυνεν· πῶς[39]) γὰρ ἄν τι καὶ βλάψειε λέων ἢ σῦς ἄγριος; ἀλλ' ὅτι τοὺς ἀνειμένους[40]) καὶ πονηροὺς ἀνθρώπους ἐκόλαζε, καὶ

35) ἀπολέσαι] sic recte margo Mor. Ven. et t. Mor. dant ἀπολέσθαι.

36) ἀρέσειε τῶν πραγμάτων, vt statim insequens ποτέρα τῶν γυναικῶν.

37) ἀληθῶς, vera lectio, est in margine Mor. et in V. L. Venetae; sed non satis hoc; lege θεὸς ὡς ἀληθῶς.

38) f. σωτῆρα νομίζομεν εἶναι.

39) πῶς] reuoca e V. L. Ven. πόσον. *quantum enim est, quod noceat, si tamen noceat leo?* ἄν τις καὶ βλάψοι ἀνημέρους margo Mor.

40) contendit Morellus ἀνημέρους verum esse. aio ipse quoque,

τῶν ὑπερηφάνων τυράννων κατέλυε καὶ ἀφῃρεῖτο τὴν ἐξουσίαν. καὶ νῦν ἔτι τοῦτο δρᾷ, καὶ βοηθός ἐστι καὶ φύλαξ τῆς ἀρχῆς, ἕως ἂν τυγχάνῃς βασιλεύων.

que, et assentior, praesertim cum in Veneta sit ἀνηφάνες. potest tamen, si quis pertinacius contendat, alterum excusari; nam, tametsi ἀνειμένος plerumque remissum et supinum significet, potest tamen etiam prorupte flagitiosum significare. v. Tacitus Ann. 4, 36. fine, destrictum delatorem vsurpat, h. e. omnibus vinculis pudoris et poenae solutum.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ
ΛΟΓΟΣ β.

Λέγεταί ποτε Ἀλέξανδρον τῷ πατρὶ Φιλίππῳ μειρακίσκον ὄντα, διαλεχθῆναι περὶ Ὁμήρου, μᾶλλον ἀνδρείως καὶ μεγαλοφρόνως. οἱ δὲ αὐτοὶ [1]) λόγοι ἔτοι σχεδόν τι καὶ περὶ βασιλείας ἦσαν. ἐτύγχανε μὲν γὰρ Ἀλέξανδρος στρατεύομενος ἤδη μετὰ τοῦ πατρός· καίτοι τῷ Φιλίππῳ κωλύοντος· ὁ δὲ [2]), οὐχ οἷός τ' ἦν κατέχειν αὐτόν· ὥσπερ οἱ γενναῖοι σκύλακες ἐχ ὑπομένουσιν ἀπολείπεσθαι τῶν ἐπὶ θήραν ἐξιόντων, ἀλλὰ ξυνέπονται, πολλάκις ἀποδήξαν-

1) αὐτοὶ] Casaubonus mauult αὐτοῖ, sed potest vulgata seruari. *illi ipsi sermones.* aut si quid mutandum, malim in duali, αὐτοῖν *illorum duorum*, patris et filii. v. p. 78, antep. vbi etiam de his duobus dualis ἑπταίξατην vsurpatur.

2) ὁ δὲ dubium ad quem redeat, ad Philippumne, an ad Alexandrum. si ad illum, rectum est αὐτὸν, *eum*; sin ad hunc, leg. est αὑτὸν *semet*. ego posterius malim, et maluit Anglus quoque, ad quem v. Wolff.

ῥήξαντες τὰ δεσμά. ἐνίοτε μὲν οὖν ταράττουσιν ἐν τῷ ἔργῳ διὰ τὴν νεότητα καὶ τὴν ἐπιθυμίαν φθεγγόμενοι, καὶ πρὸ τοῦ καιροῦ τὸ θηρίον ἀνιστάντες· ἐνίοτε μὴν[3]) εἷλον αὐτοὶ προπηδήσαντες. τοιαῦτα ἐκεῖνος ἔπασχε τὸ[4]) πρῶτον, ὥστε καὶ τῆς ἐν Χαιρωνείᾳ μάχης τε καὶ νίκης φασὶν αὐτὸν αἴτιον γενέσθαι, τοῦ πατρὸς ὀκνοῦντος τὸν κίνδυνον. τότε δ' οὖν ἀπὸ στρατιᾶς[5]) ἥκοντες, ἐν Δίῳ[6]) τῆς Πιερίας ἔθυον ταῖς Μούσαις, καὶ τὸν ἀγῶνα τῶν Ὀλυμπίων ἐτίθεσαν, ὃν φασιν ἀρχαῖον[7]) εἶναι παρ' αὐτοῖς. ἤρετο οὖν αὐτὸν ὁ Φίλιππος ἐν τῇ συνουσίᾳ· διὰ τί ποτε, ὦ παῖ, σφόδρα οὕτως ἐκπέπληξαι τὸν Ὅμηρον, ὥστε διατρίβεις περὶ μόνον τῶν ποιητῶν[8]). ἐχρῆν μέντοι μηδὲ τῶν ἄλλων ἀμελῶς ἔχειν. σοφοὶ γὰρ οἱ ἄνδρες. καὶ ὁ Ἀλέξανδρος ἔφη, ὅτι δοκεῖ μοι, ὦ πάτερ, οὐ πᾶσα ποίησις βασιλεῖ πρέπειν,

 ὥσπερ

3) f. ἐνίοτέ γε μὴν.

4) ἔπασχε τὸ] sic recte Casaub. et Anglus, ἐπάσχετο Ven. et Morell.

5) ἀπὸ στρατείας. a militia, ab expeditione bellica. v. p. 26, 21. ed. Mor.

6) Δίῳ] sic recte Morellus primam literam in δίῳ maiusculam exarauit in annotationibus; est enim nomen proprium vrbis Macedonicae. De certamine Olympico ibi celebrari solito, v. praeter Morellum modo laudatum, P. Wesseling ad Diodor. Sic. II. 125. Ven. et Morelliana dant δίῳ.

7) ἀρχαῖον] primigenium, iam aetate primorum suae gentis auctorum vsitatum, antiquitus institutum et per longam annorum seriem continuatum atque ab antiquissimis maioribus inde ad se deriuatum; a Philippo autem tandem renouatum, cum aliquantum interquieuisset.

8) Casaubonus vult περὶ μόνον αὐτὸν τῶν π. mallem vtique Dioni placuisse sic scribere. verumtamen fert ratio et vsus linguae graecae, αὐτὸν in re simili abesse. quare auctori mos suus est relinquendus. pro ὥστε est in Ven. ὥγε, quod accedit ad lectionem marg. Mor. ὅς γε, quae etiam non est contemnenda.

ὥσπερ ἐδὲ σολή. τὰ μὲν ἓν ἄλλα ποιήματα, ἔγω- 39.
γε ἡγοῦμαι, τὰ μὲν συμποτικὰ αὐτῶν, τὰ δὲ ἐρω-
τικά, τὰ δὲ ἐγκώμια ἀθλητῶν τε καὶ ἵππων νικώ-
των, τὰ δ' ἐπὶ τοῖς τεθνεῶσι θρήνες· τὰ δὲ γέλω- 40.
τος ἕνεκεν ἢ λοιδορίας πεποιημένα· ὥσπερ τὰ τῶν
κωμῳδιοδιδασκάλων, καὶ τὰ τῆ Παρίδι ποιητῆ 9).
ἴσως δέ τινα αὐτῶν καὶ δημοτικὰ λέγοιτ' ἄν, συμ-
βεβλευόντα καὶ παραινοῦντα τοῖς πολλοῖς καὶ ἰδιώ-
ταις, καθάπερ οἶμαι τὰ Φωκυλίδου καὶ Θεόγνιδος· 5.
ἐφ' ὧν τί ἂν ὠφεληθῆναι δύναιτο ἀνὴρ, ἡμῖν ὅμοιος;

Πάντων μὲν κρατέειν ἐθέλων, πάντεσσι δ' ἀνάσσειν.

Τὴν δέ γε Ὁμήρου ποίησιν, μόνην ὁρῶ τῷ ὄντι γεν- 10.
ναίαν καὶ μεγαλοπρεπῆ καὶ βασιλικὴν, ἣ πρέπει
τὸν νοῦν προσέχειν τῶν ἀνδρῶν 10) μάλιστα μὲν ἄρχειν
μέλλοντα τῶν ὅποι ποτὲ ἀνθρώπων. εἰ δὲ μὴ τῶν
πλείστων 11) καὶ φανερωτάτων, ἀτεχνῶς γε ἐσόμε-
νον, κατ' ἐκεῖνον, ποιμένα λαῶν. εἰ δὲ μὴ, πῶς 15.
ἐκ ἄτοπον, ἵππων 12) μὲν μὴ ἐθέλειν ἢ τῷ ἀρίστῳ
χρῆσθαι τὸν βασιλέα, τῶν δὲ ποιητῶν καὶ τοῖς
ἥττοσιν ἐντυγχάνειν, ὥσπερ σχολὴν ἄγοντα 13).
εὖ ἴσθι, ἔφη, ὦ πάτερ, ἐγὼ ἐ μόνον ποιητὴν ἕτε- 20.
ρον, ἀλλ' ἐδὲ 14) μέτρον ἄλλο, ἢ τὸ Ὁμήρου ἡρῷον

ἀκήκοα,

9) τῆ παρίδι ποιητῆ] Archilochum designari, iam Morellus annotauit. v. Strabon. p. 745.

10) τῶν ἀνδρῶν est in texto Venetae, τῶν ἄνδρα in V. L. et τὸν ἄνδρα m. Mor. vnde efficio leg. esse sic: τὸν νοῦν προσέχειν τὸν ἄνδρα, τὸν μάλιστα. Casaubonus vult: τῶν ἀνδρῶν τὸν μάλιστα —

11) f. τῶν γε πλείστων. Casaub. mauult τὸν πλείστων.

12) ἵππῳ] subaudi ἄλλῳ.

13) ὥσπερ σχολὴν ἄγοντα] v. p. 23, 33. ed. Mor. *quasi nescirent*, aut *non haberet aliud, quod ageret.*

14) aut pro ἀλλ' ἐδὲ leg. est ἀλλὰ καὶ, si ἄχθομαι seruare volumus, aut ἀνέχομαι e marg. Mor. est adscifcendum, vel ἥδομαι, in locum v. ἄχθομαι.

ἀκούων, ἄχθομαι. πάνυ οὖν αὐτὸν ὁ Φίλιππος ἠγάσθη τῆς μεγαλοφροσύνης, ὅτι δῆλος ἦν οὐδὲν φαῦλον, οὐδὲ ταπεινὸν ἐπινοῶν· ἀλλὰ τοῖς τε ἥρωσι καὶ τοῖς ἡμιθέοις παραβαλόμενον[15]. ὅμως δὲ κινᾶν αὐτὸν βουλόμενος· τὸν δὲ Ἡσίοδον, ὦ Ἀλέξανδρε, ὀλίγου κρίνεις, ἔφη[16], ποιητήν; οὐκ ἔγωγε εἶπεν, ἀλλὰ τοῦ παντὸς, οὐ μέντοι βασιλεῦσιν, οὐδὲ στρατηγοῖς ἴσως. ἀλλὰ τίσι μήν; καὶ ὁ Ἀλέξανδρος γελάσας, τοῖς ποιμέσιν ἔφη, καὶ τοῖς τέκτοσι, καὶ τοῖς γεωργοῖς. τοὺς μὲν γὰρ ποιμένας φησὶ φιλεῖσθαι ὑπὸ τῶν Μουσῶν, τοῖς δὲ τέκτοσι μάλα ἐμπείρως παραινεῖ, πηλίκον χρὴ τὸν ἄξονα τεμεῖν· καὶ τοῖς γεωργοῖς, ὁπηνίκα ἄρξασθαι πίθου[17]. τί οὖν οὐχὶ ταῦτα χρήσιμα ἔφη τοῖς ἀνθρώποις ὁ Φίλιππος; οὐχ ἡμῖν γε, εἶπεν, ὦ πάτερ, οὐδὲ Μακεδόσι τοῖς νῦν, ἀλλὰ τοῖς πρότερον, ἡνίκα νέμοντες καὶ γεωργοῦντες, Ἰλλυριοῖς ἐδούλευον καὶ Τριβαλλοῖς· οὐδὲ τὰ περὶ τὸν σπόρον ἔφη καὶ τὸν ἀμητὸν ὁ Φίλιππος, ἀρέσκει σοι τοῦ Ἡσιόδου μεγαλοπρεπῶς οὕτως εἰρημένα;

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων,
Ἄρχεσθ' ἀμητοῦ, ἀρότοιο δὲ δυσσομενάων.

Πολὺ

15) recte damnat Casaubonus vulgatam παραβαλόμενον, cui subiicit aut παραβαλλόμενον, quod est in Veneta, aut παραβαλούμενον. neutrum recte, mea quidem sententia. leg. mihi videtur παραμιλλώμενος, a παραμιλλᾶσθαι. aptus est hic nominatiuus a δῆλος ἦν. *quia constabat, et Alexander de se prodebat, se certare cum heroibus.*

16) f. ὀλίγου κρίνεις ἄξιον, ἔφη. patet e sequente ἀλλὰ τοῦ παντός.

17) ἄρξασθαι πίθου] imo vero ἀμητοῦ *messem incipere.* Habuit Dio in mente locum τῶν ἔργων p. 383. ed. Mor.

πληϊάδων ἀτλαγενέων ἐπιτελλομενάων.
ἄρχεσθ' ἀμητοῦ, ἀρότοιο δὲ δυσσομενάων.

quod distichon etiam infra noster repetit.

οὐδεὶς γὰρ ἐμοὶ πολέμιος, οὐδὲ ἐχθρός ἐστι βιαζόντι. ἂν δὲ ἅπαις ἐκλίπῃ ὁ χρυσὸς, ἅπαις δὲ ὁ ἄργυρος, ἅπαις δὲ ὁ χαλκὸς, οὐκ ἂν ἐγὼ βλαβείην, οὐδὲ μικρόν. ἂν δὲ ἅπασαι μὲν αἱ οἰκίαι πέσωσιν ὑπὸ σεισμῷ[91]), καθάπερ ἐν Σπάρτῃ ποτὲ· καὶ πάντα διαφθαρῇ τὰ πρόβατα, ὡς μηδένα ἐσθῆτος εὐπορῆσαι· μὴ μόνον δὲ τὴν Ἀττικὴν, ἀλλὰ καὶ Βοιωτίαν, καὶ Πελοπόννησον, καὶ Θετταλίαν ἀπορίᾳ[92]) κατα- λάβῃ, ὥσπερ ἤδη πρότερόν φασιν, οὐδὲν ἐγὼ χεῖρον οὐδὲ ἀπορώτερον βιώσομαι. παρὰ πόσον μὲν γὰρ ἔσομαι γυμνότερος τοῦ νῦν, πόσῳ δὲ ἀοικότερος; ἱκανὰ δέ μοι τροφὴν παρασχεῖν, καὶ μῆλα[93]), καὶ κέγχροι, καὶ κριθαὶ, καὶ ὄροβοι τὰ εὐτελέστατα τῶν ὀσπρίων, καὶ φηγὸς ὑπὸ τῇ τέφρᾳ, καὶ ὁ τῆς πρανείας καρπὸς, ᾗ[94]) φησιν Ὅμηρος εὐώχειν τοὺς τῶ Ὀδυσσέως ἑταίρους τὴν Κίρκην, ὑφ' ὧν σὺν- τέχει τρεφόμενα καὶ τὰ μέγιστα θηρία.

91) σεισμῷ aut σεισμῶν. prius adſcr. quoque V. D. Venetae meae. Ven. et Mor. dant σεισμὸν.

92) ἀπορίᾳ in nomin. vt V. D. quoque annotauit. Morell. et Ven. dant in datiuo.

93) Veneta dat μᾶλα. Doriſmus in Dione locum non habet. Horribilis ille terrae motus, qui Spartam euertit, a Noſtro paulo ante commemoratus, euenit anno quarto Olymp. 77. v. Diodor. Sic. XI. 62. p. 471.

94) ᾗ] ſic recte Veneta, *qua ratione;* niſi ad κρανείαν *cornum* referre malis, quod eſt durius. poſſit quoque ᾧ legi, ſcil. καρπῷ. Morell. dat ᾗ, et pro μέγιστα reperit Morellus in ſuo codice μεγάλα, ſed vulgatum praeſtat.

ΕΥΒΟΙΚΟΣ Η ΚΥΝΗΓΟΣ.

ΛΟΓΟΣ Ζ'.

Τὸ δὲ μὴν [1]) αὐτὸς ἰδὼν, ἢ παρ' ἑτέρων ἀκούσας, διηγήσομαι. ἴσως γὰρ ἡ μόνον πρεσβυτικὸν πολυλογία, καὶ τὸ μηδένα διωθεῖσθαι ῥαδίως τῶν ἐμπιπτόντων λόγων· πρὸς δὲ τῷ πρεσβυτέρῳ [2]), τυχὸν ἂν εἴη καὶ σκλητικόν. αἴτιον δὲ, ὅτι πολλὰ τυχὸν οἱ πρεσβύτεροι πεπόνθασιν, ὧν ἐκ ἀηδῶς μέμνηνται. ἐρῶ δ' ἔγωγε, οἵοις ἀνδράσι καὶ ὅντινα βίον ζῶσι, συνέβαλον ἐν μέσῃ σχεδὸν τῇ Ἑλλάδι. ἐτύγχανον μὲν ἐγὼ ἀπὸ Χίου περαιούμενος μετά τινων ἁλιέων, ἔξω τῆς θερινῆς [3]) ὥρας, ἐν μικρῷ παντελῶς ἀκαιρίῳ. χειμῶνος

1) τὸ δὲ μὴν] Casaubonus vult τόδε μὴν; idemque testatur Morellus a codice Parisino confirmari. nihilo tamen magis mihi persuadent ita leg. esse. non primam vocem vitiose exhibitam esse autumo, sed tertiam τὴν, pro qua malim νῦν, vt sit τὸ δὲ νῦν. quod suspicionem creat, aut intercidisse paucula quaedam, aut certe a lectore subaudienda esse, quorum haec sit sententia: καὶ τὰ μὲν μέχρι τῶνδε παρ' ἑτέρων ἀκούσας διηγησάμην. et haec quidem hactenus, quae ab aliis fama tradita retuli. Nunc autem ordior ea narrare, quae ipsemet oculis meis vidi.

2) Casaubono consentit, praeter necessitatem rei, etiam Anglus. Inepta sunt, quae et Anglus et Wolf. et ad h. l. et ad n. 5. disputant; quibus supersedere possent, si graeci sermonis fuissent peritiores, neque suas opes omnes in collectaneis depositas habuissent, sed in vsu auctorum.

3) ἔξω τῆς θερινῆς tametsi vniuerse quamcunque aliam tempestatem praeter aestiuam significat, hic loci tamen non aliam indicat, praeter eam, quae statim insequitur aestiuam, id est autumnalem, quae est ἐπ' ἐξόδῳ τῆς θερινῆς ὥρας, vergente, inclinante aestate, cum mare incipit saeuire.

μῶνος δὲ γενομένȣ, χαλεπῶς καὶ μόλις διεσώθημεν πρὸς τὰ κοῖλα τῆς Εὐβοίας· τὸ μὲν δὴ ἀκάτιον, εἰς τραχύν τινα αἰγιαλὸν ὑπὸ τοῖς κρημνοῖς 4) ἐκβαλόντες, διέφθειραν 5), αὐτοὶ δὲ ἀπεχώρησαν πρός τινας πορφυρεῖς 6) ὑφορμȣ̃ντας ἐπὶ τῇ πλησίον χηλῇ, κἀκείνοις συνεργάζεσθαι διενοȣ̃ντο, αὐτȣ̃ μένοντες. καταληφθεὶς 7) δὴ μόνος, ȣ̓κ ἔχων, εἰς τίνα πόλιν σωθήσομαι, παρὰ τὴν θάλατταν ἄλλως ἐπλανώμην· εἴ πȣ τινὰς ἢ παραπλέοντας, ἢ ὁρμȣ̃ντας ἴδοιμι. προεληλυθὼς δὲ συχνὴν, ἀνθρώπων μὲν ȣ̓δένα ἑώρων· ἐπιτυγχάνω δὲ ἐλάφῳ, νεωςὶ κατὰ τȣ̃ κρημνȣ̃ πεπτωκότι· παρ' αὐτὴν τὴν ῥαχίαν, ὑπὸ τῶν κυμάτων παιομένῳ, φυσῶντι ἔτι. καὶ μετ' ὀλίγον ἔδοξα ὑλακῆς ἀκȣ̃σαι κυνῶν ἄνωθεν, μόλις πως 8), διὰ τὸν ἦχον τὸν ἀπὸ τῆς θαλάττης. προελθὼν δὲ καὶ προβὰς 9) πάνυ χαλεπῶς πρός τι ὑψηλὸν, τȣ́ς τε κύνας ὁρῶ 10) ἠπορημένȣς καὶ διαθέοντας· ὑφ' ὧν εἴκαζον, ἀποβιασθὲν τὸ ζῶον, ἁλέσθαι κατὰ τȣ̃ κρημνȣ̃· καὶ μετ' ὀλίγον ἄνδρα,

4) ὑπὸ τοῖς κρημνοῖς] a ſcopulis. ὑπὸ hic idem eſt atque *per*, *propter*. in locum cum adegiſſent nauiculam, quem locum coeci, aut parum exſtantes ſcopuli feciſſent aſperum.

5) διέφθειραν] tradiderunt vndis confringendum.

6) Morellus ad vocem πορφυρεῖς affert ſcholium, in quo emendando ſuam iactat ſolertiam, ſed eam profecto infelicem et ſiniſtro loco adhibitam. rectum enim eſt κητȣλάριοι. *cetularii* vulgari ſermone appellabantur hi piſcatores purpurarii a voc. κήτη, cete. Inepta itaque eſt etymologia ſcholiaſtae, et nota digna, non ipſa vox.

7) f. καταλειφθεὶς *derelictus*.

8) f. μόλις δέ πως.

9) mauult Anglus προσβὰς, in quo ei Wolf, pro more ſuo, aſſentitur. Sed fruſtra ambo. προελθεῖν eſt in via plana procedere, προβῆναι eſt in altum eniti, contendere.

10) ὁρῶ] ſic dedi, nam alias pendet oratio ſublimis, et natat, fulcro deſtituta. ὁρῶν Morell. et Ven.

δρα, κυνηγέτην ἀπὸ τῆς ὄψεως καὶ τῆς στολῆς, τὰ γένεια ὑγιῆ [11]), κομῶντα, ὃ φαύλως ἐδὲ ἀγεννῶς, ἐξόπισθεν· οἵους ἐπὶ Ἴλιον φησὶν Ὅμηρος ἐλθεῖν, Εὐβοέας [12]), σκώπτων [13]) ἐμοὶ δοκεῖν καὶ καταγελῶν, ὅτι τῶν ἄλλων Ἀχαιῶν καλῶς ἐχόντων, οἱ δὲ ἐξ ἡμίσους ἐκόμων. καὶ ὃς ἀνηρώτα με· ἀλλ᾽ ἦ, ὦ ξένε, τῇ δὲ πε φεύγοντα ἔλαφον κατενόησας; κἀγὼ πρὸς αὐτὸν· ἐκεῖνος, ἔφην, ἐν τῷ κλύδωνι ἤδη, καὶ ἀγαγὼν ἔδειξα. ἑλκύσας ἔν αὐτὸν ἐκ τῆς θαλάττης, τό τε δέρμα ἐξέδειρε μαχαίρᾳ, καὶμὲ ξυλλαμβάνοντος, ὅσον οἷός τε ἦν· καὶ τῶν σκελῶν ἀποτεμὼν τὰ [14]) ὀπίσθια, ἐκόμιζεν ἅμα τῷ δέρματι. παρεκάλει δὲ καὶμὲ συνακολουθεῖν, καὶ συνεστιᾶσθαι τῶν κρεῶν. εἶναι δὲ ἡ μακρὰν τὴν οἴκησιν. ἔπειτα ἔωθεν, ἔφη, παρ᾽ ἡμῶν κοιμηθεὶς, ἥξεις ἐπὶ τὴν θάλαττταν, ὡς τά γε νῦν ἐκέτι πλώϊμα. καὶ μὴ τοῦτο, εἶπε, φοβηθῇς. βουλοίμην [15]) δ᾽ ἂν ἔγωγε καὶ

11) τὰ γένεια ὑγιῆ] non rasum quoad malas, barba integra. exponit Morellus pluribus, sed more suo ineptiuscule.

12) Euboeae incolae frontem vsque ad vertitem tondebant, occiput finebant prolixe comatum, coma profusa super scapulas dependente. v. Plutarch. Theseo p. 5. et Libanii T. II. ed. Mor. p. 489, 42.

13) σκώπτων. vitium typographicum σκόπτων e Ven. in Morell. est deriuatum.

14) Viderunt iam Casaubonus et Anglus leg. esse ἀποτεμὼν τὰ, duobus vocabulis; videtur idem interpres quoque sensisse, quem Wolfius cauisset reprehendere, si meminisset participia graecorum aoristorum et perfectorum actiua posse saepe in latinis reddi per participia perfect. pass. quod est vulgatissimum. Ven. dat ἀποτεμῶντα, et Mor. ἀποτεμόντα.

15) φοβηθῇς. βουλοίμην] sic recte Veneta. Sententia haec est. Venator negarat mare ista tempestate amplius esse nauigabile; qua oratione videns consternatum et trepidantem Dionem, confirmat eum his verbis: Noli, inquit, ab hac oratione perterreri, nam tua equidem causa

βοτάνης εὐθαλοῦς δι' ὅλου τοῦ θέρους· ὥστε μὴ πολὺν πλανᾶσθαι τόπον. ὧν δὴ ἕνεκα συνήθως ἐκεῖ καθέστασαν[35]) τὴν ἀγέλην. καὶ τότε ἔμειναν ἐν ταῖς σκηναῖς, μέχρι ἂν εὕρωσι μισθόν τινα, ἢ ἔργον[36]), καὶ διετράφησαν ἀπὸ χωρίου μικροῦ παντελῶς, ὃ ἔτυχον εἰργασμένοι πλησίον τοῦ σταθμοῦ. τοῦτο ἐπήρκεσεν αὐτοῖς ἱκανῶς, ἅτε κόπρου πολλῆς ἐνούσης, καὶ σχολὴν ἄγοντες ἀπὸ βοῶν, πρὸς θήραν ἐτράπησαν, τὸ μὲν[37]) αὐτοὶ τὰ δὲ καὶ μετὰ κυνῶν. δύο γὰρ τῶν ἑπομένων ταῖς βουσὶν[38]), ὡς δὴ μακρὰν ἦσαν οὐχ ὁρῶντες τοὺς νομεῖς, ἐπέστρεψαν ἐπὶ τὸν τόπον, καταλιπόντες τὴν ἀγέλην. οὗτοι τὸ μὲν πρῶτον συνηκολούθουν αὐτοῖς, ὥσπερ ἐπ' ἄλλο τι· καὶ τοὺς μὲν λύκους ὁπότε ἴδοιεν, ἐδίωκον μέχρι τινὸς, συῶν δὲ ἢ ἐλάφων οὐδὲν αὐτοῖς ἔμελεν. εἰ δέ ποτε ἴδοιεν τῶν ἀνθρώπων τινὰ ὀψὲ καὶ πρωῒ συνιστάμενοι, ὑλάκτουν τε καὶ ἤμυνον, ὥσπερ ἂν εἰ πρὸς ἄνθρωπον[39]) ἐμάχοντο. γευόμενοι δὲ τοῦ αἵματος, καὶ συῶν καὶ ἐλάφων, καὶ τῶν κρεῶν πολλάκις ἐσθίοντες· ὀψὲ μετα-

gata. gramen laetius prouenit sub arboribus non nimis densis.

35) καθέστασαν] siccine vsurpatur pro καθεστάκεσαν in plusquamperfecto? Haud scio; noui equidem ἕστηκα in perfecto nonnunquam vsurpari eodem sensu atque ἔστησα *constitui*, *collocaui*, sed tutius fuerit καθίστασαν hic exarari.

36) ἢ ἔργον videtur delendum vt e scholio vocabuli μισθὸν natum. μισθὸν εὑρίσκειν, ἔργον εὑρίσκειν idem est atque μισθοδότην, ἐργοδότην εὑρίσκειν.

37) aut τὸ μὲν, τὸ δὲ, aut τὰ μὲν, τὰ δὲ.

38) ταῖς βουσὶν] illis puta, quae, bonis heri confiscatis, in vrbem abactae fuissent, et macello addictae.

39) nescio, quid sibi velit coniectura Morelli ἄνθρωπος πρ. orae ed. suae adscripta. πρὸς ἄνθρωπον idem est, atque πρὸς πᾶν ἀνθρώπινον γένος. *quasi bellum ipsis esset cum vniuerso genere humano.*

μεταμαθόντες, κρέασιν ἀντὶ μάζης ἥδεσθαι. τῶν μὲν[40]) ἐμπιπλάμενοι, εἴ ποτε ἁλώη τις, σίτου, ὁπότε δὲ μὴ, πεινῶντες μᾶλλον ἤδη τῷ τοιούτῳ προσεῖχον. καὶ τὸ φαινόμενον ἐδίωκον, πᾶν ὁμοίως, καὶ ὀσμῆς ἀμηγέπη, καὶ ἴχνους ᾐσθάνοντο· καὶ ἀπέβησαν ἀντὶ βουκόλων τοιοῦτοί τινες ὀψιμαθεῖς καὶ βραδύτεροι θηρευταί. χειμῶνος δὲ ἐπελθόντος, ἔργον μὲν οὐδὲν ἦν πεφηνὸς αὐτοῖς, οὔτε εἰς ἄστυ καταβᾶσιν, οὔτε εἰς κώμην τινά. φραξάμενοι δὲ τὰς σκηνὰς ἐπιμελέστερον, καὶ τὴν αὐλὴν πυκνοτέραν ποιήσαντες, οὕτως διεγένοντο, καὶ τὸ χωρίον ἐκεῖνο πᾶν εἰργάσαντο, καὶ τῆς θήρας ἡ χειμερινὴ ῥᾴων ἐγίγνετο. τὰ γὰρ ἴχνη φανερώτερα, ὡς ἂν ἐν ὑγρῷ τῷ ἐδάφει σημαινόμενα· ἡ δὲ χιὼν, καὶ πάνυ τηλαυγῆ παρέχει· ὥστε οὐδὲν δεῖ ζητοῦντα πράγματα ἔχειν, ὥσπερ ὁδοῦ φερούσης ἐπ' αὐτὰ, καὶ τὰ θηρία μᾶλλόν τι ὑπομένειν[41]), ὀκνοῦντα. ἔστι δ' ἔτι καὶ λαγὼς καὶ δορκάδας ἐν ταῖς εὐναῖς καταλαμβάνειν. οὕτω δὴ τὸ ἀπ' ἐκείνου διέμειναν, οὐδὲν ἔτι προσδεηθέντες ἄλλου βίου. καὶ ἡμῖν συνέζευξαν γυναῖκας, τοῖς ἀλλήλων υἱέσιν ἑκάτερος τὴν αὐτοῦ θυγατέρα. τεθνήκασι δὴ ἀμφότεροι πέρυσι σχε-

 δὸν,

40) locum hunc Casaubonus depositum reliquit pro desperato, questus, obscurissimum esse. Morellus, item impeditum appellans, attulit e regio suo lectionem, a qua magis adhuc impediretur. multo magis inexplicabilia sunt, quae Anglus et Wolf proposuere, quae referre taedet. Breuibus itaque, quomodo constituendum hunc locum existimem, dicam. sana sunt reliqua omnia, praeterquam quod vnum verbum ἀπείχοντο sit post τῶν μὲν addendum, et pro ἁλώη leg. δώη, vt sic decurrat oratio: τῶν μὲν [scil. κρεῶν] ἀπείχοντο, a carnibus ferinis sese abstinebant, easque fastidiebant, si saturati essent pane, modo esset, qui panis sat daret. ἐμπιμπλάμενοι, εἴ ποτε δώη τις, σίτου.

41) ὑπομένει.

δὸν, τὰ μὲν ἔτη πολλὰ ἔλεγον[42]), ἃ ἐβεβιώκεσαν, ἰσχυροὶ δὲ ἔτι καὶ νέοι καὶ γενναῖοι τὰ σώματα. τῶν δὲ μητέρων ἡ ἐμὴ περίεσσα. ὁ μὲν οὖν ἕτερος ἡμῶν οὐδεπώποτε εἰς πόλιν κατέβη, πεντήκοντα ἔτη γεγονώς[43])· ἐγὼ δὲ δὶς μόνον, ἅπαξ μὲν ἔτι παῖς μετὰ τοῦ πατρὸς ὁπηνίκα τὴν ἀγέλην εἴχομεν. ὕστερον δὲ ἧκέ τις ἀργύριον αὐτῶν, ὥσπερ ἔχοντάς τι, κελεύων ἀκολουθεῖν εἰς τὴν πόλιν. ἡμῖν δὲ ἀργύριον μὲν οὐκ ἦν, ἀλλ' ἀπωμοσάμην μὴ ἔχειν· εἰ δὲ μὴ[44]), δεδωκέναι ἄν. ἐξενίσαμεν δὲ αὐτὸν ὡς ἐδυνάμεθα μάλιστα[45]), καὶ δύο ἐλάφεια δέρματα ἐδώκαμεν, κἀγὼ ἠκολούθησα εἰς τὴν πόλιν. ἔφη γὰρ ἀνάγκην εἶναι τὸν ἕτερον ἐλθεῖν, καὶ διδάξαι περὶ τούτων. εἶδον οὖν, οἷα καὶ πρότερον, οἰκίας πολλὰς, καὶ μεγάλας, τεῖχος ἔξωθεν καρτερὸν, καὶ οἰκήματά τε ὑψηλὰ καὶ τετράγωνα ἐν τῷ τείχει, τοὺς πύργους[46]), καὶ πλοῖα πολλὰ ὁρμοῦντα, ὥσπερ ἐν λίμνῃ, ἐν τῷ λιμένι, κατὰ πολλὴν ἡσυχίαν. τοῦτο δὲ ἐνθάδε οὐκ ἔστιν οὐδαμοῦ, ὅπου κατηνέχθης· καὶ διὰ τοῦτο αἱ ναῦς ἀπόλλυνται. ταῦτα οὖν ἑώρων,

καὶ

42) ἔλεγον] imo vero λέγοντες; non mutarem vulgatam, si mox sequeretur ἦσαν post ἰσχυροὶ δὲ ἔτι. sed cum ibi ὄντες subaudiatur, necesse hic est participium imperfecto suffici.

43) γεγονὼς] sic recte dat Veneta. γεγενὼς Morell.

44) εἰ δὲ μὴ] quod si secus esset, h. e. si pecuniati essemus.

45) sic distinguo: *vt maxime*, quam splendidissime *poteramus*. ἐδυνάμεθα· μάλιστα καὶ — Miserabilem in modum corrupta est distinguendi ratio in Dione vulgato, vtroque; quod in Veneto minus est indignandum, atque in Parisino. nos vero haec, quae minutiora videntur, parum diligenter annotabimus.

46) τοὺς πύργους] haec duo vocabula ita sunt accipienda, vt a Dione ipso subiecta, illuminationis ergo, quo lector intelligeret, quae aedificia venator designasset; nam venatoris quidem illa personam minus decent.

καὶ πολὺν ὄχλον ἐν τούτῳ[47]) συνειλεγμένον, καὶ θό-
ρυβον ἀμήχανον, καὶ κραυγήν· ὥστε ἐμοὶ ἐδόκουν
πάντες μάχεσθαι ἀλλήλοις. ἄγω οὖν με πρός τι-
νας ἄρχοντας. καὶ εἶπε γελῶν· ὅτος ἐστιν, ἐφ' ὃν
με ἐπέμψατε. ἔχει δὲ ὧδε, εἰ μή γε τὴν κώμην,
καὶ σκηνὴν μάλα ἰσχυρῶν ξύλων. οἱ δὲ ἄρχοντες
εἰς τὸ θέατρον ἐβάδιζον, κἀγὼ σὺν αὐτοῖς· τὸ δὲ
θέατρόν ἐστιν, ὥσπερ Φάραγξ, κοῖλον, πλὴν οὐ
μακρὸν ἐκπετέρωθεν, ἀλλὰ στρογγύλον ἐξ ἡμίσους, ὀκ
αὐτόματον, ἀλλ' ἀποδομημένον λίθοις. ἴσως δέ με
καταγελᾷς, ὅτι διηγοῦμαι σαφῶς εἰδότι ταῦτα.
πρῶτον μὲν ἦν πολύν τινα χρόνον ἄλλα τινὰ ἔπρατ-
τεν ὁ ὄχλος, καὶ ἐβόων ποτὲ μὲν πράως, καὶ ἱλα-
ρῶς, πάντες ἐπαινοῦντές τινας· ποτὲ δὲ σφόδρα καὶ
ὀργίλως. κατὰ δὴ τοῦτο χαλεπὸν τὸ τῆς ὀργῆς
αὐτῶν· καὶ τοὺς ἀνθρώπους εὐθὺς ἐξέπληττον, οἷς
ἀνέκραγον· ὥστε οἱ μὲν αὐτῶν περιτρέχοντες, ἐδέον-
το· οἱ δὲ τὰ ἱμάτια ἐρρίπτεν ὑπὸ τοῦ φόβου. ἐγὼ
δὲ καὶ αὐτὸς ὀλίγου κατέπεσον ὑπὸ τῆς κραυ-
γῆς· ὥσπερ κλύδωνος ἐξαίφνης, ἢ βροντῆς ἐπιρρα-
γείσης. ἄλλοι δέ τινες ἄνθρωποι εἰσιόντες· οἱ δ' ἐκ
μέσων ἀνιστάμενοι, διελέγοντο πρὸς τὸ πλῆθος· οἱ
μὲν ὀλίγα ῥήματα, οἱ δὲ πολλοὺς λόγους. καὶ τῶν
μὲν ἦκεον πολύν τινα χρόνον, τοῖς δὲ ἐχαλέπαινον
εὐθὺς φθεγξαμένοις, καὶ οὐδὲ γεύεσθαι ἐπέτρεπον.
ἐπεὶ δ' ἐκαθήσαντό ποτε, καὶ ἡσυχία ἐγένετο, παρή-
γαγον καἰμέ. καὶ εἶπέ τις· ὅτος ἐστιν, ὦ ἄνδρες,
τῶν καρπισαμένων τὴν δημοσίαν γῆν πολλὰ ἔτη, ἃ μό-
νος αὐτὸς, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον, καὶ
κατανέμεσι τὰ ἡμέτερα ὄρη, καὶ γεωργοῦσι, καὶ
θηρεύουσι καὶ ἀμπέλους ἐμπεφυτεύκασι· καὶ οἰκίας
ἐνωκοδομήκασι πολλὰς, καὶ ἄλλα πολλὰ ἔχουσιν ἀ-

47) ἐν τούτῳ] malim ἐν ταὐτῷ in eodem loco.

ἄλλος τις, ὡς ἐφαίνετο ἐπιεικὴς ἄνθρωπος, ἀπό τε τῶν λόγων, ὃς εἶπε, καὶ ἀπὸ τοῦ σχήματος· πρῶτον μὲν ἡλίκος σιωπῆσαι τὸ πλῆθος. καὶ ἐσιώπησαν. ἔπειτα εἶπε τῇ φωνῇ πρᾴως, ὅτι δίκην ἀδικοῦσιν οἱ τὴν ἀρχὴν τῆς χώρας ἐργαζόμενοι καὶ καταισχυνόμενοι, ἄλλα τἀναντίον ἐπαινεῖν δικαίως ἂν τυγχάνοιεν. καὶ δεῖ μὴ τοῖς οἰκοδομοῦσι καὶ φυτεύουσι τὴν δημοσίαν γῆν χαλεπῶς ἔχειν, ἀλλὰ τοῖς καταφθείρουσι. ἐπεὶ καὶ νῦν, ἔφη, ὦ ἄνδρες, σχεδόν τι τὰ δύο μέρη τῆς χώρας ἡμῶν ὀρεινά ἐστι, δι' ἀμέλειάν τε καὶ ὀλιγανθρωπίαν[55]. κἀγὼ πολλὰ κέντημαι πλέθρα, ὥσπερ οἶμαι καὶ ἄλλος τις, ἃ μόνον ἐν τοῖς ὄρεσιν, ἀλλὰ καὶ ἐν τοῖς πεδινοῖς, οἷ εἴ τις θέλοι γεωργεῖν, ἃ μόνον προῖκα δώην[56], ἀλλὰ καὶ ἀργύριον ἡδέως προστελέσαιμι. δῆλον γὰρ, ὡς ἐμοὶ πλέονος ἀξία γίγνεται, καὶ ἅμα ἡδὺ ὅραμα χώρα οἰκουμένη καὶ ἐνεργός· ἡ δ' ἔρημος, ἃ μόνον ἀνωφελὲς κτῆμα τοῖς ἔχουσιν, ἀλλὰ καὶ σφόδρα ἐλεεινόν τε, καὶ δυσχέρειάν τινα κατηγορεῖν τῶν δεσποτῶν. ὥστε μοι δοκεῖν[57] μᾶλλον ἑτέρους προτρέπειν, ὅσους ἂν δύνησθε τῶν πολι-

55) ὀλιγανθρωπίαν] sic recte exhibuit Morell. explicetam siglam, quae in Veneta est ὀλιγανίαν; quam siglam cum non intelligeret vir doctus, quem saepe designo et laudo, adscripsit ὀλιγανδρίαν, recte ille quidem ad sententiam, minus tamen ad veritatem.

56) δώην] fuisse olim ἂν addi, recte ad graecitatis exquisitae rationem. Sunt tamen recentiores graeci auctores in eiusmodi minutiis, ad ἀκρίβειαν pertinentibus, negligentiores, quod nescio an haud raro librariis sit imputandum. nam saepenumero in Demosthenis codice Augustano ἂν omissum reperi, quod est in vulgatis, etiam vbi oratio id poscit.

57) Anglus vult ὥσε χρὴ (μοὶ δοκεῖν), recte ille quidem, si Dioni placuisset sic loqui. Sed vulgata idem dicit. προτρέπειν idem est atque δεῖν προτρέπειν, *oportere hortari.*

πολιτῶν, ἐργάζεσθαι τῆς δημοσίας γῆς, ἀπολαβόντας, τοὺς μὲν ἀφορμήν τινα ἔχοντας, καὶ πλείω· τοὺς δὲ πένητας, ὅσην ἂν ἕκαστος ᾖ δυνατός[58]· ἵνα ὑμῖν, ἥ τε χώρα ἐνεργὸς ᾖ, καὶ τῶν πολιτῶν οἱ θέλοντες δύο τῶν μεγίστων ἀπηλλαγμένοι[59] κακῶν, ἀργίας καὶ πενίας. ἐπὶ δέκα μὲν οὖν ἔτη, προῖκα ἐχόντων· μετὰ δὲ τοῦτον τὸν χρόνον, ταξάμενοι μοῖραν ὀλίγην, παρεχέτωσαν ἀπὸ τῶν καρπῶν· ἀπὸ δὲ τῶν βοσκημάτων μηδέν. ἐὰν δέ τις ξένος γεωργῇ, πέντε ἔτη καὶ οὗτοι μηδὲν ὑποτελούντων, ὕστερον δὲ διπλάσιον, ἢ οἱ πολῖται. ὃς δὲ ἂν ἐξεργάσηται τῶν ξένων διακόσια πλέθρα, πολίτην αὐτὸν εἶναι, ἵνα ὡς πλεῖστον[60] ὦσιν οἱ προθυμούμενοι. ἐπεὶ νῦν γε καὶ τὰ πρὸ τῶν πυλῶν ἄγρια παντελῶς ἐστι καὶ αἰσχρὰ δεινῶς· ὥσπερ ἐν ἐρημίᾳ τῇ βαθυτάτῃ, οὐχ ὡς προάστειον πόλεως· τὰ δέ γε ἐντὸς τείχους, σπείρεται τὰ πλεῖστα καὶ κατανέμεται. οὐκοῦν ἄξιον, ἔφη, θαυμάσαι τῶν ῥητόρων, ὅτι τοὺς μὲν ἐπὶ τῷ Καφηρεῖ φιλεργοῦντας, ἐν τοῖς ἐσχάτοις τῆς Εὐβοίας, συκοφαντοῦσι· τοὺς δὲ τὸ γυμνάσιον γεωργοῦντας, καὶ τὴν ἀγορὰν κατανέμοντας, οὐδὲν οἴονται[61] ποιεῖν δεινόν. βλέπετε γὰρ αὐτοὶ δήπουθεν, ὅτι τὸ γυμνάσιον ὑμῖν ἄρουραν πεποιήκασι[62]· ὥστε τὸν Ἡρακλέα καὶ ἄλλους ἀνδριάντας συχνοὺς, ὑπὸ τοῦ θέρους ἀποκεκρύφθαι, τοὺς μὲν Ἡρώων, τοὺς δὲ θεῶν· καὶ ὅτι καθ' ἡμέραν τὰ τοῦ ῥήτορος τούτου πρόβατα, ἕωθεν εἰς τὴν ἀγορὰν ἐμβάλλει καὶ κατανέμεται περὶ[63] τὸ βου-

 λευτή-

58) ᾖ δυνατὸς] scil. ἐργάζεσθαι, e superioribus.
59) ἀπηλλαγμένοι] sic recte Veneta, ἀπηλλαγμένη Morell.
60) f. ὡς πλεῖστοι, *quam plurimi.*
61) οἴονται] sic interpres et Anglus. οἷόν τε Morell. et Ven.
62) πεποιήκασι] sic V. L. Venetae; πεποίηκεν t. Ven. et Mor.
63) περὶ] malim τὰ περὶ.

δίδομεν. ἔτι δὲ ὀλίγα ἐν ἁλσὶ, τἄλλα δ' ἐν τῷ καπνῷ, ξηρά. οὐ πολὺ ἐκείνων χείρω, σκελίδες ὑῶν[74]), καὶ ἐλάφειοι, καὶ ἄλλα γενναῖα[75]) κρέα. ἐνταῦθα ἐθορύβουν, καὶ ψευδέσθαί με ἔφασαν. ὁ δὲ ἠρώτα με, εἰ σῖτον ἔχομεν· καὶ πόσον τινά; εἶπον τὸν ὄντα ἀληθῶς· δύο, ἔφην, μεδίμνους πυρῶν, καὶ τέτταρας κριθῶν, καὶ τοσούτους κέγχρων, κυάμων δὲ ἡμίεκτον· οὐ γὰρ ἐγένοντο τῆτες. τοὺς μὲν οὖν πυροὺς καὶ τὰς κριθὰς, ἔφην, ὑμεῖς λάβετε, τὰς δὲ κέγχρους ἡμῖν ἄφετε. εἰ δὲ κέγχρων[76]) δεῖσθε, καὶ ταύτας λάβετε. οὐδὲ οἶνον ποιεῖτε; ἄλλος τις ἠρώτησεν; ποιοῦμεν, εἶπον. ἂν οὖν τις ὑμῶν ἀφίκηται, δώσομεν· ὅπως δὲ ἥξει[77]), φέρων ἀσκόν τινα· ἡμεῖς γὰρ οὐκ ἔχομεν. πόσαι γάρ τινές εἰσιν ὑμῖν ἄμπελοι; δύο μὲν, ἔφην, αἱ πρὸ τῶν θυρῶν, ἔσωθεν δὲ τῆς αὐλῆς, εἴκοσι· καὶ τοῦ ποταμοῦ πέραν, ἃς ἔναγχος ἐφυτεύσαμεν, ἕτεραι τοσαῦται· εἰσὶ δὲ γενναῖαι σφόδρα, καὶ τοὺς βότρυς φέρουσαι μεγάλους, ὅταν οἱ παριόντες ἐπαφῶσιν[78]) αὐτούς. ἵνα δὲ μὴ πράγ-

non decet personam pastoris carnes suas commendantis, ipsam bonitatem earum oratione sua eleuare; quare malim ἥκιστα μὲν in vnum verbum ἡλίσαμεν contrahi: carnes nostras sale non condiuimus, sed pro maxima parte fumo durauimus, quicquid tamen salitarum in penu est, quod parum est, id omne dabimus.

74) ὑῶν] sic dedi; vitium υἱῶν e Veneta in Parisinam transiit.

75) γενναῖα] sic interpres et Casaubonus, carnes nobiles, generosae. (Morell. et Ven. dant γενέα) Locus, quem Casaubonus designat, habetur in Eius ad Athenaeum animadv. XIV. 19. p. 930. conf. etiam Hemsterhus. ad Luciani T. I. p. 9. et Nostri p. 102, 40. et 108, 14. 113, 26. ed. Mor.

76) f. εἰ δὲ καὶ κέγχρων.

77) ὁπότε δ' ἥξει φερέτω margo Morell.

78) ἐπαφῶσιν] bonum est et rei conueniens. idem est atque si dixisset ἀφῶσιν αὐτοὺς ἐπὶ ταῖς ἀμπέλοις. modo prae-

πράγματα ἔχητε καθήκοντα ἑαυτοῖς, ἐρῶντας τέκνων, εἰ ἔστιν ἡμῖν αἴγες ἔκτω θήλειαι, βοῦς πολιὸς βοὴ, μοσχάριον ἐξ αὐτῆς πάνυ καλὸν, δέσποινα τέτταρα, δίκελλαι τέτταρες, λόγχαι τρεῖς, μάχαιραν ἡμῶν ἑκάτερος κέκτηται πρὸς τὰ θηρία. τὰ δὲ περαίνεται σπεύδοντα τί ἂν λέγοι τις; καὶ γυναῖκες ἡμῖν εἰσὶ, καὶ τέκνων τέκνα 79). οἰκοῦμεν δὲ ἐν δυσὶ σταθμαῖς καλύβαις· καὶ τρίτην ἔχομεν, ἐν κοινῷ τὸ σιτοφύλακιον, καὶ τὰ δέρματα· νὴ Δία, εἶπεν ὁ ῥήτωρ, ἄπιτε καὶ τὰ ἀργύριον ὅπως κατορύττετε. ἴωμεν, ἔφην, ἀναπεσούμενοι ἐλθοῦσι, ὦ μάκαρ. τίς δὲ κατορύττει ἀργύριον 80); ἐν γὰρ δὴ Φυσταῖς γε ἐνταῦθα πάντες ἐγέλων, ἐκεῖνα, μοι δοκεῖν καταγελάσαντες τῶν τά ἐστιν ἡμῖν· εἰ δὲ καὶ πάντα θέλετε, ἡμεῖς ἑκόντες ὑμῖν χαριζόμεθα· καὶ ἔδεν ὑμᾶς δεῖ ἀφιέναι θαι πρὸς βίαν, ὥσπερ ἀλλοτρίων ἢ πονηρῶν 81), ἐπεὶ τοι καὶ πολῖται τῆς πόλεως ἐσμὲν, ὡς ἐγὼ τῷ πατρὸς

praetereuntes finant eas vnas in vite manere, neque auellant.

79) καὶ τέτων τέκνα] bene sic dixit, tametsi etiam poterat καὶ τέτων dicere. nam τέκνα sunt τὰ τικτόμενα. sed τίκτειν proprie matrum est.

80) κατορύττει ἀργύριον] ludit in ambiguo verbi κατορύττειν, quod perinde de plantis, quae defodiuntur humo, vt crescant, atque de argento, in loculos defosso, h. e. recondito, asseruandi causa, vsurpatur. Latini pari modo verbum *defodere* ad vtrumque significandum vsurpant. De dictione ἀργύριον κατορύττειν nonnulla disputaui ad Demosthenis vernaculam interpretationem meam. Rursus ad hunc iocum in ambiguitate vocabuli positum redit Noster p. 111, 37. ed. Mor. copulam καὶ si addas, haud parum vehementiae et gratiae loco addideris: τίς δὲ καὶ κατορύττει.

81) ἀλλοτρίων ἢ πονηρῶν] crimen peregrinitatis purgat statim in continenti; alterum, impuri et facinorosi quaestus, p. 239, 4.

περὶ τῶν οἰκειοτάτων. ἀλλά τις ἀνθρώπων 93) ἐκείνων ἐμοὶ νῦν μαρτυρήσειεν· ἔσην δὲ τοῦτο ἐποίουν μαρτυρίας ἕνεκεν ἢ χάριτος· ἐς 94) ἐμὲ δὲ ὅθεν πόθεν ἢ ἐσ- 45.
σαν πεπαύμην μὴ γάρ ὑμῶν γε μηδεὶς περιπέσοι τοιούτῳ πράγματι. τούτους δὲ ἐμοῦ λέγοντος, ἀνίστατό τις ἐκ μέσων· καὶ γὰρ πρὸς ἐμαυτὸν ἐνεθυμήθην, ὅτι ἄλλος ἐστὶ τυχὸν ἐμοῦ κατεψευσόμενος. ὁ δὲ 46.
εἶπεν· ἄνδρες· ἐγὼ πάλαι τῶν ἀμφιγνοιῶν, ἢ πιθανῶν ὅμως 95), ἐπειδὴ σαφῶς αὐτὸν ἐγνωκα, δεινὸν μοι δοκεῖ, μεθεῖναι δὲ αὐτόν, μὴ εἰπόντα, ἃ συνεπίσταμαι, μηδὲ ἀποδόντα λόγῳ χάριν, ἃ ἔργῳ τὰ μέγιστα εὖ παθών. εἰρηκὰς, ἔφη, πολίτης, ὡς ἴσα, καὶ ὅδε 5.
(δείξας 96) τὸν παρακαθήμενον, καὶ ὃς ἐπῳάζει) ἐνέρχομεν δὲ πλέοντες ἐν τῇ Σωπόλιδος νηὶ τρίτον ἔτος καὶ διατρίβομεν ὀλίγου τοὺς ἀνωθήμεν ἀπὸ πολλῶν· τοὺς 97) 10.
μὲν

93) V. L. Venetae admonet vox ἀνθρώπων a nonnullis abesse codicibus. sed hoc leue. grauius hoc est, quod aut ἐκεῖνα leg. sit, aut μάρτυς εἴη. sed prius malim.

94) ἐς] malim cum Veneta ὅς γε, quamquam et vulgata potest ferri.

95) ἀμφιγνοιῶν ἠπίσειν ὅμως. *ego hunc dudum nosci tans, cum nonnulla tamen erroris mei suspicione atque dubitatione, suspendi assensum.* ἐπεὶ δὲ σαφῶς — *postea quam vero plane et perspicue eum agnoui, quem dubitabam esse* —

96) sic recte docuit interpres verba δείξας ad ἐπῳάζει parenthesi esse ineludenda, vt alia sunt non pauca, quae supinus et imperitus editor Morellus satis distinguere omisit. verum grauiorem errorem, qui verbis παρήμενον (sic Ven. et Mor.) insidet, intactum praeterit interpres. contraho ista duo vocabula in vnum παραμαθήμενον, *assidentem.*

97) τοὺς] sic Casaubonus e coniectura, et Morellus e codice regio emendarunt. Veneta et Morelliana dant τοὺς, sed vir doctus quoque in Veneta mea τοὺς adscripsit idem tamen in opposita ora, alio tempore, adscripsit οἱ pro τοὺς, et ἀπέθανον pro ἀνέβαινον, cum hac interpretatione:

μὲν ἦν πορφυρεῖς ἀνέλαβον· εἶχον γὰρ αὐτῶν τινες ἀργύριον ἐν Φασκωλίοις. ἡμεῖς δὲ γυμνοὶ παντελῶς ἐκπεσόντες, δι' ἀτραπῆ τινος ἐβαδίζομεν, ἐλπίζοντες εὑρήσειν σκέπην τινὰ ποιμένων, ἢ βακόλων· κινδυνεύοντες ὑπὸ λιμῷ τε καὶ δίψει 98) διαφθαρῆναι. καὶ μόλις ποτὲ ἤλθομεν ἐπὶ σκηνάς τινας, καὶ ξένοις ἐβοῶμεν. προελθὼν δὲ ἔτος, εἰσάγει τε ἡμᾶς ἔνδον· καὶ ἀνέκαυε πυρῶν 99) ἐκ ἀθρόου, ἀλλὰ κατ' ὀλίγον· καὶ τὸν μὲν ἡμῶν αὐτὸς ἀνέτριβε 100), τὸν δὲ ἡ γυνὴ ξένοις· ἦ γὰρ ἦν αὐτοῖς ἔλαιον· τέλος δὲ, ὕδωρ κατέχεον θερμὸν, ἕως ἀνέλαβον ἀπεψυγμένους. ἔπειτα κατακλίναντες, καὶ περιβαλόντες οἷς εἶχον, παρέθηκαν φαγεῖν ἡμῖν ἄρτους πυρίνους, αὐτοὶ δὲ κέγχρου ἐφθὴν ἤσθιον· ἔδωκαν δὲ καὶ οἶνον ἡμῖν πιεῖν, ὕδωρ αὐτοὶ πίνοντες· καὶ κρέα 1) ἐλάφεια

tione: *purpurarum quidam captores perierunt.* Agnosco hic iterum manum Naogeorgi, et video fontem, vnde error interpretationis manauit. οἱ — ἀπολώλεσαν margo Morell.

98) δίψει] haud ignoro, naufragio, praesertim diuturniore, iactatos, praeter famem, siti quoque molesta tentari; quare lectionem hanc improbare nolim, verum tamen cum insequentia testentur illos eiectos corriguisse, et refocillatione opus habuisse, suspicor Dionem hic loci ῥίγει dedisse.

99) πυρῶν] hanc vocem manifeste vitiosam Casaubonus corrigit πῦρ, idem e codice regio Morellus confirmauit. Fortasse satius fuerit in eo acquiescere; quod si cui tamen videatur nescio quid in illa terminatione ων abstrusius latitare, auctor sim, vt πῦρ φρυγάνων legat. *ignem e sarmentis.* Nil attinet commemorare, virum doctum Venetae meae h. l. adscripsisse πυρσὸν, et me olim coniecisse πυρὰν, quae ambo pariter sunt aliena.

100) ἀνέτριβε] olim corrigebam ἐνέτριβε, sed bene habet vulgata. ἀνατρίβειν τινὰ est ἀνὰ τὸν χρῶτα τρίβειν, *in cute fricare.*

1) κρέα] scil. ἔδωκαν, e superioribus. alias pendent illa participia ὀπτῶντες et ἕψοντες.

δρα καθημένη. θυγάτηρ δὲ, ὡραία γάμου, διηκονεῖτο, καὶ ἐνέχει πιεῖν μέλανα οἶνον ἡδύν. οἱ δὲ παῖδες τὰ κρέα παρεσκεύαζον, καὶ αὐτοὶ ἅμα ἐδείπνουν παρατιθέντες, ὥστε ἐμὲ εὐδαιμονίζειν τοὺς ἀνθρώπους ἐκείνους, καὶ οἴεσθαι μακαρίως ζῆν πάντων μάλιστα ὧν ἠπιστάμην. καίτοι πλουσίων μὲν [9]) οἰκίας τε καὶ τραπέζας ἠπιστάμην, οὐ μόνον ἰδιωτῶν, ἀλλὰ καὶ σατραπῶν, καὶ βασιλέων· οἳ μάλιστα ἐδόκουν μοι τότε ἄθλιοι, καὶ πρότερον δοκοῦντες, ἔτι μᾶλλον [10])· ὁρῶντι τὴν ἐκεῖ πενίαν τε καὶ ἐλευθερίαν, καὶ ὅτι οὐδὲν ἀπελείποντο, οὐδὲ τῆς περὶ τὸ φαγεῖν καὶ πιεῖν ἡδονῆς, ἀλλὰ καὶ τούτοις [11]) ἐπλεονέκτουν σχεδόν τι. ἤδη δ' ἱκανῶς ἐχόντων ἡμῶν, ἦλθε κἀκεῖνος ὁ ἕτερος. συνηκολούθει δὲ υἱὸς αὐτῷ, μειράκιον οὐκ ἀγεννὲς, λαγὼ φέρων. εἰσελθὼν δὲ οὗτος, ἠρυθρίασεν, ἐν ὅσῳ δὲ ὁ πατὴρ αὐτοῦ ἠσπάζετο ἡμᾶς, αὐτὸς ἐφίλησε τὴν κόρην, καὶ τὸν λαγὼ ἐκείνῃ ἔδωκεν. ἡ μὲν οὖν παῖς ἐπαύσατο διακονουμένη, καὶ παρὰ τὴν μητέρα ἐκαθέζετο· τὸ δὲ μειράκιον ἀντ' ἐκείνης διηκονεῖτο. κἀγὼ τὸν ξένον ἠρώτησα· αὕτη, ἔφην, ἐστὶν, ἧς τὸν χιτῶνα ἀποδύσας τῷ ναυαγῷ ἔδωκας; καὶ ὃς γελάσας· οὐκ, ἔφη, ἀλλ' ἐκείνη, εἶπε, πάλαι πρὸς ἄνδρα ἐδόθη, καὶ τέκνα ἔχει μεγάλα ἤδη, πρὸς ἄνδρα πλούσιον εἰς κώμην. οὐκοῦν, ἔφην, ἐπαρκοῦσιν ὑμῖν [12]), ὅτι ἂν δέησθε; οὐδὲν, εἶπεν ἡ γυνὴ, δεόμεθα ἡμεῖς. ἐκεῖνοι δὲ λαμβάνουσι, καὶ ὀπηνίκα

τις

9) μὲν] apodosin non habet, vt saepe.

10) erat planior futura oratio, si Dioni placuisset verba sic construere: οἳ, μάλιστά μοι δοκοῦντες ἄθλιοι καὶ πρότερον, τότε ἐδόκουν ἔτι μᾶλλον. est quidem ea verborum sententia.

11) malim κἂν τούτοις.

12) ἔφην — ὑμῖν] sic interpres, vir doctus in Veneta mea, et Casaubonus. ἔφη — ἡμῖν Ven. et Morell.

τις[13]) θήρα θῇ, καὶ ὀπώρων, καὶ λάχανα. ἐ γάρ ἐσι κῆπος παρ αὐτοῖς[14]). πυρὸς ἐλαίβομεν, σπέρμα ψιλὸν, καὶ ἐπεδώκαμεν αὐτοῖς εὐθὺς τῆς θερείας[15]). τί ἔν, ἔφην, καὶ ταύτην διανοεῖσθε πλησίον διδόναι, ἵνα ὑμῖν καὶ αὐτὴ πυρὸς δανείσῃ; καὶ ἐνταῦθα μέντοι ἄμφω ἠρυθριασάτην, ἡ κόρη, καὶ τὸ μειράκιον. ὁ δὲ πατὴρ αὐτῆς ἔφη· πέντε ἄνδρα λήψεται, ὅμοιον ἡμῖν κυνηγέτην. καὶ μειδιάσας ἔβλεψε πρὸς τὸν νεανίσκον. κἀγώ· τί ἔν ἐκ ἤδη δίδοτε; ἢ δεῖ ποθὲν αὐτὸν ἐκ κώμης ἀφικέσθαι; δοκῶ μὲν, εἶπεν, ὁ μακρὰν ἐσιν· ἀλλ ἔνδον ἐνθάδε. καὶ ποιήσομέν γε τὸς γάμυς ἡμέραν ἀγαθὴν ἐπιλεξάμενοι. κἀγὼ, πῶς, ἔφην, κρίνετε τὴν ἀγαθὴν ἡμέραν; καὶ ὃς, ὅταν μὴ μικρὸν ᾖ τὸ σελήνιον· δεῖ δὲ καὶ τὸν ἀέρα εἶναι καθαρόν· αἰθρίαν λαμπράν. κἀγώ· τί δαὶ τῷ ὄντι κυνηγέτης ἀγαθός ἐσι; ἔφην. ἔγωγε, εἶπεν ὁ νεανίσκος, καὶ ἔλαφον καταπονῶ, καὶ συνεφίσαμαι[16]). ὄψει δὲ αὔριον, ἂν θέλῃς, ὦ ξένε. καὶ τὸν λαγὼ τὸν τοῦτον σὺ, ἔφην, ἔλαβες; κἀγὼ, ἔφη γελάσας, τῷ λιναρίῳ

13) τις Casaubonus cum τι mutat. aut hoc verum est, aut, quod malim, τις θήρα ᾖ *cum quid ferae captum est*, cum capturae cuiusdam copia est. idem est ac si dixisset καὶ θήρων, ὁπηνίκα τις ᾖ vel παρῇ.

14) Ista breuitas orationis inulierem illiteratam et garrulam egregie decet.

15) εὐθὺς τῆς θερείας] *statim a messe*, post messem peractam continuo; ita infra p. 187, 11. ed. Mor. παραχρῆμα τῆς εὐεργεσίας, *statim a beneficio accepto*. Apud Phot. Biblioth. p. 172, 34. αὐτίκα τῆ ἀνακύψαι τῆς νόσε *statim a morbo superato*. v. Valef. ad initium H. E. Eusebii; vbi notat aliquos, qui dictionem παραυτίκα τῆς ἐπιβαλῆς haud percepissent. Demosthenes de Haloneso p. 50, 28. παραχρῆμα τῶν λόγων εἰρημένων καὶ εὐθὺς τῆ ψηφίσματος ἐπαναγνωσθέντος.

16) f. καὶ συῖ συνεφίσαμαι. apro confodiendo accingor, confurgo in aprum, vt cum eo congrediar.

εἰω τῆς νυκτός. ἦν γὰρ αὐθρία πάνυ καλὴ, καὶ ἡ σελήνη τηλικαύτη τὸ μέγεθος, ἡλίκη ὀδεπώποτε ἐ- 15.
γένετο. ἐνταῦθα μέντοι ἐγέλασαν ἀμφότεροι· ἔ
μόνον ὁ τῆς κόρης πατὴρ, ἀλλὰ καὶ ὁ ἐκείνε. ὁ δὲ
ᾐσχύνθη, καὶ ἐσιώπησε. λέγει ἔν ὁ τῆς κόρης πα-
τήρ· ἐγὼ μὲν, ἔφη, ὦ παῖ, ὀδὲν ὑπερβάλλομαι. ὁ δὲ 20.
πατήρ σε περιμένει, ἐστ' ἂν ἱερεῖον πρίηται πο-
ρευθείς [17]). δεῖ γὰρ θῦσαι τοῖς θεοῖς. εἶπεν ἔν ὁ νεώ-
τερος ὁ [18]) ἀδελφὸς τῆς κόρης· ἀλλὰ ἱερεῖον πάλαι
γε ἔτος παρεσκεύακε. καὶ ἔστιν ἔνδον τρεφόμενον, 25.
ὄπισθεν τῆς σκηνῆς, γενναῖον. ἠρώτων ἔν αὐτόν·
ἀληθῶς; ὁ δὲ ἔφη. καὶ πόθεν σοὶ, ἔφασαν, ὅτε
τὴν ὗν [19]) ἐλάβομεν τὴν τὰ τέκνα ἔχουσαν. τὰ μὲν
ἄλλα διέδρα· καὶ ἦν, ἔφη, ταχύτερα τῶ λαγώ· 30.
ἑνὸς δὲ ἐγὼ λίθῳ ἔτυχον. καὶ ἄλλοι τὸ δέρμα ἐπέ-
βαλον [20])· τοῦτο ἠλαζάμην ἐν τῇ κώμῃ, καὶ ἔλαβον
ἀντ' αὐτοῦ χοῖρον, καὶ ἔθρεψα ποιήσας ὄπισθεν συ-
φεόν. ταῦτα, εἶπεν, ἆρα ἡ μήτηρ σοῦ ἐγέλα, ὁ- 35.
πότε [21]) θαυμάζοιμι ἀκόων γρυλιζούσης τῆς συὸς,
καὶ τὰς κριθὰς ἔτως ἀνήλισκες. αἱ γὰρ Εὐβοΐδες,
εἶπεν [22]), ἐχ ἱκαναὶ ἦσαν πιᾶναι, εἰ μή γε βαλά-

vss

17) πορευθεὶς] profectus, neſcio quo. hoc eſt, vndecunque tandem, e loco quodam diſſito, quo eundum ipſi ſit, arceſſendi ergo.

18) ὁ videtur delendum.

19) τὴν ὗν] *ſuem feram*, non domeſticam.

20) ἐπέβαλον] imo vero ἀπέβαλλον. pellem detrahebant, aprum tenellum excoriabant.

21) ſic recte Morellus locum hunc idonea diſtinctione explanauit. *Haec itaque cauſa eſt*, *inquit* (pater iuuenis ſponſi), *cur mater tua*, (vxor mea) *ſaepe riſerit*, *ſi quando ego mirarer*. Veneta et textus Mor. ſic diſtinguunt: ταῦτα εἶπεν ἆρα ἡ μήτηρ σε, ἐγέλα —

22) locus difficilis. primum obſcurum eſt, ad quem referatur εἶπεν, ad patrem iuuenis deſponſi, an ad iuuenem ipſum. poteſt vtrumque eſſe, poſterius tamen ego malim,

40. νης ἤθελον ἐσθίειν. ἀλλὰ εἰ βέλεσθε ἰδεῖν αὐτὴν, ἄξω πορευθείς. οἱ δὲ ἐκέλευον. ἀπῆεσαν δὲν ἐκεῖνός τε καὶ οἱ αὐτόθεν παῖδες δρόμῳ, χαίροντες. ἐν δὲ τέτῳ ἡ παρθένος ἀναστᾶσα, ἐξ ἑτέρας σκηνῆς ἐκόμισεν ἕα [23]) τετμημένα, καὶ μέσπιλα, καὶ μῆλα χειμερινὰ, καὶ τῆς γενναίας σαφυλῆς βότρυς σφριγῶντας· καὶ ἔθηκεν ἐπὶ τὴν τράπεζαν, καταψήσασα

lim, et quae paulo poſt leguntur, ea clare demonſtrant, non poſſe ab alio, quam a iuuene, filio patris modo locuti, hanc orationem profectam eſſe. deinde neque hoc planum, quo redeat σὺβοΐδες, ad ſuesne, an ad τὰς κριθὰς. malim ad ſues. verum πιαίνειν non eſt *pingueſcere*, ſed *pingueſacere*. plana tamen eſt ſententia. tu mirabaris, pater, inquit filius, cur hordea minuerentur; ego nempe operam dabam, vt ſcrofa cito pingueſceret. quare parcendum hordeis non erat. Et vel ſic tamen aegre poteram id conſequi; nam porci Euboici ea ſunt natura, vt ſine glandibus aegre pingueſcant. θέλειν ἐσθίειν idem eſt atque μέλλειν ἐσθίειν aut ἐσθίσειν. v. Herodot. I. 109. p. 55, 10. Dixi de hoc vſu verbi θέλειν pro μέλλειν pluribus ad Conſtantini Ceremoniale. videor mihi in hac tota dictione iuuenis colorem quendam plebeiae graecae dictionis, at illius tamen haud ſordidae, agnoſcere.

23) egregia eſt Caſauboni emendatio, et tanti auctoris ingenio digna, ἕα *ſorba*. quae etiam, teſte Morello, a codice regio confirmatur. (Veneta et Morelliana dant ἓν) ſed τετμημένα bonum eſt et in ſaluo. veteres ſorba, quae ſunt mala, noſtratibus *Meeläpfel* appellata, quaſi dicas mala farinacea, media diſſecare, et ad ſolem ſiccare, et comedere ſolebant, item vinum aliquod, aut cereuiſiam ex iis excoquere. quae nos omnia docet Dioſcorides, I. 174. qui cum c. 170. et 171. de meſpilis tradidiſſet, quibuscum ſorba quodammodo conueniunt, quare etiam a Dione h. l. copulata ſunt, de ſorbis haec affert: ἕα τὰ μηλίζοντα καὶ μήπω πέπειρα τμηθέντα καὶ ξηρανθέντα ἐν ἡλίῳ, ζαλτικὰ γίνεται κοιλίας ἐσθιόμενα. καὶ τὸ ἐξ αὐτῶν δὲ ἄλευρον ἀλεσθέντων ἀντὶ τῶν ἀλφίτων λαμβανόμενον, καὶ τὸ ἀφέψημα δὲ αὐτῶν πινόμενον τὸ αὐτὸ ποιεῖ.

μὴ πλείους ἡμέρας τρέφειν ἐν τῷ σταθμῷ· καὶ γὰρ εἰ ξυνέκειτο αὐτοῖς ταῦτα, ἀλλ' ὅ γε συβώτης οὐ θαυμάζει τὸ πρᾶγμα. καὶ τὴν ἀπανθρωπίαν· ὡς ἔθους [41]) δὴ ὄντος οὕτως ἀκριβῶς [42]) καὶ ἀνελευθέρως πράττειν τὰ περὶ τοὺς ξένους τοὺς πένητας, μόνους δὲ τοὺς πλουσίους ὑποδέχεσθαι φιλοφρόνως ξενίοις καὶ δώροις· παρ' ὧν δηλονότι καὶ αὐτοὶ προσεδόκων τῶν ἴσων ἐντυχεῖν [43]), ὁποῖα σχεδὸν καὶ τὰ τὸ νῦν ἐστὶ φιλανθρωπίας τε πέρι καὶ τῆς προαιρέσεως [44]). αἱ γὰρ δὴ δοκοῦσαι φιλοφρονήσεις καὶ χάριτες, ἐὰν σκοπῇ τις ὀρθῶς, οὐδὲν διαφέρουσιν ἐράνων, καὶ δανείων, ἐπὶ τόκῳ συχνῶν καὶ ταῦτα ὡς τοπολὺ γιγνόμενα [45]), εἰ μὴ νὴ Δί' ὑπερβάλλει τὰ νῦν τοῖς [46]) πρότερον, ὥσπερ ἐν τῇ ἄλλῃ ξυμπάσῃ κακίᾳ. ἔχω [47]) γε μὴν εἰπεῖν καὶ τῶν Φαιάκων. περὶ καὶ τῆς ἐκείνων φιλανθρωπίας, εἴ τῳ δοκοῦσιν

οὗτοι

41) ἔθους] sic vir doctus in Veneta mea bene correxit, quomodo etiam V. L. dat. ἔθος Ven. et Mor.

42) ἀκριβῶς] recte reddidit interpres, *attente*, ad rem puta familiarem seruandam et augendam, *parce*, *sordide*.

43) ἐντυχεῖν] Veneta ἀντυχεῖν. quo profecimus nonnihil ad veram lectionem, quae est ἀντιτυχεῖν, inuicem adipisci.

44) f. ὁποῖα σχεδὸν καὶ τὰ τῶν νῦν ἐστι φιλανθρωπεύματα, τὰ καὶ πέρα τῆς προαιρέσεως. qualia sunt blandimenta hominum, qui nunc sunt, illa, quae vel vltra voluntatem pertinent, excedunt ipsam voluntatem, plusquam velit ipse, seu dicens, seu qui eiusmodi offuciis luditur.

45) malim ἐπὶ τόκῳ καὶ ταῦτα [vel αὐτὰ] συχνῷ ὡς τὸ πολὺ γιγνόμενα.

46) τοῖς] imo vero τὰ aut τοὺς, scil. ἀνθρώπους. sed prius malim. nisi praesens corruptela morum illam priorum temporum, vt in alia quacunque improbitate, ita hac quoque in parte excedit. Anglum, vt saepe, ita h. l. haud percipio.

47) malim ἔχω γε μὴν εἰπεῖν καὶ περὶ Φαιάκων καὶ τῆς ἐκείνων Φ. aut τῶν Φαιάκων πέρι καὶ τῆς —

ἔτοι ἐκ ἀγενῶς, ἐδ' ἀναξίως τῆ πλέτῳ προσενεχθῆναι τῷ Ὀδυσσεῖ. μεθ' οἵας μάλιστα διανοίας, καὶ δι' οἵας αἰτίας πρετρέπησαν [48]) ἀφθόνως καὶ μεγαλοπρεπῶς χαρίζεσθαι. ἀλλὰ γὰρ πολὺ πλείω τῶν ἱκανῶν καὶ τὰ νῦν ὑπὲρ τέτων εἰρημένα. δῆλόν γε μὴν, ὡς ὁ πλῆτος ἔτε πρὸς ξένυς, ἔτε ἄλλως μέγα τι συμβάλλεται τοῖς κεκτημένοις· ἀλλὰ τἐναντίον γλίσχρυς καὶ φειδωλὲς ὡς, τὸ πολὺ μᾶλλον τῆς πενίας ἀποτελεῖν πέφυκεν. ἐδὲ γὰρ, εἴ τις αὖ [49]) τῶν πλυσίων, εἰς πυ τάχα ἐν μυρίοις, δαψιλὴς καὶ μεγαλόφρων τὸν τρόπαν εὑρεθείη [50]), τῆτο ἱκανῶς δείκνυσι, τὰ [51]) μὴ ἔχι τὲς πολλὲς [52]) χείρυς περὶ ταῦτα γίγνεσθαι τῶν ἀπορωτέρων. ἀνδρὶ δὲ πένητι μὴ φαύλῳ τὴν φύσιν ἀρκεῖ τὰ παρόντα καὶ τὸ σῶμα μετρίως αἰσθενοῦντι, τοιέτῳ ποτὲ νοσήματος ξυμβάντος, οἷός περ εἴωθε γίγνεσθαι τοῖς ἐκ ἀργαῖς ἐδὲ ἑκάστοτε ἐμπίπλαμένοις, ἀκακτήσασθαι, καὶ ξένοις ἐλθοῦσι δῆναι προσφιλῆ ξένια χωρὶς ὑποψίας, παρ' ἑπόντων διδόμενα ἀλύπως. ἐκ ἴσως ἀργυροῦς κρατῆρας, ἢ ποικίλυς πέπλυς, ἢ τέθριππον, ἢ τὰ Ἑλένης καὶ Μενέλεω Τηλεμαίχῳ δῶρα. ἐδὲ γὰρ τοιέτοις ὑποδέχοιτ' ἂν ὡς εἰκὸς ξένυς, σατράπας, ἢ βασιλέας, εἰ μή γε πάνυ σώφρονας καὶ ἀγαθὲς· οἷς ἐδὲν ἐνδεὲς μετὰ φιλίας γιγνόμενον. ἀπολαύσυς δὲ καὶ τυραννικυὺς, ἔτε ἂν, οἶμαι, δύναιντο [53]): θερα-

48) πρετρέπησαν] sic interpres et vir doctus in Veneta mea. πρετάπησαν textus Ven. et Mor.

49) αὖ] malim ἄν.

50) εὑρεθείη] quomodo etiam interpres reddidit. εὑρεθείης Ven. et Mor.

51) τὰ] f. τὸ.

52) τὲς πολλὲς] subaudi τῶν πλυσίων.

53) δύναιτο et προσδέοιτο adscripsit vir doctus in Veneta mea, quia praecessit ὑποδέχοιτο, et πένης ἀνὴρ vers. 14. possit

θεραπεύειν ἱκανῶς ξένους, ἔτ' ἂν ἴσως προσδέοιντο τοιαύτης ξενίας. ὑδὲ γὰρ τῷ Μενέλεῳ δήπουθεν ἀπέβη πρὸς τὸ λῷον, ὅτι ἐδύνατο δέξασθαι τὸν πλεσιώτατον ἐκ τῆς Ἀσίας ξένον, ἄλλος δὲ ὑδεὶς ἱκανὸς ἦν ἐν τῇ Σπάρτῃ, τὸν Πριάμε τῦ βασιλέως υἱὸν ὑποδέξασθαι. τοιγάρτοι ἐρημώσας αὐτῦ τὴν οἰκίαν, καὶ πρὸς τοῖς χρήμασι τὴν γυναῖκα προσλαβών, τὴν δὲ θυγατέρα ὀρφανὴν τῆς μητρὸς ἐάσας, ᾤχετο ἀποπλέων. καὶ μετὰ ταῦτα ὁ Μενέλεως χρόνον μὲν πολὺν ἐφθείρετο πανταχόσε τῆς Ἑλλάδος, ὀδυρόμενος τὰς αὐτῦ συμφορὰς, δεόμενος ἑκάστε τῶν βασιλέων ἐπαμῦναι. ἠναγκάσθη δὲ ἱκετεῦσαι καὶ τὸν ἀδελφὸν, ὅπως ἐπιδῶ τὴν θυγατέρα σφαγησομένην ἐν Αὐλίδι. δέκα δὲ ἔτη καθῆτο πολεμῶν ἐν Τροίᾳ, πάλιν ἐκεῖ κολακεύων τὺς ἡγεμόνας τῦ στρατῦ, καὶ αὐτὸς, καὶ ὁ ἀδελφός· εἰ δὲ μὴ, ὠργίζοντο. καὶ ἠπείλεν ἑκάστοτε ἀποπλευσεῖσθαι· καὶ πολλὰς πόνες καὶ κινδύνες ἀμηχάνες ὑπομένων, ὕστερον δὲ ἠλᾶτο, καὶ ὐχ οἵας τ' ἦν διὰ μυρίων κακῶν οἴκαδ' ἀφικέσθαι. ἆρ' ἂν ὁ σφόδρα ἄξιον ἄγασθαι τῦ πλύτυ [54]) καὶ τὸν ποιητὴν τῷ ὄντι ζηλωτὸν ὑπολαβεῖν; ὃς φησιν αὐτῦ μέγιστον εἶναι ἀγαθὸν τὸ δῦναι ξένοις, καὶ ἐάν ποτέ τινες ἔλθωσι τρυφῶντες ἐπὶ τὴν οἰκίαν, μὴ ἀδύνατον γενέσθαι παρασχεῖν κατάλυσιν, καὶ προθεῖναι ξένια, οἷς ἂν ἐκεῖνοι μάλισα ἥδοιντο; λέγομεν δὲ ταῦτα μεμνημένοι τῶν ποιητῶν, ὐκ ἄλλως ἀντιπαρεξάγοντες ἐκείνοις, ὐδὲ τῆς δόξης ζηλοτυπῦντες, ἣν ἀπὸ τῶν ποιημάτων ἐκτήσαντο ἐπὶ σοφίᾳ. ὃ τύτων ἕνεκα φιλοτιμύμενοι ἐξελέγχειν αὐτύς· ἀλλὰ παρ' ἐκείνοις μάλισα εὑρήσειν ἡγύμενοι τὴν

τῶν

possit quoque inuerse ὑποδέχοιντο scribi, vt ad totum genus pauperum redeat.

54) τὸν πλῦτον.

τῶν πολλῶν διάνοιαν, ἃ δὴ καὶ τοῖς πολλοῖς ἐδόκει [55]), περί τε πλούτου, καὶ τῶν ἄλλων, ἃ θαυμάζουσι. καίτοι [56]) μέγιστον οἴονται σφίσι γενέσθαι ἄν, ἐφ' ἑκάστου τῶν τοιούτων. δῆλον γὰρ, ὅτι μὴ συμφανοῦντος αὐτοῖς τοῦ ποιήματος, μηδὲ τὴν αὐτὴν γνώμην ἔχοντος, οὐκ ἂν οὕτω σφόδρα ἐφίλουν, οὐδὲ ἐπῄνουν ὡς σοφούς τε καὶ ἀγαθοὺς γενέσθαι [57]) καὶ τἀληθῆ λέγοντας. ἐπεὶ οὖν οὐκ ἔστιν ἕκαστον ἐλέγχειν ἀπολαμβάνοντα τοῦ πλήθους, οὐδ' ἀνερωτᾷν [58]) ἅπαντας ἐν μέρει· τί γὰρ σὺ, ὦ ἄνθρωπε, δέδοικας τὴν πενίαν οὕτω πάνυ, τὸν δὲ πλοῦτον ὑπερτιμᾷς, τί δ' αὖ ἄσυλόν [59]) τινα ἐλπίζεις κερδανεῖν μέγιστον, ἂν τύχῃς πλουτήσας, ἢ νὴ Δία ἔμπορος γενόμενος, ἢ καὶ βασιλεύσας; ἀμήχανον γὰρ τὸ τοιοῦτον, καὶ οὐδαμῶς ἀνυστόν. οὕτως ἂν [60]) ἐπὶ τοὺς προφήτας [61]) αὐτῶν, καὶ τοὺς συνηγόρους, τοὺς ποιητὰς, ἐξ ἀνάγκης ἴωμεν, ὡς ἐκεῖ φανερὰς [62]) καὶ μέτροις κατακεκλεισμένας εὑρήσοντες τὰς τῶν πολλῶν δόξας. καὶ δῆτα οὐ πάνυ μοι δοκοῦμεν ἀποτυγχάνειν. τοῦτο δὲ σύνηθες δήπου καὶ τοῖς σοφωτέροις, ὃ νῦν ἡμεῖς ποιοῦμεν· ἐπεὶ καὶ αὐτοῖς τοῖς πένησιν ἀντείρηκε τῶν πάνυ φιλοσόφων τις,

55) ἐδόκει] imo vero δοκεῖ ob sequens οἴονται.
56) τοι] l. τι, vt etiam Anglus, qui etiam recte vidit paulo post leg. esse ἀφ' ἑκάστου, et
57) γενέσθαι delendum. forte huius loco substituendum ἄνδρας.
58) οὐδ' ἀνερωτᾷν] Morell. dat οὐδ' ἂν ἐρωτᾷν.
59) αὖ ἄσυλον] locum hunc non extrico. f. θησαυρόν.
60) ἂν] f. οὖν.
61) προφήτας] qui φάσκουσι πρὸ (id est ὑπὲρ) τῶν ἄλλων. qui loco alius vel aliorum ad alium vel alios loquitur, vt si quis populi necessitates ad deum referat, et rursus dei responsa ad populum. de h. v. egit Fabricius ad Sext. Empir. p. 225.
62) φανερὰς] sic recte Veneta, φανερᾶς Morell.

τις, ὃν ἐδεὶς ἐμοὶ δοκεῖν φαίη ποτὲ φιλονεικῆσαι, τούτοις [63]) τε ἀντειρηκένοι, καὶ τοῖς ὑπὸ Σοφοκλέους εἰς τὸν πλοῦτον εἰρημένοις· ἐκείνοις μὲν ἐπ' ὀλίγον, τοῖς δὲ τοῦ Σοφοκλέους ἐπὶ πλέον, ὃ μὴν, ὥσπερ νῦν ἡμεῖς, διὰ μακρῶν [64]), ἅττε ὃ πρὸς τὸ χρῆμα κατὰ πολλὴν ἐξουσίαν διεξιών, ἐν βίβλοις γράφων. γεωργικῇ [65]) μὲν δὴ περὶ, καὶ κυνηγετικῇ τε, καὶ ποιμενικῇ βίᾳ, τάδε πλέω [66]) διατριβὴν ἴσως παρασχόντα τῇ μετρίᾳ λελέχθω· προθυμουμένων ἡμῶν ἀμηγέπη, δεῖξαι πενίαν ὡς ἐν ἄπορον χρῆμα βίᾳ, καὶ ζωῆς περιπέσοις ἀνδράσιν ἐλευθέροις αὐτουργεῖν ἐθέλουσιν· ἀλλ' ἐπὶ κρείττω πολὺ, καὶ συμφορώτερα ἔργα καὶ πράξεις ἄγοντας μᾶλλον [67]) κατὰ φύσιν, ἢ ἐφ' οἷς ὁ πλοῦτος εἴωθε τοὺς πολλοὺς προτρέπειν. εἶεν [68]) δὴ περὶ τῶν ἐν ἄσει καὶ κατὰ πόλιν πενήτων σκεπτέον [69]) ἂν εἴη τῷ βίῳ [70]) καὶ τῶν ἐργασιῶν, πῶς ἂν μάλιστα διάγοντες, καὶ ποῖ ἅττα μεταχειριζόμενοι, δυνήσονται μὴ κακῶς ζῆν, μηδὲ φαυλότερον τῶν δανειζόντων ἐπὶ τόκοις συχνοῖς, εὖ μάλ' ἐπισαμένων τῶν [71]) ἡμερῶν τε καὶ μηνῶν ἀριθμὸν, καὶ τῶν συνοισίσας

63) Locus hic ideo obſcurus, quia locos Platonis et Sophoclis, ad quos hic refertur, neſcimus. propterea tutius eſt coniecturas hic ſupprimere.

64) ſententia eſt: vt qui non argumentum hoc ex profeſſo ageret, ſed id obiter in diſputationibus ſuis modo attingeret.

65) ſic recte dat Veneta, γεωργικῶν Morell.

66) πλέω non improbo, ſed πλείω eſt vſitatius.

67) ἄγον τὰ μᾶλλον aut ἄγον καὶ μᾶλλον, nam ἄγον redit ad χρῆμα.

68) εἶεν. haec hactenus. νῦν δὲ δὴ.

69) σκεπτέον] ſic interpres et vir doctus in Veneta mea, σκεπτέων Ven. et Mor.

70) τῷ βίᾳ] conſtructio haec eſt: περὶ τῷ βίᾳ τῶν ἐν ἄσει.

71) τῶν] malim τὸν.

κίας τε μεγάλας, καὶ ναῦς κεκτημένων, καὶ ἀν-
30. δραποδας πολλὰς[72]), μήποτε[73]) σπάνια ἢ τὰ ἐν ταῖς
πόλεσιν ἔργα τοῖς τοιούτοις, ἀφορμῆς τε ἔξωθεν
προσδεόμενα[74]), ὅταν οἰκεῖν τε μισθῷ δέῃ καὶ τἄλ-
λα ἔχων ὠνεμένους, ἃ μόνον ἰμάτια, καὶ σκεύη καὶ
35. σῖτον, ἄλλα καὶ ξύλα, τῆς γε καθ' ἡμέραν χρείας
ἕνεκα τῇ πυρᾷ, καὶ φρυγάνων δέῃ ποτὲ καὶ φύλ-
λων, ἢ ἄλλα ὁτεῦν τῶν πάνυ φαύλων. δίχα δὲ ὕ-
δατος, τὰ ἄλλα ξύμπαντα ἀναγκάζονται[75]) λαμ-
40. βάνειν, τιμὴν καταστιθέντες ἅτε πάντων κατα-
κλειομένων, καὶ μηδενὸς ἐν μέσῳ φαινομένου πλὴν γε
οἶμαι τῶν ἐπὶ πράσει πολλῶν καὶ τιμίων. τάχα γὰρ
35. ἂν φανῆται χαλεπὸν, τοιούτῳ βίῳ διαρκεῖν, μηδὲν
ἄλλο κτῆμα ἔξω τοῦ σώματος κεκτημένους· ἄλλως
τε[75 b]) μὴ τὰ τυχὸν ἔργον, μηδὲ πάνυ ὁμοίως συμ-
βαλεύσομεν αὐτοῖς, ὅθεν ἐσὶ κερδᾶναι· ὥστε ἴσως
ἀναγκασθησόμεθα[76]) ἐκβαλεῖν τῶν πόλεων τῷ λό-
5. γῳ τοὺς κομψοὺς[77]) πάντας, ἵνα μὴ[78]) παρέχωμεν
τῷ ὄντι καθ' Ὅμηρον τὰς πόλεις εὖ ναιεταώσας,
ὑπὸ μόναν τῶν μαχαιρίων οἰκεμένας, ἐντὸς δὲ τοῦ τεί-
χους οὐδένα ἐάσωμεν, ὡς ἔοικεν, ἐλεύθερον ἐργάτην.
10. ἀλλὰ τοὺς τοιούτους ἅπαντας τί δράσομεν; ἢ διας-
πείραντες[79]) ἐν τῇ χώρᾳ κατοικιοῦμεν, καθάπερ
Λθη-

72) repetendum mente σκεπτέον.

73) μήποτε] id est ὄρα, μήποτε vide ne, vel annon crans huiusmodi hominibus operae rarae?

74) f. προσδεομένοις.

75) ἀναγκάζονται ob praecedens δέῃ.

75 b) post ἄλλως τε abest καὶν fi.

76) quapropter forte cogemur.

77) κομψοὺς] sic lego e regio codice, quod etiam Anglo in mentem venit. Ven. et Morell. dant νυμψοὺς et margo Mor. πολλοὺς ἢ συχνούς.

78) μὴ] malim cum Anglo δὴ.

79) f. τί δράσομεν; νὴ Δία, διασπείραντες.

Ἀθηναίους νέμεσθαι καθ' ὅλην[80]) τὴν Ἀττικὴν τὸ παλαιὸν, καὶ πάλιν ὕστερον τυραννήσαντος Πεισιστράτου; ἐκεῖν ὐδὲ ἐκείνοις ἀξύμφορος ἡ δίαιτα ἐγένετο, ὐδὲ ἀγεννεῖς ἤνεγκε φύσεις τῶν πολιτῶν· ἀλλὰ τῷ παντὶ βελτίους καὶ σωφρονεστέρους τῶν ἐν ἄστει τρεφομένων ὕστερον, ἐκκλησιαστῶν καὶ δικαστῶν, καὶ γραμματέων αὐτῶν[81]) ἅμα καὶ βαναύσων. ἔκεῖν ὁ κίνδυνος μέγας, ὐδὲ χαλεπὸς, εἰ πάντες ἔτοι καὶ[82]) πάντα τρόπον ἄγροικοι ἔσονται· οἶμαι δ' ἔμως αὐτοὺς ἂν ἀπορῆσαι ὐδὲ ἐν ἄστει τροφῆς. ἀλλὰ ἴδωμεν, πόσα καὶ ἄττα πράττοντες, ἐπιεικῶς ἡμῖν διάξουσιν, ἵνα μὴ πολλάκις ἀναγκασθῶσιν ἀργοὶ καθήμενοι, πρός τι τῶν φαύλων τραπῆναι[83]). οἱ μὲν δὴ σύμπασαι κατὰ πόλιν ἐργασίαι, καὶ τέχναι, πολλαὶ καὶ παντοδαπαὶ, σφόδρα τε λυσιτελεῖς ἔναι τοῖς χρωμένοις, ἐάν τις τὸ λυσιτελὲς σκοπῇ πρὸς ἀργύριον. ὀνομάσαι δὲ αὐτὰς πάσας κατὰ μέρος, ὐ ῥᾴδιον, διὰ τὸ πλῆθος, καὶ τὴν ἀτοπίαν ὐχ ἧττον. ἔκεῖν ὅδε εἰρήσθω περὶ αὐτῶν ἐν βραχεῖ ψόγος τε καὶ ἔπαινος. ὅσαι μὲν σώματι βλαβεραὶ πρὸς ὑγείαν, ἢ πρὸς ἰσχὺν τὴν ἱκανὴν, δι' ἀργίαν τε καὶ ἑδραιότητα· ἢ ψυχῆς[84]) ἀσχημοσύνην τε καὶ ἀνελευθερίαν ἐντίκτουσιν, ἢ ἄλλως ἀχρεῖοι, καὶ πρὸς ὐδὲν ὄφελος εἰσὶν εὑρημέναι, δι' ἀβελτηρίαν τε[85]) καὶ τρυφὴν τῶν πόλεων, ἅς γε τὴν ἀρχὴν, μηδὲ τέ-

80) f. νέμεσθαι Φασὶ καθ' ὅλην.

81) αὐτῶν bene habet. qui cum essent in concione participes consiliorum reip. et iudicarent, et scribas agerent, iidem tamen artes sellularias exercerent.

82) καὶ] malim κατὰ.

83) οἱ] sic lego. Ven. et Morell. dant οἱ, et vir doctus in Veneta mea εἰσὶ adscripsit. sed hoc potest subaudiri.

84) ψυχαῖς.

85) τε] malim δὲ.

τέχνας, μηδὲ ἐργασίας, τό γε ὀρθὸν [86]) καλεῖν.
45. ὁ γὰρ ἂν ποτε Ἡσίοδος, σοφὸς ὢν, ἐπῄνεσεν ὁμοίως πᾶν ἔργον, εἴ τι τῶν πατρῴων, ἢ τῶν αἰσχρῶν ἠζίωσε ταύτης τῆς προσηγορίας. αἷς μὲν ἔν ἄν τις προσῇ τούτων τῶν βλαβῶν, (καὶ εἴ τις ἔν [87]) μηδένα ἅπτεσθαι [88]) τῶν ἐλευθέρων τε καὶ ἐπιεικῶν, μηδ' ἐπίσασθαι, μήτε αὐτὸν, μήτε παῖδας τοὺς αὑτῷ δι-
5. δάσκειν, ὡς ἔτε καθ' Ἡσίοδον, ἔτε καθ' ἡμᾶς, ἐργάτην ἐσόμενον, ἄν τι μεταχειρίζηται τοιοῦτον, ἀλλὰ ἀργίας τε ἅμα, καὶ αἰσχροκερδείας ἀνελεύθερον ἕξοντα ὄνειδος· βάναυσον καὶ ἀχρεῖον καὶ πο-
10. νηρὸν ἁπλῶς ὀνομαζόμενον. ὅσα δὲ αὖ μήτε ἀποτρέπει [89]) τοῖς μετιοῦσι, μοχθηρίαν τε μηδεμίαν ἐμποιοῦντα τῇ ψυχῇ, μήτε νοσώδη, τῶν τε ἄλλων νοσημάτων, καὶ δὴ τα ἀσθενείας τε καὶ ὄκνου καὶ
15. μαλακίας διὰ πολλὴν ἠυχίαν ἐγγινομένης ἐν τῷ σώματι, καὶ μὴ [90]) χρείαν γε ἱκανὴν παρέχοντα πρὸς τὸν βίον, πάντα τὰ τοιαῦτα πράττοντες προθύμως καὶ φιλοφρόνως, ἔπος' ἂν ἐνδεεῖς ἔργον καὶ
20. βίον [91]) γίγνοιντο, ἐδ' ἂν ἀληθῆ τὴν ἐπίκλησιν παρέχοιεν τοῖς πλησίοις καλεῖν αὐτὲς, ἥπερ εἰώθασιν, ἀπόρους ὀνομάζοντες [92]), τἐναντίον μᾶλλον ἐκείνων ὄντες πορισταὶ, καὶ μηδενὸς ἀπορεῖντες, ὡς ἔπος εἰ-

 πεῖν,

86) post ὀρθὸν deest aut εἴη, vt vult Casaubonus, aut δεῖ.
87) Casaubonus vult ἤτις ἔν. sed potest vulgata defendi.
88) f. μηδένα μηδεμιᾶς ἅπτεσθαι.
89) Casaubonus et Anglus volunt ἀποτρέπει. recte ad sententiam; quia tamen ἐμποιοῦντα sequitur, non ἐμποιεῖ, malim ἀπρεπῆ, scil. ἐστι.
90) μὴ] l. aut μὴν porro, aut δὴ.
91) optimum erit legere ἐνδεεῖς ἔργων καὶ βίου. alias potes Morelli coniecturam ἔργα καὶ βίου sequi, quam is ait a codice regio confirmari. item hoc ἐνδεεῖς εἰς ἔργα καὶ βίον.
92) ὀνομάζοντες] sic recte Casaubonus. ὀνομάζοντας Ven. et Morell.

πεῖν, τῶν ἀναγκαίων καὶ χρησίμων. φέρ' ἔν μνη- 25.
σθῶμεν ἀφ' ἑκατέρᾳ τῇ γένει, εἰ καὶ μὴ πάνυ ἀκριβῶς ἕκαστα φράζοντες, ἀλλ' ὡς τύπῳ τε [93]) κατιδεῖν τὰ τοιαῦτα [94]), καὶ ὧν ἕνεκα ἐ προσιέμεθα· καὶ ποῖα θαῤῥοῦντας ἐπιχειρεῖν κελεύομεν, μηδὲν φρον- 30.
τίζοντες [95]) τῶν ἄλλως τὰ τοιαῦτα προφερόντων, οἷον εἰώθασι λοιδορούμενοι προφέρειν πολλάκις ἐ μόνον τὰς αὐτῶν ἐργασίας [96], αἷς οὐδὲν ἄτοπον προσεῖναι, ἀλλὰ καὶ τῶν γονέων, ἄν τινος [97]) ἔριθος ἡ μή- 35.
τηρ ἢ [98]) τρυγήτρια ἐξελθοῦσά ποτε, ἢ μισθῷ τιθεῖσα παῖδα τῶν ὀρφανῶν ἢ πλουσίων, ἢ ὁ πατὴρ διδάξῃ γράμματα, ἢ παιδαγωγήσῃ. μηδὲν ἂν τοιοῦτον αἰσχυνομένους, ὁμόσε ἰέναι. ἐ γὰρ ἄλλως αὐτὰ ἐρεῖ- 40.
σιν, ἂν λέγωσιν, ἢ ὡς σημεῖα πενίας, πενίαν αὐτὴν λοιδορῆσαι δηλονότι καὶ προφέροντες, ὡς κακὸν δή τι καὶ δυσχὲς, ἐ τῶν ἔργων οὐδέν. ὥστε ἐπειδὴ ἐ 45.
φαμὲν χεῖρον οὐδὲ δυσχερέστερον πλούτου πενίαν, οὐδὲ πολ-

93) τε] l. γε.

94) post τοιαῦτα deest ποῖα, v. paulo post. *qualianam ea quare.*

95) Φρονντίζοντας, vt paulo ante θαῤῥοῦντας; non enim redit ad κελεύομεν, sed ad ἐπιχειρεῖν.

96) ἐργασίας] sic recte dant alii codices teste Morello; *opificia, vnde quaestum faciunt.* εὐεργεσίας Ven. et Mor.

97) τινος] sic Anglus, et vir doctus in Veneta mea, et Morellus in marg. suae editionis. τινας Ven. et Mor.

98) ἢ] sic Anglus et margo Morell. sed textum Mor. et Ven. omittunt ἢ. mihi videtur conuenientius leg. ἂν τινος ἔριθος ἡ μήτηρ ὤφθη ἢ τρυγήτρια, ἐξελθοῦσά ποτε, *si cuius mater visa fuerit aliquo itare solita, aut lanificii, aut alius operae mercenariae in agro aut vinea exercendae ergo.* Exempla huius rei sunt apud Demosthenem, qui bene cum nosset, quam esset stultum alii vitae genus, honestum, sed humile, parentumue, obiectare, tamen iterum atque iterum Aeschinem eo exagitat, quod pater eius ludimagister fuisset, et mater medicinam in plebecula infima exercuisset.

πολλοῖς ἴσως ἀξυμφορώτερον, οὐδὲ τὸ ὄνειδος τοῦ ὀνείδους μᾶλλόν τι βαρυντέον τοῦτ' ἐκείνου. εἰ γάρ τῳ δοκεῖ μὴ ὀνομάζοντας καθ' ἡμέραν τὸ πρᾶγμα, ὃ ψέγουσι, τὰ συμβαίνοντα διὰ τὸ βλασφημεῖν προφέροντας, πολὺ πλείω ἂν ἔχοιεν πλέον, καὶ τῷ ὄντι, αἰσχρὰ διὰ πλοῦτον γινόμενα, οὐχ ἥκιστα δὲ τῷ παρ' Ἡσιόδῳ κεκριμένον ἐπονείδιστον προφέρειν, τὸ τῆς ἀργίας φέροντας· ὅτι σε, ἄνθρωπε,

Οὔτε σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα·

καὶ ὅτι ἄλλως τὰς χεῖρας ἔχεις μετὰ[100]) τοὺς μνηστῆρας ἀτρίπτους καὶ ἁπαλάς. οὐκοῦν τόδε μὲν οἶμαι παντὶ τῳ δῆλον, καὶ πολλάκις λεγόμενον ἴσως, ὅτι βαφεῖς[1]) μὲν καὶ μυρεψοὺς, καὶ βυρσοδέψας, σὺν κουρικῇ γυναικῶν τε καὶ ἀνδρῶν, οὐ πολύ τι διαφέ-

99) statim ponam hunc locum, vt existimo constituendum esse: εἰ γάρ τῳ δοκεῖ, καθ' ἡμέραν, μὴ ὀνομάζοντα τὸ πρᾶγμα, ὃ ψέγει, τὰ συμβαίνοντα δι' αὐτὸ βλασφημεῖν προφέροντα· πολὺ πλείω ἂν ἔχοιεν οἱ πένητες, πλέον, καὶ τῷ ὄντι, αἰσχρὰ διὰ τὸν πλοῦτον γιγνόμενα, οὐχ ἥκιστα δὲ τὸ παρ' ἡσιόδῳ κεκριμένον ἐπονείδιστον προφέρειν, λέγοντες· ὅτι σε, ἄνθρωπε. *Nam si cui placet quotidie, tacito eius rei, quam vituperat, nomine, contingentia per illam rem exprobrando criminari: possint contra pauperes multo plura turpia a diuitiis existentia, multoque turpiora, quam illa sunt, quae diuites pauperibus obiectant, et vnice ad veritatem turpia, obiectare; praesertim vero id, quod Hesiodus infame iudicauit, desidiam, ad hunc modum dicentes: mi homo.* In δι' αὐτὸ consentientem habeo Anglum, item in τὸ παρ' ἡσ. quod etiam Morellus e codice regio confirmat. Angli ἔχοιμεν inueni etiam a viro docto Venetae meae adscriptum: a quo ipsemet haud sim alienus, si nempe οἱ πένητες excludatur; ab illo seu ἔχοιεν seu ἔχοιμεν pendet προφέρειν. in πλέον subauditur αἰσχρὰ.

100) μετὰ] Casaubonus κατὰ, quod Morellus e codice regio confirmat.

1) βαφεῖς cum reliquis accusatiuis pendet e μὴ παραδέχεσθαι p. 262, 8.

ρεσσαι [2]) ταινῦν καὶ ποικιλτικῇ πάσῃ σχεδὸν, ἐκ ἐσθῆτι [3]) μόνον, ἀλλὰ καὶ χρωτὸς καὶ τριχῶν, ἀγχέσῃ [4]) καὶ ψιμυθίῳ, καὶ πᾶσι Φαρμάκοις μηχανωμένῃ, ὡς ἄρα ψεύδῃ [5]) καὶ νόθα εἴδωλα· ἔτι δὲ ἐν οἰκιῶν [6]) ἐροφαῖς, καὶ τοίχοις, καὶ ἐδάφεσι τὰ μὲν χρώμασι, τὰ δὲ λίθοις, τὰ δὲ χρυσῷ, τὰ δὲ ἐλέφαντι ποικιλόντων, τὰ δὲ αὖ τῶν [7]) τοίχων γλυφαῖς, τὸ μὲν ἄριστον μὴ παραδέχεσθαι καθόλου τὰς πόλεις· τὸ δὲ, ἡμῖν ἐν τῷ παρόντι λόγῳ διορίσαι [8]), μηδένα ἂν τὸν [9]) τοιοῦτον γίγνεσθαι τῶν ἡμετέρων πενήτων· ὡς [10]) πρὸς τὰς πλησίας ἡμεῖς ἀγωνιζόμεθα ὥσπερ χορᾷ, ταινῦν ἐχ ὑπὲρ εὐδαιμονίας προκειμένης τῷ ἀγῶνος· ἡ γὰρ πενία τοῦτό γε πρόκειται τὸ ἆθλον, οὐδὲ αὖ πλούτῳ· μόνης δὲ ἀρετῆς

2) διαφερέσαις praeferendum puto, vt ipſe Morellus vidit; nam genera duo ornatriciae comarum artis commemorantur, virile et muliebre; quae duo genera ſua aetate parum differre Dio queritur. Margo Morell. dat διαφερέσῃ.

3) malim ἐσθῆτος.

4) Caſauboni egregiam de *anchuſa* coniecturam confirmat Morellus e codice regio, in quo fuit ἐπ' ἀγχέσῃ, vbi ſi bene habet ἐπὶ, quod videtur, ſignificabit idem atque *ope* anchuſae. In Veneta eſt ἀπεγχέσῃ, et Morell. dat ἀπεχέσῃ.

5) ψεύδῃ] in Veneta et in regio codice eſt ψευδεῖς. videtur aliquid hic deſiderari. Nugae ſunt, quae ad h. l. Morellus affert. μηχανωμένῃ pertinet ad ποικιλτικῇ.

6) ἐν οἰκιῶν] ſic codex regius et Caſaubonus. quare malim ἔτι δὲ τὰς ἐν οἰκιῶν — ποικιλόντας — ἐνοικιῶν Ven. et Mor.

7) αὖ τῶν] ſic recte Veneta. αὐτῶν Morell.

8) f. προκείμενον διορίσαι.

9) τὸν] Veneta τὸ. plane dele.

10) ὡς] Caſaubonus vult ὧν, Anglus οἷς, non male. *quorum (pauperum) velut choro quodam.* ſed poteſt etiam Vulgata defendi, et accipi pro *namque quippe*, quomodo interpres et vir doctus in Veneta mea.

τῆς ἐςὶν ἐξαίρετον, ἄλλως δὲ ὑπὲρ ἀγωγῆς τινος καὶ μετριότητος βίȣ. καὶ τοίνυν ȣ̓δ' ὑποκριτὰς τραγικȣ̀ς ἢ κωμικȣ̀ς [11]), ἢ τινῶν μίμων [12]) ἀκράτȣ γέλωτος δημιȣργȣ̀ς, ȣ̓δὲ ὀρχηςὰς, ȣ̓δὲ χορευτὰς, πλήν γε τῶν ἱερῶν χορῶν, ἀλλ' ἐπί γε [13]) τοῖς Νιόβης ἢ Θυέςȣ πάθεσιν ἄδοντας ἢ ὀρχȣμένȣς, ȣ̓δὲ κιθαρῳδȣ̀ς, ȣ̓δὲ αὐλητὰς περὶ νίκης ἐν θεάτροις ἁμιλλωμένȣς. εἰ καί τινες τῶν ἐνδόξων πόλεων ἐπὶ τȣ́τοις ἡμῖν δυσχερῶς ἔξȣσι, Σμύρνα, καὶ Χῖος, καὶ δῆτα σὺν ταύταις καὶ τὸ Ἄργος, ὡς τὴν Ὁμήρȣ καὶ Ἀγαμέμνονος δόξαν ȣ̓κ ἐώντων [14]) αὔξεσθαι· τὸ γȣῦν ἐφ' ἡμῖν. τυχὸν δὲ καὶ Ἀθηναῖοι χαλεπανȣ̃σιν, ἀτιμάζεσθαι νομίζοντες τȣ̀ς σφετέρȣς ποιητὰς, τραγικȣ̀ς, καὶ κωμικȣ̀ς, ὅταν τȣ̀ς ὑπηρέτας αὐτῶν [15]) ἀφαιρώμεθα, μηδὲν ἀγαθὸν φάσκοντες ἐπιτηδεύειν. εἰκὸς δὲ ἀγανακτεῖν καὶ Θηβαίȣς, ὡς τῆς νίκης αὐτῶν ὑβριζομένης, ἣν προεκρίθησαν [16]) ὑπὸ τῆς Ἑλλάδος νικᾷν ἐπ' αὐλητικῇ· ταύτην δὲ τὴν νίκην ȣ̃τω σφόδρα ἠγάπησαν, ὥςε, ἀναςάτȣ τῆς πόλεως αὐτοῖς γενομένης, καὶ ἔτι νῦν σχεδὸν ȣ̓σης, πλὴν μικρȣ̃ μέρȣς τῆς Καδμείας οἰκȣμένης, τῶν μὲν ἄλλων ȣ̓δενὸς ἐφρόντισαν τῶν ἠφανισμένων, ἀπὸ [17]) πολλῶν μὲν ἱερῶν, πολλῶν δὲ ςηλῶν καὶ ἐπιγραφῶν· τὸν δὲ Ἑρμῆν ἀναζητήσαντες, πάλιν ἀνώρθωσαν, ἐφ' ᾧ ἦν τὸ ἐπίγραμμα τὸ περὶ τῆς αὐλητικῆς· Ἑλλὰς

11) repete a superioribus, *vetamus quemquam nostrorum pauperum fieri comoedum, histrionem.*
12) f. ἢ διά τινων μίμων.
13) f. ἀλλ' ȣ̓κ ἐπί γε.
14) ȣ̓κ ἐώντων bene habet, scil. ἡμῶν. tametsi exactior constructio omnino ἐῶσιν flagitaret, quia praecessit ἡμῖν.
15) αὐτῶν] scil. τῶν ποιητῶν.
16) ὑπὸ] sic recte interpres et Anglus. ὑπὲρ Ven. et Mor.
17) aut ἀπὸ delendum est, aut leg. ἀπὸ πολλῶν δὲ ἱερῶν, πολλῶν δὲ ς. κ. ἐπιγραφῶν τὸν ἑρμῆν.

λοὺς μὲν Θήβας νικᾶν πρᾶκρινεν[18]) αὐλοῖς. καὶ νῦν ἐπὶ μέσης τῆς ἀρχαίας ἀγορᾶς ἓν τοῦτο ἄγαλμα ἕστηκεν ἐν τοῖς ἐρειπίοις. ἀδὲ Φοβηθέντας[19]) ἀδένας τούτων, ἀδὲ τοὺς ἐπιτιμηθέντας[20]) ἡμῖν, ὡς τὰ σπουδαιότατα τὰ παρὰ τοῖς Ἕλλησι ψέγομεν[21]), ἅπαντα τὰ τοιαῦτα ἐκ αἰδημόνων, ἀδὲ ἐλευθέρων ἀνθρώπων ἀποφαινόμενοι ἔργα, ὡς ἄλλα γε[22]) πολλοὶ δυσχερῆ πρόσεσιν αὐτοῖς· καὶ δὴ μέγιστον τὸ τῆς ἀναιδείας, τὸ[23]) μᾶλλον τοῦ δέοντος φρονεῖν τὸν ὄχλον· ὅπερ μέγιστον[24]) θρασύνεσθαι ποιεῖν ὀρθότερον. ἐκεῖν ἀδὲ κήρυκας ὠνίων, ἀδ' κλοπῶν, ἢ δρασμῶν μήνυτρα προτιθέντας ἐν ὁδοῖς καὶ ἐν ἀγορᾷ φθεγγομένους μετὰ πολλῆς ἐλευθερίας, ἀδὲ συμβόλων[25]) καὶ προκλήσεων, καὶ καθόλου τῶν περὶ δίκας, καὶ ἐγκλήματα, συγγραφεῖς[26]), προσποιουμένους νόμιμον[27]) ἐμπειρίαν, ἀδὲ αὖ τοὺς σοφούς τε καὶ δεινοὺς δικογράφους τε καὶ συνηγόρους, μισθῷ πᾶσιν ἑμοίως ἐπαγγελλομένους βοηθήσειν, μὴ ἀδικοῦσί γε[28]) τὰ μέγιστα, καὶ σχετλιάσειν καὶ βοήσεσθαι, καὶ

18) malo cum Casaubono πρᾷκρινεν ἐν αὐλοῖς, quam πρᾳκρίνατο αὐλοῖς, quod Morellus e codice regio affert.

19) malim ἀδὲν Φοβηθέντες.

20) ἐπιτιμηθέντας possit ferri, pro ἐπιτιμήσοντας, praesertim si ἄν addatur.

21) egregie locum hunc sanauit vir doctus in Veneta mea, qui pro λέγομεν adscripsit ψέγομεν, quod verum est.

22) γε] l. τε. ὡς hic loci, vt saepe, significat, *quia, quandoquidem.*

23) τὸ] mauult Casaubonus τὸ, sed vulgata bene habet.

24) μέγιστον delendum.

25) συμβόλων bene habet. σύμβολα saepe idem sunt atque συμβόλαια, tabulae contractuum.

26) συγγραφεῖς] in Veneta est συγγραφαῖς, vbi vir doctus adscripserat συγγραφέας.

27) malim τῶν νομίμων.

28) γε] sic recte Casaubonus. τε Ven. et Mor.

καὶ ἱκετεύσειν, ὑπὲρ τῶν ἔτε φίλων, ἔτε συγγενῶν σφίσιν ὄντων, σφόδρα ἐντίμως καὶ λαμπρὸς ἐνίοις εἶναι δοκοῦντας ἐν τῇ πόλει· καὶ ἀναισχυντήσειν ὑπὲρ τῶν ἀλλοτρίων ἀδικημάτων, ὧδε τοιοῦτον οὐδένας ἀξιοῦμεν [29]) ἂν ἐκείνων γίγνεσθαι, παρεχωρεῖν δὲ ἑτέροις. χειροτέχνας μὲν γὰρ ἐξ αὐτῶν τινὰς ἀνάγκη γενέσθαι· γλωσσοτέχνας δὲ καὶ δικοτέχνας οὐδεμίαν ἀνάγκη. τούτων δὲ τῶν εἰρημένων τε καὶ ῥηθησομένων, ἔστιν ἃ δοκεῖ [30]) χρήσιμα τοῖς πόλεσιν, ὥσπερ τοῖς νῦν, οἰκουμένοις. λέγω δὴ ἴσως, τὸ περὶ τὴν τῶν δικῶν ἀναγραφήν, καὶ τῶν συμβολαίων, τάχα δ' ἂν καὶ κηρυγμάτων ἐνίων, ὅπως ἂν ᾖ ὑφ' ἡμῶν [31]) γιγνόμενα, ὡς ἥκιστα ἂν ἔχῃ βλαβερά, ἐ νῦν καιρὸς διορίζειν. ἐ γὰρ πολιτείαν ἐν τῷ παρόντι διατάττομεν, ὁποία τις ἂν ἡ αἵρεσις γένοιτο, ἢ πολλῶν ἀμείνων· ἀλλὰ περὶ πενίας πρῳθέμεθα εἰπεῖν, ὡς ἐκ ἄπορα αὐτῇ τὰ πράγματά ἐστιν, ἥπερ δοκεῖ τοῖς παλαιοῖς, αὐτή τε εἶναι φευκτὸν καὶ κακόν· ἀλλὰ μυρίας ἀφορμὰς πρὸς τὸ ζῆν παρέχει τοῖς αὐτουργεῖν βουλομένοις, ἔτε αἰσχήμονας, ἔτε βλαβερὰς [32]). ἀπὸ γὰρ τῆς ἀρχῆς ταύτης, τὰ περὶ γεωργίας καὶ θήρας πρῳτράπημεν προδιελθεῖν ἐπὶ πλέον πρότερον· καὶ νῦν περὶ τῶν κα-

29) propter additum ἂν malim legi ἀξιοῖμεν. ἐκείνων redit ad pauperes.

30) δοκεῖ] sic recte Veneta. δοκεῖ Morell.

31) sic distinguo et lego locum: ἐνίων, ἃ πῶς ἂν ὑφ' ἡμῶν *quae qua ratione fieri et institui debeant, si volumus ea minimum ciuitatibus nocere, oportunum nunc non est docere.* In ἃ πῶς etiam Casaubonum habeo consentientem, sed praeterea quoque ἢ tollo.

32) aut mutanda sunt haec foeminina neutris, vt sit ἔτε αἰσχήμονα, ἔτε βλαβερά, aut addendum ἐργασίας post βουλομένοις.

τοὺ ἄσυ ἐργασιῶν [33]), τίνες αὐτῶν πρέπουσαι καὶ ἀβλαβεῖς τοῖς μὴ κακίσει βιωσομένοις, καὶ τίνες χείρους ἂν ἀποτελοῖεν τὰς ἀπ' αὐτῶν [34]). εἰ δὲ πολλὰ τῶν εἰρημένων καὶ καθόλε χρήσιμά ἐσι πρὸς πολιτείαν, καὶ τὴν τῦ προσήκοντος αἵρεσιν, ταύτῃ καὶ δικαιότερον συγγνώμην ἔχειν τῦ μήκους τῶν λόγων, ὅτι ὐ μάτην ἄλλως [35]), ὐδὲ περὶ ἄχρηςα πλανωμένω πλείονες γεγόνασιν, ἢ περὶ [36]) γεωργιῶν καὶ τεχνῶν σκέψις, καὶ καθόλε περὶ βίε προσήκοντος, ἢ μὴ, τοῖς μετρίοις, καὶ εἰ καθ' αὑτὴν [37]) ἀξία πέφηνεν πολλῆς καὶ πάνυ ἀκριβῦς θεωρίας. ὃ χρὴ ἓν τοὺς ἐκτροπὰς τῶν λόγων, ἂν καὶ σφόδρα μακροὶ [38]) δοκῶσιν, μὴ μέντοι περί γε φαύλων, μηδὲ ἀναξίων λόγων [39]), μηδὲ ὃ προσηκόντων, δυσκόλως φέρειν, ὡς ὐκ αὐτὴν λιπόντος τὴν τῶν ὅλων ὑπόθεσιν τῦ λέγοντος· ὡς ἂν εἰ [40]) περὶ τῶν ἀναγκαίων [41]) καὶ προσηκόντων Φιλοσοφίᾳ διεξίης. σχεδὸν γὰρ κατὰ τῦτο μιμύμενοι τὰς κυνηγέτας, ὐκ ἂν ἁμαρτάνομεν· οἵ γε ἐπειδὴ τὸ πρῶτον ἴχνος ἐνλαβόντες, κἀκείνῳ ἑπόμενοι, μεταξὺ ἐπιτύχωσιν ἑτέρῳ φανερωτέρῳ, καὶ μᾶλλον ἐγγὺς, ὐκ ὤκνησαν τύτῳ ξυνακολυθήσαντες, καὶ ἕλοντες, τὸ ἐμπεσὸν θῆρε-

33) ἐργασιῶν] sic Casaubonus et V. L. Venetae. γεωργιῶν Ven. et Mor.

34) ἀπ' αὐτῶν] videtur hic desiderari διαζῶντας, aut διατρεφομένους.

35) videri possit ἄλλως scholiam voc. μάτην esse; non tamen affirmem.

36) f. γέγονεν ἢ περὶ.

37) καθ' αὑτὴν. per semet. αὐτὴν Ven. et Mor.

38) malim μακραὶ, vt ad ἐκτροπὰς redeat.

39) λόγων] imo vero λάγε. Casaubonus plane tollendum putat, sine causa.

40) ἕως ἄν mauult Casaubonus pro ὡς ἂν εἰ, et facio cum eo.

41) f. περί τινος τῶν ἀναγκαίων.

ὕστερον [42]). ἴσως οὖν οὐδὲ ἐκείνῳ μεμπτέον, ὅστις περὶ ἀνδρὸς δικαίου καὶ δικαιοσύνης λέγειν [43]) ἀρχόμενος, μνησθεὶς πόλεως, παραδείγματος ἕνεκεν, πολλαπλάσιον λόγον ἀνήλωσε περὶ πολιτείας· καὶ οὐ πρότερον ἀπέκαμε, πρὶν ἢ πάσας μεταβολὰς καὶ ἅπαντα γένη πολιτειῶν διεξῆλθεν, πάνυ ἐναργῶς τε καὶ μεγαλοπρεπῶς τὰ συμβαίνοντα περὶ ἑκάστην ἐπιδεικνύς· εἰ καὶ παρά τισιν αἰτίαν ἔχει περὶ τοῦ μήκους τῶν λόγων, καὶ τῆς διατριβῆς τῆς περὶ τὸ παράδειγμα δήπουθεν· ἄλλως [44]) οὐδὲν ὄντα πρὸς τὸ προκείμενον τὰ εἰρημένα, καὶ οὐδ' ὁπωστιοῦν σαφεστέρου [45]) δι' αὐτὰ τοῦ ζητουμένου γεγονότος, οὗπερ ἕνεκεν ἐξαρχῆς εἰς τὸν λόγον παρελήφθη, διὰ ταῦτα εἴπερ ἄρα οὐ παντάπασιν ἀδίκως εὐθύνεται. ἐὰν οὖν καὶ ἡμεῖς μὴ προσήκοντα, μηδὲ οἰκεῖα τῷ προκειμένῳ, φαινώμεθα διεξιόντες, μακρολογεῖν εἰκότως ἂν φαινώμεθα. κἀθ' αὑτὸ δὲ ἄλλως, οὔτε μῆκος, οὔτε βραχύτητα ἐν λόγοις ἐπαινεῖν ἢ ψέγειν δίκαιον. περὶ δὲ τῶν λοιπῶν τῶν ἐν ταῖς πόλεσι πράξεων χρὴ θαῤῥοῦντας διαπεραῖναι τῶν μὲν μιμνησκομένους, τὰ δὲ ἐῶντας ἄῤῥητά τε καὶ ἀμνημόνευτα. οὐ γὰρ δὴ περί γε πορνοβοσκῶν, καὶ περὶ πορνοβοσκίας, ὡς ἀμφιβόλων, ἀπαγορευτέον· ἀλλὰ καὶ πάνυ ἰσχυριστέον, καὶ ἀποῤῥητέον, λέγοντι,

42) post ὕστερον videtur διώκειν vel tale quid deesse.

43) locus hic docet, omnes has disputationes, a prima ad hanc, vnum corpus efficere, et ab auctore vna serie continente esse scriptas.

44) ἄλλως] diuide in duo, ἀλλ', ὡς. in ἀλλὰ repetendum a communi μεμπτέον, e versu 1. *sed meretur notam ideo, quod dicta nihil ad rem faciant*; aut sequentia διὰ ταῦτα huc sunt trahenda. οὐδὲν ὄντα τὰ εἰρημένα positum est pro οὐδὲν ὄντων τῶν εἰρημένων, vulgari enallage.

45) σαφεστέρου recte emendarunt Casaubonus et vir doctus in Veneta mea. σαφέστερον Ven. et Mor.

τι, μηδένα προσχρῆσθαι, μήτ' οὖν πένητα, μήτε πλούσιον, ἐργασίᾳ τοιαύτῃ μισθὸν ὕβρεως καὶ ἀκολασίας ὁμοίως παρὰ πᾶσιν ἐπονείδιστον ἐκλέγοντας[46]), ἀναφροδίτου μίξεως καὶ ἀνεράστου τῶν ἐρώντων[47]), κέρδους ἕνεκα γιγνομένην· συναγαγοῦσαν αἰχμάλωτα σώματα γυναικῶν ἢ παίδων, ἢ ἄλλως ἀργυρώνητα ἐπ' αἰσχύνῃ προϊστάντας ἐπ' οἰκημάτων ῥυπαρῶν, πανταχοῦ τῆς πόλεως ἀποδεδειγμένων, ἔν τε παρόδοις[48]) ἀρχόντων καὶ ἀγοραῖς, πλησίον ἀρχείων τε καὶ ἱερῶν, μεταξὺ τῶν ὁσιωτάτων. μήτ' οὖν βαρβαρικὰ σώματα, μήτε Ἑλλήνων, ἃ[49]) πρότερον μὲν οὐ πάνυ, τανῦν δὲ ἀφθόνως[50]) τε καὶ πολλῇ δουλείᾳ κεχρημένων, ἐπὶ τὴν τοιαύτην λώβην καὶ ἀνάγκην ἄγοντας, ἱπποφορβῶν, καὶ ὀνοφορβῶν, πολὺ κάκιον καὶ ἀκαθαρτότερον ἔργον ἐργαζομένους, οὐ κτήνεσι κτήνη δίχα βίας ἑκόντα ἑκοῦσιν ἐπιβάλλοντας, οὐδὲν αἰσχυνομένοις[51]), ἀλλὰ ἀνθρώποις αἰσχυνο-

46) Constructio seuerior postulabat ἐκλέγοντα. verum quia μηδένα, μήτε πένητα, μήτε πλούσιον, multitudinem significant, recte potuit pluralem hic vsurpare. Pluralem hic vsurpasse auctorem, demonstrat συναγαγόντας (vt legendum puto) et προϊστάντες paulo post, et ἄγοντας v. 14, et ἐργαζομένους, quae omnia pendent e προσχρῆσθαι, v. 1.

47) num τῶν οὐκ ἐρώντων sit leg. in dubio relinquo, sed hoc affirmo, γιγνομένης in genit. leg. esse. redit enim ad μίξεως.

48) παρόδοις] palatia et praetoria sic erant accommodata, vt per ea transitus ex aliis semitis in alias paterent, vt e. c. de domo Neronis aurea constat, quae a Palatino monte ad Esquilias patebat.

49) ἃ aut delendum, aut cum τὰ mutandum est, quod videtur ortum e varia lectione, quibusdam codicibus ἕλληνα exhibentibus pro ἑλλήνων.

50) ἀφθόνῳ, ob sequens πολλῇ.

51) αἰσχυνομένοις] sic recte Veneta, redit enim ad κτήνεσι. Morell. dat accusat.

σχυνομένοις καὶ ἄκουσιν, οἰςρῶντας καὶ ἀκολάςους ἀνθρώπους, ἐπ' ἀτελεῖ καὶ ἀκάρπῳ συμπλοκῇ σωμάτων. φθορὰν μᾶλλον, ἢ γένεσιν, ἀποτελούντων[52]), οὔτε αἰσχυνομένους οὐδένα ἀνθρώπων ἢ θεῶν· οὔτε Δία γενέθλιον, οὔτε Ἥραν γαμήλιον, οὔτε μοίρας τελεσφόρους, ἢ λοχίαν Ἄρτεμιν, ἢ μητέρα Ῥέαν, οὐδὲ τὰς προεςώσας ἀνθρωπίνης γενέσεως Εἰλειθυίας, οὐδὲ Ἀφροδίτην[53]) ἐπώνυμον τῆς κατὰ φύσιν πρὸς τὸ θῆλυ τοῦ ἄῤῥενος συνόδου τε καὶ ὁμιλίας· μηδὲ ἐπιτρέποντα[54]) τοιαῦτα κέρδη, μηδὲ νομοθετεῖν, μήτε ἄρχοντα, μήτε νομοθέτην, μήτ' ἐν ταῖς ἄκρως πρὸς ἀρετὴν οἰκησομέναις[55]) πόλεσιν, μήτ' ἐν ταῖς δευτέραις, ἢ τρίταις, ἢ τετάρταις, ἢ ὁποίαις ἄν, ἐὰν ἐπ' αὐτῶν τινι ᾖ τὰ τοιαῦτα κωλύειν. ἐὰν δ' ἄρα παλαιὰ ἔθη καὶ ἐσκιῤῥωμένα νοσήματα χρόνῳ παραλάβῃ, μήτοι γε[56]) παντελῶς ἐᾶν ἀθεράπευτα, καὶ ἀκόλαςα· ἀλλὰ σκοποῦντα τὸ δυνατὸν, ἀμηγέπη ςέλλειν καὶ κολάζειν ὡς οὔποτε φιλεῖ τὰ μοχθηρὰ[57]) μένειν ἐπὶ τοῖς αὐτοῖς, ἀλλὰ ἀεὶ κινεῖται καὶ πρόεισιν ἐπὶ τὸ ἀσελγέςερον, μηδενὸς ἀναγκαίου μέτρου τυχχάνοντα. δεῖ δὴ ποιεῖσθαί τινα ἐπιμέλειαν, μὴ πάνυ τι πρᾴως, μηδὲ ῥᾳθύμως φέροντας τὴν εἰς τὰ ἄτιμα καὶ δοῦλα σώματα ὕβριν. οὐ ταύτῃ μόνον,

52) malim ἀποτελούσῃ, vt ad συμπλοκῇ redeat.

53) significat τὴν πάνδημον ἀφροδίτην.

54) ἐπιτρέπειν τὰ, qui infinit. est e λέγοντι p. 267. vlt. confirmat insequens νομοθετεῖν, et codex regius apud Morellum, qui idem se e coniectura sua margini adscripsisse testatur. textum Morelli dat ἐπιτρέποντα.

55) potest οἰκησομέναις accipi pro οἰκηθησομέναις; malim tamen οἰκιζομέναις.

56) μήτοι γε] malim μὴ, τό γε παντελῶς, ἐᾶν.

57) locum hunc citat Stoboeus p. 30, 41. ed Gesn. cum magno lectionis discrimine.

σον, ἢ [58]) ποιῇ τὸ ἀνθρώπινον γένος ἅπαν ἔντιμον καὶ ὁμότιμον ὑπὸ τῦ φύσαντος θεῦ, ταυτὰ σημεῖα καὶ σύμβολα ἔχον τῦ τιμᾶσθαι δικαίως καὶ κατὰ [59]) λόγον καὶ ἐμπειρίαν καλῶν τε καὶ αἰσχρῶν γέγονεν· ἀλλὰ καὶκεῖνο ἐνθυμεμένης, ὅτι χαλεπὸν ὕβρει τρεφομένη δι' ἐξουσίαν ἕρον τινὰ εὑρεῖν, ὃν οὐκ ἂν ἔτι τολμῆσαι [60]) διὰ φόβον ὑπερβαίνειν· ἀλλ' ὑπὸ τῆς ἐν τοῖς ἐλάττοσι καὶ ὑφειμένοις [61]) μελέτης καὶ συνηθείας, ἀκαθεκτον τὴν αἰσχύνην [62]) καὶ ῥώμην λαβῦσα, ἐδένος ἔτι φείδεται τῶν λοιπῶν. ἤδη ἐν χρὴ πάντες μᾶλλον οἴεσθαι τοὺς ἐν τῷ μέσῳ ταύτας φανερὰς καὶ ἀτίμους μοιχείας, καὶ λίαν ἀναισχύντως καὶ ἀναίδην [63]) γιγνομένας, ὅτι τῶν ἀδήλων καὶ ἀφανῶν εἷς τε [64]) ἐντίμους γυναῖκάς τε καὶ παῖδας ὕβρεων ἐκ ἤκιστα παρέχυσι τὴν αἰτίαν, τῦ πάνυ ῥᾳδίως τὰ τοιαῦτα τολμᾶσθαι· τῆς αἰσχύνης ἐν κοινῷ καταφρονεμένης· ἀλλ' ἔχ, ὥσπερ οἴονταί τινες, ὑπὲρ ἀσφαλείας καὶ ἀποχῆς ἐκείνων

58) ἐ ταύτη μόνον ἢ] sic recte Casaubonus, ἐ ταύτην μόνον ἢ Morell. et Ven.

59) aut καὶ κατὰ delenda sunt, aut legendum τιμᾶσθαι, δικαίων, καὶ μὴ (scil. δικαίων) λόγον, καὶ ἐμπειρίαν καλῶν τε καὶ αἰσχρῶν. haec duo, sensus iusti et iniusti, et visu partum discrimen honestorum et turpium, sunt illa signa, quae prodant, hominem honore dignum esse. γέγονεν cohaeret cum ἢ τὸ ἀνθρώπινον γένος paulo ante.

60) τολμῆσαι] sic recte exstat in Veneta, quomodo Casaubonus e coniectura emendat, nisi quod τολμήσαι cum acuto scribit. praecipiunt scil. grammatici, sic optatiuum exarari, cum circumflecto infinitiuum, quod commentum est. Morell. dat τολμῆται.

61) ὑφειμένοις non culpabo, sed solent in simili constructione ἀφειμ. vsurpare.

62) αἰσχύνην] malim ἰσχὺν.

63) praeferam ἀνάδην, vt grammaticae conuenientius; tum, quod ἀναίδην post ἀναισχύντων tautologum sit.

64) τε deletum malim.

νων [65]) εὑρῆσθαι τῶν ἀμαρτημάτων. τάχ' ἂν λέγοι τις ἀγροικότερον ἔτω πως· ὦ σοφοὶ νομοθέται καὶ ἄρχοντες οἱ παραδεξάμενοι τὰ τοιαῦτα [66]) ἀπαρχῆς, ὡς οὐ τι θαυμαστὸν εὑρήκατε τοῖς πόλεσιν ὑμεῖς σωφροσύνης [67]) φάρμακον, ὅπως ὑμῖν μὴ τὰ φανερὰ ταῦτα καὶ ἔκλειστα οἰκήματα, τὰς κεκλεισμένας οἰκίας, καὶ τὰς ἔνδοθεν θαλάμους ἀναπετάσῃ, καὶ τὰς ἔξω καὶ φανερῶς ἀσελγαίνοντας ἀπὸ σμικρᾶς δαπάνης, ἐπὶ τὰς ἐλευθέρας καὶ σεμνὰς τρέψῃ γυναῖκας, μετὰ πολλῶν χρημάτων τε καὶ δώρων, μὴ τὸ σφόδρα εὔωνον καὶ μετ' ἐξουσίας ἀπέτι ξέργοντας, ἀλλ' αὐτὸ δὲ [68]) τὸ κεκωλυμένον ἐν φόβῳ τε καὶ πολλοῖς ἀναλώμασι διώκοντας. ὄψεσθε δὲ αὐτὸ, ἐμοὶ δοκεῖν, ἀκριβέστερον, ἐὰν σκοπῆτε, παρ' οἷς γὰρ καὶ τὰ τῶν μοιχειῶν μεγαλοπρεπέστερον πως παραπέμπεται, πολλῆς καὶ σφόδρα φιλανθρώπου τῆς εὐγνωμο-

65) fine cauſa Morellus aſteriſcum appoſuit loco ſano. εὑρῆσθαι pendet a τάχ p. 270, antep. quod idem eſt atque ἴσως τάχ. nil opus erat Anglo τῷ comminiſci.

66) τὰ τοιαῦτα] flagitioſas in alienos thoros coniugales irruptiones. παραδέχεσθαι haec, eſt ea noſſe ante ſua tempora vſitata.

67) φάρμακον σωφροσύνης eſt ars vel res temperantiam pariens. Poſſint eius vſus multa afferri exempla. v. apud Philoſtratum p. 90, 6. et p. 274, 2. Plutarch. Conſol. ad Apollon. p. 103. fine et p. 114, 25. occurrerunt poſtea permulta, quae omiſit enotare, vt ſum ad colligendas et conſtruendas phraſes, optus iners et inutile et inglorium, a natura factus ignauiſſimus. Vnum tamen adſcripſi, quod ſatis valebit, credo, ad hanc vocabuli vim adſtruendam. Libanii puta ep. 114, 22. φάρμακα θυμηδίας *res creantes animi relaxationem.* Ariſtides T. II. p. 357, 2. φάρμακα ὕπνου *ſomnum conciliantia.* Alio modo locum hunc tractarunt Hemſterhuſius ad Lucian. T. I. p. 467. et Valeſius ad Harpocrationem p. 316. inſerunt μὴ: ſed iam legitur paulo poſt: ſed et oratio cum acerbitate cauillatoria.

68) aut delendum δὲ, aut cum δὴ eſt mutandum.

μοσύνης τυγχάνοντας, τὰ μὲν πολλὰ, ὑπὸ χρηστότητος ἐκ αἰσθανομένων τῶν ἀνδρῶν· τὰ δέ τινας, ἐχ ὁμολογούντων εἰδέναι, ξένους δὲ καὶ φίλους καὶ ξυγγενεῖς τοὺς μοιχούς, καλυμένους ἀνεχομένων, καὶ αὐτῶν ἐνίοτε φιλοφρονουμένων, καὶ παρακαλούντων ἐν ταῖς ἑορταῖς καὶ θυσίαις, ἐπί τε τὰς ἑστιάσεις [69])· ὡς ἂν, οἶμαι, τοὺς οἰκειοτάτους· ἐπὶ δὲ τοῖς σφόδρα ἐκδήλοις καὶ φανεροῖς, μετρίας τὰς ὀργὰς ποιουμένων παρ' οἷς δὴ, φημὶ, ταῦθ' ἕτως ἐπιεικῶς ἐξάγεται [70]) τὰ περὶ τὰς γυναῖκας, ἐδὲ περὶ τῶν παρθένων ἐκεῖ θαρρῆσαι ῥᾴδιον τῆς χορείας, ἐδὲ τὸν Ὑμέναιον ὡς ἀληθῶς, καὶ δικαίως ᾀδόμενον ἐν τοῖς παρθενικοῖς γάμοις, πιστεῦσαί ποτε. εἰ ἦν ἀνάγκη πολλὰ ἐοικότα ξυμβαίνειν αὐτόθι τοῖς παλαιοῖς μύθοις δίχα τῆς τῶν πατέρων ὀργῆς καὶ πολυπραγμοσύνης, ἀλλὰ [71]) πολλῶν μεμεμένων τὰς λεγομένας τῶν θεῶν ἔρωτας, χρυσοῦ τε πολλοῦ διαῤῥέοντος διὰ τῶν ὀρόφων, καὶ πάνυ ῥᾳδίως, ἅτε ὂ χαλκέων ὄντων, ἐδὲ λιθίνων τῶν οἰκημάτων· καὶ νὴ Δία [72]) ἀργυρίου ςάζοντος κατ' ὀλίγον, ἐδ' εἰς τὰς τῶν παρθένων κόλπους μόνας, ἀλλ' εἴς τε μητέρων καὶ τροφῶν καὶ παιδαγωγῶν, καὶ ἄλλων, πολλῶν καὶ καλῶν δώρων [73])· τῶν μὲν κρύφα εἰσιόντων διὰ τῶν ςεγῶν· ἔνι δ' ὃ φανερῶς, κατ' αὐτὰς πως τὰς κλισίας [74]). τί δ' ἐν ποταμοῖς καὶ

ἐπὶ

69) ἑστιάσεις] sic dedi, ἑσθιάσεις Morell. et Ven.

70) ἐξάγεται si significat, *geruntur*, *aguntur*, *tractantur*, bene habet; sed dubito de ista verbi significatione. quare malim ἐξετάζεται *exiguntur*, *quaeruntur*.

71) ἀλλὰ aut del. aut cum ἅτε mutandum.

72) νὴ Δία. Morell. dat νὴ διὰ.

73) sic distingue: καὶ ἄλλων *et aliorum*, puta hominum finus, πολλῶν καὶ καλῶν δώρων. *multis donis influentibus in finus — aliorumque.*

74) [κλισίαι] siue κλισιάδες fores, domus notissimae sunt. Casau-

ἐπὶ κρηνῶν; ἐκ εἰκὸς ὁμοῖα πολλὰ γενέσθαι τοῖς πρότερον λεγομένοις ὑπὸ τῶν ποιητῶν, πλὴν ἴσως γε ἐ δημοσίᾳ γιγόμενα, ἐδ' ἐν τῷ φανερῷ; κατ' οἰκίας δὲ οὕτως εὐδαίμονες κήπων τε καὶ περιστείων πολυτελεῖς ἐπαύλεις ἔν τισι νυμφῶσι κατεσκευασμένοις, καὶ θαυμασοῖς ἄλσεσιν, ἅτε ἐ πενιχρὰς [75]) ἐδὲ πενήτων βασιλέων οἴας ὑδροφορεῖν τε καὶ παίζειν παρὰ τοῖς ποταμοῖς, ψυχρὰ λεομένας λετρὰ, καὶ ἐν ἄλσεσιν ἀνεπεπταμένοις, ἀλλὰ μακαρίοις καὶ μακαρίων γονέων, ἐν βασιλικαῖς καταγωγαῖς, ἴδια ταῦτα πάντα ἐχέσας, πολὺ κρείττονα καὶ μεγαλοπρεπέστερα τῶν κοινῶν. ἀλλ' ἴσως γε ἐδὲν ἧττον ἔμελλεν ἐκείνη τῇ πόλει παῖδας προσδοκᾶν ἐσομένους, οἷον Ὅμηρος εἴρηκεν Εὔδωρον, υἱὸν Ἑρμῆ καὶ Πολυδώρας, ὑποκρυπτόμενος αὐτὸν [76]) οἶμαι τὴν γένεσιν.

Παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυδώρη.

πολλὰς τὰς τοιάτας. σχεδὸν δὲ καὶ παρὰ Λακεδαιμονίοις ἔτυχόν τινες ταύτης τῆς ἐπωνυμίας, τῶν ἔτω γενομένων Παρθενίας κληθέντες συχνοί· ὥστ', εἰ μηδὲ ἐφθείροντο [77]) οἱ πολλοὶ τῶν ἐν ταῖς ἔτω τρυφώσαις πόλεσι γιγνομένων, ἔγε εὐθαμῶς οἶμαι δαιμονίᾳ τυγχάνοντες ἐπιμελείας, ἀδὲν ἂν ἐκώλυε, πάντα μεστὰ Ἡρώων εἶναι. νῦν δὲ, οἱ μὲν ἀπόλυνται παραχρῆμα· ὅσοι δ' ἂν καὶ φανῶσι, [78]) κρύφα ἐν δέλε

Casaubonus] tum leg. ἔτι δ' ἐν π. καὶ ἐπὶ κρ. ἐκ ἀπεικός. *praeterea non improbabile est.*

75) f. ἅτε ἐ περὶ πενιχράς, scil. γιγνόμενα.

76) aut αὐτῇ leg. est, aut e Veneta ὑποκορίζομενος αὐτὸν οἶμαι κατὰ τὴν γένεσιν. Est quidem in Veneta ὑποκρυζόμενος, sed vir doctus adscripsit ὑποκορίζ. paulo ante ἀλλ' ἴσως locus est corruptus, quem sanare haud valeo.

77) συχνοὶ ὡσε εἰ μηδὲ ἐφθειρ.] sic codex regius. συχνῶς. ὡς εἰ μὴ διεφθ. Ven. et Mor.

78) f. φθάνωσι.

δέλε σχήματι μένεσι ἄχρι γήρως, ἅτε ἐδὲν αὐτὲς δυναμένων τῶν σπειράντων προσωφελεῖν. εἶεν δή. παρ' οἷς ἂν καὶ τὰ περὶ τὰς κόρας ἔτως ἁπλῶς 79) ἔχῃ, τί χρὴ προσδοκᾶν τὰς κόρες ποίας τινὸς παιδείας καὶ ἀγωγῆς τυγχάνειν; ἔτθ' ὅπως ἂν ἀποσχοίντο τῆς τῶν ἀρρένων λώβης καὶ φθορᾶς, τό γε ἀκόλαςον γένος, τῆτον ἱκανὸν καὶ σαφῆ ποιησάμενον ὅρον, τὸν τῆς Φύσεως, ἀλλ' ἐκ ἂν, ἐμπιπλάμενον πάντα τρόπον τῆς περὶ γυναῖκας ἀκρασίας, καὶ διακορὲς γενόμενον τῆς ἡδονῆς ταύτης, ζητοίη ἑτέραν μείζω καὶ παρανομωτέρω 80) ὕβριν· ὡς τά γε γυναικῶν αὐτῶν σχεδόν τε 81) τῶν ἐλευθέρων καὶ παρθένων ἐφάνη ῥᾴδια; καὶ ἐδεὶς πόιος θηρῶντι μετὰ πλέτε τοιάνδε θήραν. ἐδὲ ἐπὶ τὰς παὺσεμνὰς καὶ σεμνῶν τῶ ὄντι γυναῖκας καὶ θυγατέρας, ὅστις ἂν ἴοι 82), σὺν τῇ τὲ Διὸς μηχανῇ, χρυσὸν μετὰ χεῖρας φέρων, ἐ μήποτε ἀποτυγχάνοι, ἀλλ' αὐτά πε τὰ λοιπὰ 83) δηλοῖ παρὰ πολλοῖς γινόμενα, ὡς ὅ γε ἄπληςος τῶν τοιέτων ἐπιθυμιῶν, ὅταν μηδὲν εὑρίσκοι σπάνιον μηδὲ ἀντιτεῖνον ἐν ἐκείνῳ τῷ γένει, καταφρονήσας τὲ ῥᾳδίε, καὶ ἀτιμάσας τὴν ἐν ταῖς γυναιξὶν Ἀφροδίτην, ὡς ἕτοιμον δή τινα καὶ τῷ ὄντι θῆλυν παντελῶς, ἐπὶ τὴν ἀνδρωνῖτιν μεταβήσεται, τὲς ἅρξαντας αὐτίκα μάλα καὶ δικάσαντας καὶ στρατηγήσαντας, ἐπιθυμῶν κατεισχύειν· ὡς ἐνθάδε πε τὸ χαλεπὸν καὶ δυσπόριςον τῶν ἡδονῶν εὑρήσων εἶδος, τοῖς ἄγαν φιλοποταις καὶ οἰνόφλυξι ταυτὸ

79) ἁπλῶς] f. ἀμελῶς.

80) f. παρανομωτέραν, vt etiam Anglus correxit. vir doctus in Veneta mea παρανομώτερον adscripsit; sed παράνομος in comparatiuo vsurpat tria genera.

81) σχεδόν τι.

82) Casaub. ἴοι: possit quoque legi ἴῃ. Ven. et Mor. dant εἰ.

83) λοιπὰ] vitium huius loci indicauit Casaubonus, medicinam inuenire haud potuit.

ταυτὸ πεπονθὼς πάθος· οἱ πολλάκις μετὰ πολλὴν ἀκρατοποσίαν καὶ συνεχῆ, ἐκ ἐθέλοντες πιεῖν, αὐχμὸν ἐξεπίτηδες μηχανῶνται, διά τε ἱδρώτων, καὶ σιτίων ἀλμυρῶν καὶ δριμέων προσφορᾶς.

ΔΙΟΓΕΝΗΣ Η ΠΕΡΙ ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Η'.

Διογένης ὁ Σινωπεὺς ἐκπεσὼν ἐκ τῆς πατρίδος, ἐδεήθη διαφέρων τῶν πάνυ φαύλων, Ἀθήναζε ἀφίκετο, καὶ καταλαμβάνει καὶ τὸν Μεγαρέα Εὐκλείδην [1]). ὅστις δὲ ἔφυγε διὰ τὴν μετὰ Κύρου στρατείαν. τῶν μὲν ἔν ἄλλων ταχὺ κατεφρόνησεν, Ἀντισθένει δὲ ἐχρῆτο, ἐκ αὐτὸν ἔτως ἐπαινῶν, ὡς τὰς λόγους, ἃς ἔλεγεν, ἡγέμενος μόνας εἶναι ἀληθεῖς, καὶ μάλιστα δυναμένας ἄνθρωπον ὠφελῆσαι. ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένη παραβάλλων πρὸς τὰς λόγους, ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον, καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα, λοιδορῶν· αὐτῷ [2]) γὰρ ἐκ ἤκιστα φθεγγομένῳ μέγιστον. καὶ ὁ Ἀντισθένης ὑπέμενεν αὐτὸν, ταῦτα ἀκέων· πάνυ γὰρ ἐθαύμαζε τῷ ἀνθρώπῳ τὴν φύσιν. ἔλεγεν ἔν ἀμυνόμενος αὐτὶ τῆς σάλπιγγος τοῖς σφηξὶν αὐτὸν ὅμοιον εἶναι· καὶ

1) καταλαμβάνει συχνὰς ἔτι τῶν Σωκράτης ἑταίρων. καὶ γὰρ Πλάτωνα καὶ Ἀρίστιππον καὶ Αἰσχίνην καὶ Ἀντισθένην καὶ τὸν Μεγαρέα Εὐκλ. sic integrauit h. l. e codice regio Morellus in Annotat.

2) bene Casaubonus αὐτὸς αὐτῷ γὰρ, sed et vulgata recte; neque causae quicquam video, cur vulgata h. l. moueatur. *non enim sese audit tuba, tametsi acerrimum clamet.* et ita quoque Antisthenes, iudice Diogene.

γὰρ τῶν σφηκῶν εἶναι τὸν μὲν ψόφον τῶν πτερῶν, μικρὸν, τὸ δὲ κέντρον, δριμύτατον. ἔχαιρεν ἐν τῇ παῤῥησίᾳ[3]) τῷ Διογένει, ὥσπερ οἱ ἱππικοὶ, ὅταν ἵππον θυμοειδῆ λάβωσιν, ἄλλως δὲ ἀνδρεῖον καὶ φιλόπονον, ἡδέως ἥττον ἀποδέχονται τὸ χαλεπὸν τῷ ἵππῳ· τὰς δὲ νωθρὰς, καὶ βραδεῖς, μισοῦσι καὶ ἀποδοκιμάζουσιν. ἐνίοτε μὲν ἐν ἐπέτεινεν αὐτὸν, ἐνίοτε δὲ ἐπειρᾶτο ἀνιέναι· ὥσπερ οἱ χορδοτρόφοι τὰς νεύρα τείνουσι. προσέχοντες, μὴ ῥαγῇ. ἐπεὶ δὲ ἀπέθανεν ὁ Ἀντισθένης, καὶ τῶν ἄλλων ἡδέως ἡγεῖτο συνουσίας ἄξιον, μετέβη εἰς Κόρινθον, κἀκεῖ διῆγεν, ἔστε οἰκίαν μισθωσάμενος, ἔστε παρὰ ξένῳ τινὶ καταγόμενος, ἀλλ' ἐν τῷ Κρανίῳ θυραυλῶν. ἑώρα γὰρ, ὅτι πλεῖσοι ἄνθρωποι ἐκεῖ συνίασι διὰ τὰς λιμένας καὶ τὰς ἐταίρας· καὶ ὅ τι ἡ πόλις ὥσπερ ἐν τριόδῳ τῆς Ἑλλάδος ἔκειτο. δεῖν ἂν τὸν φρόνιμον ἄνδρα, ὥσπερ τὸν ἀγαθὸν ἰατρὸν, ὅπου πολλοὶ νοσοῦσιν[4]), ἐκεῖσε ἰέναι βοηθήσοντα, ἔτως ὅπου πλεῖστοι εἰσὶν ἀφρονέστεροι[5]), ἐκεῖ μάλιστα ἀποδημεῖν[6]), ἐξελέγχοντα καὶ κολάζοντα τὴν ἄνοιαν αὐτῶν. ἐπεὶ δὲ ἦκεν ὁ τῶν Ἰσθμίων χρόνος, καὶ πάντες ἦσαν ἐν Ἰσθμῷ, κατέβη καὶ αὐτός. εἰώθει γὰρ ἐπισκοπεῖν ἐν ταῖς[7]) πανηγύρεσι τὰς σπουδὰς τῶν ἀνθρώπων, καὶ τὰς ἐπιθυμίας, καὶ πρὸς ἅττινα ἀποδημοῦσι[8]), καὶ ἐπὶ τίσι

3) τῇ παῤῥησίᾳ.] sic dedi. Ven. et Mor. dant παρρησίᾳ. Cl. Koehlerus in Periculo ſuo Critico ad Dionem Chryſoſtomum, p. 109. (pone obſeruationes philologicas ad loca ſelecta ſacri codicis, editas Lugdun. Batauor. Anno 1765.) coniecit τῷ παροξυσμῷ.

4) νοσοῦσιν] V. L. Venetae dat καμνουσι.

5) f. ὅπου πλεῖστοι εἰσὶν ἄφρονες, ἢ ὅπου ἀφρονέστατοι. *vbi plurimi ſint ſtulti, aut vbi ſint inprimis ſtulti.*

6) ἀποδημεῖν] malim ἐπιδημεῖν, *verſari, morari.*

7) ἐν ταῖς πανηγύρεσι] Morell. dat τοῖς —

8) V. L. Venetae dat καὶ ὧν ἕνεκα ἀποδημοῦσι. Cl. Koehler coni. ἀποβλέπουσι.

τίσι μέγα φρονῶσι. παρέσχε δὲ καὶ αὐτὸν τῷ βυ-
λομένῳ ἐντυγχάνειν, καὶ ἔλεγε θαυμάζειν, ὅτι, εἰ
μὲν ἔφη ὀδόντας ἰᾶσθαι, πάντες ἂν αὐτῷ προσ-
ῆεσαν, οἱ δεόμενοι ὀδόντα ἐξελέσθαι· καὶ νὴ Δία εἰ
ὑπέσχετο ὀφθαλμοὺς θεραπεύειν, πάντες ἄνθρω-
ποι ὀφθαλμοὺς [9]) αὐτῷ ἐπεδείκνυον· ὁμοίως δὲ εἰ [10])
σπληνὸς ἢ ποδάγρας ἢ κορύζης εἰδέναι φάρμακον.
ἐπεὶ δὲ ἔφη παύσειν τοὺς πεισομένους αὐτῷ ἀ-
γνοίας καὶ πονηρίας καὶ ἀκολασίας, οὐδεὶς αὐτῷ
προσεῖχεν, οὐδὲ ἐκέλευσεν ἰᾶσθαι αὐτόν, οὐδὲ εἰ πο-
λὺ προσλήψεσθαι ἀργύριον ἔμελλεν· ὡς ἧττον ὑ-
τος [11]) ὑπὸ τούτων, ἢ ἐκεῖνος, ἐνοχλέμενος, ἢ χαλε-
πώτερον ἀνθρώπῳ σπληνὸς ἀνέχεσθαι οἰδοῦντος, ἢ
διεφθαρμένου ὀδόντος, ἢ ψυχῆς ἄφρονος καὶ ἀμα-
θοῦς καὶ δειλῆς καὶ θρασείας καὶ φιλησύχου καὶ ἀνε-
λευθέρου καὶ ὀργίλης καὶ λυπηρᾶς καὶ πανούργου καὶ
πάντα τρόπον διεφθαρμένης. καὶ δὴ καὶ τότε ἦν [12])
περὶ τὸν νεὼν τοῦ Ποσειδῶνος πολλῶν σοφιστῶν κακο-
δαιμόνων, βοώντων καὶ λοιδορουμένων ἀλλήλοις, καὶ

9) f. leg. πάντες ἂν τοὺς ὀφθαλμούς.

10) εἰ] sic dedi pro ἢ. Morellus eodem iure poterat et debebat adeo hoc mutare, quo paulo ante εἰ suffecit pro ἢ, quod ibi est in Veneta.

11) Casaubonus satis habet loci vitium annotare. Morellus ex H. Stephani glossulis aliquid affert, in quo magna pars veri Eum scil. testatur ad oram libri sui adnotasse ἧττον ὑπὸ τούτων ἢ ἐκείνων. cum quo paene conuenit Anglo, qui sic dedit: ὡς ἧττον ὑπὸ τούτων ἢ ἐκείνων ἐνοχλέμενοι, ἢ χαλεπώτερον ὄν. mihi videtur sic esse legendum: ὡς ἧττον αὐτοὺς (homines puta Diogenis medicina vtentes) ὑπὸ τούτων ἢ ἐκείνων ἐνοχλεμένους, ἢ χαλεπώτερον ὄν — in quo Anglo assentior. quasi minus ab his (nequitia, ignorantia et intemperantia) molestentur, quam ab illis corporis malis, (podagra, hypochondriasmo, rheumatismo) aut ac si difficilius sit.

12) f. καὶ δὴ καὶ τότε ὄχλος ἦν.

τῶν λεγομένων μαθητῶν, ἄλλος ἄλλῳ μαχομένῳ [13]· πολλῶν δὲ συγγραφέων ἀναγινωσκόντων ἀναίσθητα συγγράμματα [14]· πολλῶν δὲ ποιητῶν, ποιήματα ἀδόντων, καὶ τούτους ἐπαινέντων ἑτέρων· πολλῶν δὲ θαυματοποιῶν, θαύματα ἐπιδεικνύντων· πολλῶν δὲ τερατοσκόπων, τέρατα κρινόντων [15]· μυρίων δὲ ῥητόρων, δίκας γραφόντων· ἐκ ὀλίγων δὲ καπήλων διακαπηλευόντων, ὅταν [16]) τύχῃ ἕκαστος. εὐθὺς ἦν καὶ αὐτῷ τινὲς προσῆλθον, τῶν μὲν Κορινθίων ἀδεὶς· ἀδὲ γὰρ ἀδὲ [17]) ὤοντο, ἀδὲν ὠφεληθήσεσθαι, ὅτι καθημέραν ἑώρων αὐτὸν ἐν Κορίνθῳ. τῶν δὲ ξένων ἦσαν οἱ προσιόντες, καὶ τούτων ἕκαστος, βραχύ τι ἀκούσας ἢ εἰπών, ἀπῄει [18]), φοβούμενος τὸν ἔλεγχον. διὰ τοῦτο [19]), ἔφη ὁ Διογένης, προσεοικέναι τοῖς κυσὶ τοῖς Λάκωσι· καὶ γὰρ τούτους, ὅταν σῶσιν

13) μαχομένων margo Morell.

14) ἀναγινωσκόντων ἀναίσθητα συγγράμματα] sic recte codex regius et Veneta. Morelliana omittit ἀναίσθητα.

15) κρινόντων] Morelliana dat κινούντων, et Morellus interrogat: quis ita loquitur, et quorum hominum est τέρατα κινεῖν? scire vis, quis ita loquatur, Morelle? Dicam tibi: tu ipse sic locutus hic es; nam a te profecta est lectio absurda κινούντων. cur non aut exhibebas veram lectionem κρινόντων, quam codex tibi tuus regius praestabat, et quam tu ipse censes praeferendam? aut saltim reddidisses e Veneta κινόντων, quod aliquanto minus laborat. Vir doctus in Veneta mea etiam pro κινόντων notarat κρινόντων, idem Anglus Wolfii.

16) ὅταν] l. ὅ, τι ἂν *quodcunque*.

17) loco ἀδὲ est in Ven. ἀδὲν. facile patiar alterum ἀδὲν abesse; nam integra est eo demto oratio. sed et vulgata bene habet. non enim existimabant, ne existimabant quidem, fore, vt quid ab eo proficerent. Fatebor tamen mihi magis placere sic legi: ἀδὲ γὰρ ἀδὲν ὤοντο ὑπ' αὐτοῦ ὠφελ.

18) ita scrib. ἀπείει Mor.

19) διὰ τοῦτο] sic recte Veneta. διὰ τοῦτον Morell.

ϛῶσιν [20]) εἰς τὰς πανυγύρεις, πολλοὺς μὲν εἶναι τοὺς καταψήχοντας [21]) καὶ προσπαίζοντας, μηδένα δὲ ὠνεῖσθαι ῥᾳδίως, διὰ τὸ μὴ ἐπίϛασθαι χρῆσθαι. πυθομένου δέ τινος, εἰ καὶ αὐτὸς ἥκοι τὸν ἀγῶνα θεώμενος [22]); οὐκ, ἔφη, ἀλλ' ἀγωνιούμενος. καὶ ὃς ἐγέλασέ τε καὶ ἤρετο αὐτὸν, τίνας ἔχοι τοὺς ἀνταγωνιϛάς. ὁ δὲ, ὥσπερ εἰώθει ὑποβλέψας, τοὺς χαλεπωτάτους εἶπε καὶ ἀμαχωτάτους· οἷς οὐδεὶς δύναται ἀντιβλέψαι τῶν Ἑλλήνων· οὐ μέντοι διατρέχοντας, ἢ παλαίοντας, ἢ διαπηδῶντας, οὐδὲ πυκτεύοντας καὶ ἀκοντίζοντας καὶ δισκεύοντας, ἀλλὰ τοὺς σώφρονας [23]). τίνας μὴν; ἤρετο. τοὺς πόνους, ἔφη, μάλα ἰσχυροὺς τε, καὶ ἀνικήτους ὑπὸ ἀνθρώπων ἐμπεπληγμένων καὶ τετυφωμένων· καὶ τὰς μὲν ἡμέρας ὅλας ἐσθιόντων, ἐν δὲ ταῖς νυξὶ ῥεγχόντων· ὑπὸ δὲ ἀνδρῶν ἡττωμένους, λεπτῶν τε καὶ ἀσάρκων, καὶ τῶν σφηκῶν, τὰς γαϛέρας μᾶλλον ἐντετμημένων. ἢ σὺ οἴει τούτων τι ὄφελος εἶναι τῶν τὰς μεγάλας κοιλίας ἐχόντων, οὓς ἐχρῆν περιαγαγόντας καὶ περικαθάραντας ἐκβαλεῖν, μᾶλλον δὲ καταθύσαντας καὶ κατατεμόντας εὐωχεῖσθαι· καθάπερ οἶμαι τὰ τῶν κητῶν κρέα [24]) τοὺς νοῦν ἔχοντας, ἕψοντας ἐξ ἁλὸς [25]), καὶ θαλάσσης, τὴν δὲ πιμελὴν τήξαντας,

20) ϛῶσιν] *prostent venales.*

21) καταψήχοντας] sic codex regius. Ven. et Mor. dant καταψύχοντας.

22) θεασομένους margo Morell.

23) pro σώφρονας dat V. L. Ven. et margo Morell. σωφρονίζοντας. quod vtique melius, postquam tot participia praecesserunt.

24) κρέα] scil. εὐωχεῖσθαι, quod e proximo est repetendum.

25) Morelliana dat ἔχοντας ἁλὶ *, et Anglus addebat καταπάσσοντας. sed primum sublestae fidei est ἁλὶ, profectum a Morelli ingenio; nam in Veneta est ἁλός. deinde tametsi καταπάσσειν bene cum sale conuenit, minus tamen

ὥσπερ ἐν Πόντῳ παρ' ἡμῖν τὸ τῶν δελφίνων ϛέαρ, ἀλείφεσθαι τοὺς δεομένους. οἶμαι γὰρ αὐτοὺς τῶν ὑῶν ἥττονα ψυχὴν ἔχειν [26]). ὁ δὲ ἀνὴρ ὁ γενναῖος ἡγεῖται τοὺς πόνους ἀνταγωνιϛὰς μεγίϛους, καὶ τούτοις ἀεὶ φιλεῖ μάχεσθαι καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν· οὐχ ὑπὲρ σελίνου, ὥσπερ αἱ αἰξὶ [27]), οὐδὲ κοτίνου καὶ πίτυος, ἀλλὰ ὑπὲρ εὐδαιμονίας καὶ ἀρετῆς παρὰ πάντα τὸν βίον· οὐχ ὅταν Ἠλεῖοι προείπωσιν, ἢ Κορίνθιοι [28]), ἢ τὸ κοινὸν τῶν Θετταλῶν, μηδένα αὐτὸν [29]) φοβούμενον, μηδὲ εὐχόμενον ἄλλῳ λαχεῖν· ἀλλὰ

tamen cum aqua marina. Cur non ante omnia vetustas editiones consulunt, qui veteres auctores edunt, praesertim graecos. In Veneta est ἔχοντας, ἕψοντας ἁλὸς, vnde facillime veram lectionem elicias τοὺς νοῦν ἔχοντας, ἕψοντας ἐξ ἁλὸς καὶ θαλάσσης. quemadmodum faciunt homines recte, me quidem iudice, sapientes, qui carnes quidem cetorum comedunt, posteaquam eas ex sale et aqua marina coxerunt.

26) locum hunc ab omnibus praeteritum sic corrigo: οἶμαι γὰρ αὐτοὺς τῶν ὑῶν οὐχ ἧττον ἀνθ' ἁλὸς τὴν ψυχὴν ἔχειν. *existimo enim illos* (gulosos, helluones) *non minus* (h. e. aeque) *atque porcos habere animam pro sale.* quo de prouerbio actum est ad Petronium.

27) αἰξὶ] sic Henr. Valesius, Emendat. p. 50. quae emendatio confirmatur a Nostro, p. 140. vlt. ed. Mor. Ven. et Mor. dant γυναῖκες.

28) In Veneta est κορινθίων. Transpone modo vocab. κοινὸν ad hunc modum: ἢ κορινθίων κοινὸν, ἢ τὸ τῶν θεττ. congreditur his cum aduersariis, semper et vbique, non tum solummodo, cum Elei ludos per Graeciam edicunt apud se celebrandos, missis quacunque praeconibus, aut cum commune Corinthiorum Thessalorumue hoc facit.

29) pro αὐτὸν Anglus mauult αὐτῶν. potest fieri, vt rectum viderit; sed potest item rursus fieri, vt falleretur; ecquis enim nouit, quid desideretur, et desiderari h. l. pauca quaedam certum est. f. ὧν (ἀνταγωνιϛῶν) μηδένα ὄψει αὐτὸν φοβούμενον. quorum aduersariorum (laborum puta et molestiarum) neminem tu videbis ab eo deuitari et

ἀλλὰ παρακαλούμενον [30]) ἐφεξῆς ἅπαντας, καὶ λιμῷ φιλονεικοῦντας [31]), καὶ ψύχει, καὶ δίψην ὑπομένοντας, κἂν δέῃ μαστιγούμενον καρτερεῖν, καὶ τεμνόμενον καὶ καιόμενον, καὶ μηδὲν μᾶλλον ἐνδιδόντα· πενίαν δὲ καὶ φυγὴν καὶ ἀδοξίαν, καὶ τὰ τοιαῦτα, μηδὲν ἡγεῖσθαι δεινὸν αὐτῷ, ἀλλὰ πάνυ κοῦφα· καὶ πολλάκις παίζειν ἐν αὐτοῖς τὸν ἄνδρα τὸν τέλειον, ὥσπερ οἱ παῖδες τοῖς ἀστραγάλοις καὶ ταῖς σφαίραις ταῖς ποικίλαις. καὶ γὰρ, δοκοῦσι μὲν [32]), ἔφη, δεινοὶ καὶ ἀνυπόστατοι πᾶσι τοῖς κακοῖς οἱ ἀνταγωνισταὶ οὗτοι· ἐὰν δέ τις αὐτῶν καταφρονήσῃ καὶ προσίῃ θαῤῥῶν, ὄψεται δειλοὺς καὶ ἀδυνάτους, ἄνδρας ἰσχυροὺς [33]) κρατῆσαι· μάλιστα τοῖς κυσὶν ὁμοίως, οἱ τοὺς μὲν φεύγοντας ἐπιδιώκουσι καὶ δάκνουσι καὶ διέσπασαν οὓς κατέλαβον· τοὺς δὲ ἐπιόντας, καὶ μαχομένους, φοβοῦνται καὶ ἀναχωροῦσι· τελευτῶντες δὲ σαίνουσιν, ἐπειδὴ συνήθεις γένωνται [34]). οἱ δὲ πολλοὶ ἄνθρωποι ἐκπελπηγμένοι αὐτοὺς, καὶ ἀείποτε φεύγοντες, κρίνουσιν [35]), οὐδέποτε ἐναντίον βλέποντες. καὶ

et exhorreri; neque videbis eum deos rogantem et Fortunam, vt se cum alio quopiam aduersariorum genere committant. Cl. Koehler coni. μηδένα αὐτὸν ὄψει φοβ. μηδὲ τυχόντων ἄλλων λαχ.

30) παρακαλούμενον] Anglus vult προκαλ. sed vulgata idem dicit.

31) assentior Anglo in φιλονεικοῦντα et ὑπομένοντα. sed et praeterea verba sic sunt constituenda; λιμῷ φιλονεικοῦντα, καὶ ψύχει, καὶ δίψῃ, καὶ ὑπομένοντα κἂν δέῃ. In Veneta est καὶ δίψης ὑπομ. vnde effeci καὶ δίψῃ, καὶ ὑπομένοντα. nam ς et sigla καὶ repraesentans in libris vetustis, tam calamo exaratis, quam formis stanneis excusis, inter se sunt tam similes, vt saepe discerni nequeant. Margo Morell. dat δίψος.

32) μὲν] sic recte Anglus, μηδὲν Morell. et Ven.

33) f. ἀνδρὸς ἰσχυροῦ.

34) γένωνται] sic recte Veneta. γένονται Morell.

35) κρίνουσιν] recte habet. iudicant, iudicium de laboribus suum

καὶ γὰρ δὴ, ὥσπερ οἱ πυκτεύειν εἰδότες, ἐὰν μὲν προλείβωσι τὸν ἀνταγωνιστὴν, ἐ παύονται τὴν ἀρχὴν [36]), πολλάκις δὲ καὶ ἐπέβησαν [37]) αὐτοὶ καταβαλόντες, ἐὰν δὲ ἀποχωρῶσι φεύγόμενοι, τότ' ἰσχυροτάτας πληγὰς λαμβάνουσιν· ἔτως ἐὰν μὲν τις τὰς πόνες δέχηται καταφρονῶν, καὶ πλησιάζῃ προθύμως, ἐ πάνυ ἰσχύσι πρὸς αὐτόν· ἐὰν δὲ ἀφιστῆται καὶ ἀναχωρῇ, τῷ παντὶ μείζες καὶ σφοδρότεροι δοκῶσιν. τῦτο δ' ἂν ἴδῃς, καὶ ἐπὶ τῦ πυρὸς γινόμενον· ἐὰν μὲν σφόδρα ἐπιβῇς, ἔσβεσας τὸ πῦρ· ἐὰν δὲ ὑποπτεύων καὶ δεδοικὼς, σφόδρα ἐναύθης· ὥσπερ ἐνίοτε παίζοντες οἱ παῖδες τῇ γλώττῃ τὸ πῦρ σβεννύουσιν. ἔτοι μὲν ἔν οἱ ἀνταγωνισταὶ σχεδὸν ὁμοιοί εἰσι τοῖς παμμάχοις, παίοντές τε καὶ ἄγχοντες, καὶ διασπῶντες, καὶ ἀποκτεννύοντες [38]) ἐνίοτε. ἑτέρα δὲ δεινοτέρα μάχη καὶ ἀγὼν ἐστὶν ὁ μπρὸς [38]), ἀλλὰ πολὺ τύτῳ μείζων καὶ ἐπικινδυνότερος, ὁ πρὸς τὴν ἡδονὴν, ἐκ ἀντικρυς βιαζομένην, ἀλλ' ἐξαπατῶσαν καὶ γοητεύσασαν δεινὰ φαρμάκοις· ἐχ οἵαν Ὅμηρός φησιν·

Αὖθις

suum ferunt, affirmantes eos intolerabiles et inuictos aduersarios esse. Cl. Koehler. vult: τὰς δὲ πολλὰς ἀνθρώπους ἐκπεπληγμένους ὄντας καὶ ἀείποτε φεύγοντας νομίζουσιν, ὡς ἀδέποτε ἐναντίον βλέποντας.

36) ἐ παίονται τὴν ἀρχὴν. sic leg. prorsus nullas auferunt plagas. Koehler. coni.: ἐ παύονται τῶν πληγῶν — αὐτὸν —

37) ἐπέβησαν] imo vero ἀπέβησαν. abscedunt ex arena, aduersario a se deiecto. idem est ἀποβαίνειν hic, quod ἀποχωρεῖν paulo post.

38) In Veneta est ἀποκτεινύοντες, et hoc inueni quoque saepenumero in Augustano Demosthenis codice illo vetusto. perinde est, vtrum sic legas, an ἀποκτιννύντες.

38b) μικρὸς] imo vero μικρὸν. non parum, sed multum illo formidabilior.

Αὖθις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη,
Ὀξέσι δὲ πελέκεσσι καὶ ἀξίναις ἐμάχοντο,
Καὶ ξίφεσι μεγάλοις.

Οὐχ οὗτος ὁ τρόπος τῆς μάχης. οὐ γὰρ ἄντικρυς βιάζεσθαι [39]) τὴν ἡδονὴν, ἀλλ' ἐξαπατᾶν καὶ γοητεύειν δεινοῖς φαρμάκοις, ὥσπερ Ὅμηρός φησι τὴν Κίρκην τοὺς τοῦ Ὀδυσσέως ἑταίρους καταφαρμάξαι. κἄπειτα τοὺς μὲν σῦς αὐτῶν, τοὺς δὲ λύκους γενέσθαι, τοὺς δὲ ἄλλα ἅττα θηρία. τοιοῦτόν ἐστι τὸ χρῆμα τῆς ἡδονῆς· οὐχ ἁπλῶς ἐπιβουλεύουσιν [40]), ἀλλὰ πάντα τρόπον, διά τε τῆς ὄψεως καὶ ἀκοῆς, ἢ ὀσφρήσεως, ἢ γεύσεως, ἢ ἁφῆς, ἔτι δὲ σιτίοις καὶ ποτοῖς καὶ ἀφροδισίοις, διαφθεῖραι πειρωμένης, ὁμοίως μὲν ἐγρηγορότας, ὁμοίως δὲ κοιμωμένους. οὐδὲ γὰρ ὥσπερ πρὸς τοὺς πολεμίους εἶναι [41]) φύλακας καταστήσαντας καθεύδειν· ἀλλὰ μάλιστα δὴ πάντων τότε ἐπιτίθεται, τὰ μὲν αὐτῷ τῷ ὕπνῳ μαραίνουσα καὶ δουλουμένη, τὰ δὲ ἐπιπέμπουσα ὀνείρατα πανοῦργα καὶ ἐπίβουλα, ἀναμιμνήσκοντα αὐτῆς. ὁ μὲν οὖν πόνος διὰ τῆς ἁφῆς γίνεται ὡς πολὺ [42]), καὶ ταύτῃ πρόσεισιν· ἡ δὲ ἡδονὴ κατὰ πᾶσαν αἴσθησιν, ὁπόσας ἄνθρωπος αἰσθήσεις ἔχει, καὶ δεῖ τοῖς μὲν πόνοις ἁπαντᾷν καὶ συμπλέκεσθαι, τὴν δὲ ἡδονὴν φεύγειν ὡς πορρωτάτω, καὶ μηδὲν ὅλως, ἢ τἀναγκαῖα ὁμιλεῖν. καὶ ἐνταῦθα [43]) ὁ κράτιστος

39) βιάζεσθαι] subaudi ἔφη.

40) ἐπιβουλεύουσιν] Casaubonus vult ἐπιβουλευούσης, quod Morellus e codice regio confirmat. comprobo, sed et τιν' (scilicet τρόπον, pro κατά τινα τρόπον) addo, quia sequitur ἀλλὰ πάντα τρόπον.

41) εἶναι] l. ἐστί. persaepe haec duo inter se permutantur, quia siglae, quibus illorum vocabulorum quodque significatur, inter se sunt simillimae.

42) f. ὡς τὸ πολὺ.

43) καὶ ἐνταῦθα] scil. ἐξετάζεται aut ὁρᾶται. *et hic*, in fuga voluptatum, *cernitur vir optimus.*

καὶ γὰρ δὴ, ὥσπερ οἱ πυκτεύειν εἰδότες, ἐὰν μὲν προλαβόντες τὸν ἀνταγωνιστὴν, ἐ παύονται τὴν ἀρχὴν [36]), πολλάκις δὲ καὶ ἐπέβησαν [37]) αὐτοὶ καταβαλόντες, ἐὰν δὲ ἀποχωρῶσι φυβέμενοι, τότ' ἰσχυροτάτας πληγὰς λαμβάνουσιν· ὅτως ἐὰν μὴν τις τὰς πόνες δέχηται καταφρονῶν, καὶ πλησιάζῃ προθύμως, ἐ πάνυ ἰσχύσει πρὸς αὐτόν· ἐὰν δὲ ἀφιστῆται καὶ ἀναχωρῇ, τῷ παντὶ μείζες καὶ σφοδρότεροι δοκῶσιν. τῦτο δ' ἂν ἴδῃς, καὶ ἐπὶ τῦ πυρὸς γινόμενον· ἐὰν μὲν σφόδρα ἐπιβῇς, ἔσβεσας τὸ πῦρ· ἐὰν δὲ ὑποπτεύων καὶ ἐθοικὼς, σφόδρα ἐκαύθης· ὥσπερ ἐνίοτε παίζοντες οἱ παῖδες τῇ γλώττῃ τὸ πῦρ σβεννύουσιν. ὅτοι μὲν ἓν οἱ ἀνταγωνισταὶ σχεδὸν ὅμοιοί εἰσι τοῖς παμμάχοις, παίοντές τε καὶ ἀγχόντες, καὶ διασπῶντες, καὶ ἀποκτεννύοντες [38]) ἐνίοτε. ἑτέρα δὲ δεινοτέρα μάχη καὶ ἀγὼν ἔστιν ἐ μικρὸς [38b]), ἀλλὰ πολὺ τύτῳ μείζων καὶ ἐπικινδυνότερος, ὁ πρὸς τὴν ἡδονὴν, ἐκ ἀντικρυς βιαζομένην, ἀλλ' ἐξαπατῶσαν καὶ γοητεύσασαν δεινὰ φαρμάκοις· ἐχ οἵαν Ὅμηρός φησιν·

Αὖθις

suum ferunt, affirmantes eos intolerabiles et inuictos aduersarios esse. Cl. Koehler. vult: τὰς δὲ πολλὰς ἀνθρώπους ἐκπεπληγμένας ὄντας καὶ ἀείποτε φεύγοντας κολάζουσιν, ὡς ἀδέποτε ἐναντίον βλέποντας.

36) ἐ παίονται τὴν ἀρχὴν.] sic leg. prorsus nullas auferunt plagas. Koehler. coni.: ἐ παύονται τῶν πληγῶν — αὐτὸν —

37) ἐπέβησαν] imo vero ἀπέβησαν. abscedunt ex arena, aduersario a se deiecto. idem est ἀποβαίνειν hic, quod ἀποχωρεῖν paulo post.

38) In Veneta est ἀποκτεινύοντες, et hoc inueni quoque saepenumero in Augustano Demosthenis codice illo vetusto. perinde est, vtrum sic legas, an ἀποκτιννύντες.

38b) μικρὸς] imo vero μικρὸν. non parum, sed multum illo formidabilior.

Αὖθις δὲ ἐριμῆα μάχη παρὰ νηυσὶν ἐτύχθη,
Ὀξέσι δὲ πολέεσσι καὶ ἀξίνῃς ἐμάχοντο,
Καὶ ξίφεσι μεγάλοις.

25. Οὐχ ἕτερος ὁ τρόπος τῆς μάχης. ἢ γὰρ ἀντικρὺς βιάζεσθαι [39]) τὴν ἡδονὴν, ἀλλ' ἐξαπατᾶν καὶ γοητεύειν δεινοῖς Φαρμάκοις, ὥσπερ Ὁμηρός φησι τὴν Κίρκην τοὺς τῶ Ὀδυσσέως ἑταίρους καταφαρμάξαι.
30. κἄπειτα τοὺς μὲν σῦς αὐτῶν, τοὺς δὲ λύκους γενέσθαι, τοὺς δὲ ἄλλα ἄττα θηρία. τοιοῦτόν ἐστι τὸ χρῆμα τῆς ἡδονῆς· οὐχ ἁπλῶς ἐπιβουλεύουσιν [40]), ἀλλὰ πάντα τρόπον, διά τε τῆς ὄψεως καὶ ἀκοῆς,
35. ἢ σοφρήσεως, ἢ γεύσεως, ἢ ἁφῆς, ἔτι δὲ σιτίοις καὶ ποτοῖς καὶ ἀφροδισίοις, διαφθεῖραι πειρωμένης, ὁμοίως μὲν ἐγρηγορότας, ὁμοίως δὲ κοιμωμένους. ἐδὲ γὰρ ὥσπερ πρὸς τοὺς πολεμίους εἶναι [41]) φύλα-
40. κας καταστήσαντας καθεύδειν· ἀλλὰ μάλιστα δὴ πάντων τότε ἐπιτίθεται, τὸ μὲν αὐτῷ τῷ ὕπνῳ μαραίνουσα καὶ βλαπτομένη, τὰ δὲ ἐπιπέμπουσα ὀνείρατα πανοῦργα καὶ ἐπίβουλα, ἀναμιμνήσκοντα αὐ-
45. τῆς. ὁ μὲν ἂν πόνος διὰ τῆς ἁφῆς γίνεται ὡς πολὺ [42]), καὶ ταύτῃ πρόσεισιν· ἡ δὲ ἡδονὴ κατὰ πᾶσαν αἴσθησιν, ὁπόσας ἄνθρωπος αἰσθήσεις ἔχει, καὶ δεῖ τοῖς μὲν πόνοις ἁπάντων καὶ συμπλέκεσθαι, τὴν δὲ ἡδονὴν φεύγειν ὡς παιδικώτατον, καὶ μηδὲν
5. ὅλως, ἢ τἀναγκαῖα ὁμιλεῖν. καὶ ἐνταῦθα [43]) ὁ κρά-

τιστος

39) βιάζεσθαι] subaudi ἔφη.

40) ἐπιβουλεύουσιν] Casaubonus vult ἐπιβουλεύσης, quod Morellus e codice regio confirmat. comprobo, sed et τινὰ (scilicet τρόπον, pro κατά τινα τρόπον) addo, quia sequitur ἀλλὰ πάντα τρόπον.

41) εἶναι] l. ἐγεῖ. persaepe haec duo inter se permutantur, quia siglae, quibus illorum vocabulorum quodque significatur, inter se sunt simillimae.

42) f. ὡς τὸ πολύ.

43) καὶ ἐνταῦθα] scil. ἐξετάζεται aut ὁρᾶται. *et hic*, in fuga voluptatum, *cernitur vir optimus.*

τισος αὐτῆς· κρείττους δὲ σχεδὸν, ὃς ἂν δύνηται πλεῖον ἀποφεύγειν τὰς ἡδονάς. ἐδὲ γάρ ἐστιν, ἡδονῇ συνόντα, ἢ καὶ πειρώμενον συνεχῶς [44]), μὴ ὑπ' αὐτῶν ἁλῶναι. ὅταν ἓν κρατήσῃ καὶ περιγένηται τῆς ψυχῆς τοῖς φαρμάκοις, γίνεται τὸ λοιπὸν ἤδη τὸ τῆς Κίρκης, ἢ πλήξασα ῥαδίως τῇ ῥάβδῳ, εἰς συφεόν τινα ἐλαύνει καὶ καθειργνυσι. καὶ τὸ λοιπὸν αὐτ' ἐκεῖνο ἤδη ὁ ἄνθρωπος διατελεῖ, σῦς ὤν, ἢ λύκος [45]). γίνονται δὲ καὶ ὄφεις, ὑφ' ἡδονῆς ποικίλοι καὶ ὀλέθριοι καὶ ἄλλ' ἄττα ἑρπετά· καὶ θεραπεύουσιν ἐκείνην ἀεὶ περὶ [46]) τὰς θύρας ἰόντες· καὶ ἐπιθυμοῦντες μὲν τῆς ἡδονῆς, καὶ λατρεύοντες ἐκείνῃ, μυρίας δὲ ἄλλας πόνους ἔχοντες. ἡ γὰρ ἡδονὴ κρατήσασα αὐτῶν καὶ παραλαβοῦσα, τοῖς πόνοις παραδίδωσι τοῖς ἐχθίστοις καὶ χαλεπωτάτοις. τοῦτον δὴ τὸν ἀγῶνα [47]), ἐμοὶ καρτερὸν ὄντα [48]), καὶ παράδοξον πρὸς ἡδονὴν καὶ πόνον, οὐδεὶς προσέχει τῶν ἀθλητῶν ἀνθρώπων· ἀλλὰ τοῖς ἀνδραποδώδεσι τοῖς πηδῶσι, καὶ τρέχουσι, καὶ χορεύουσι. οὐδὲ γὰρ τὸν Ἡρακλέα ἑώρων ἀγωνιζόμενον καὶ πονοῦντα, οὐδὲ ἔμε-

44) f. πειρώμενον συνεῖναι συνεχῶς.

45) σῦς ὂν ἢ λύκος] facile occurrit ὤν, quod etiam vir doctus in Veneta mea adſcripſit; ſed diligentius cogitanti viſum eſt ὄνος pro ὄν ſubſtituere, porcus, aſinus, aut lupus.

46) περὶ] malim παρὰ.

47) poſt ἀγῶνα deeſſe ἀγωνιζομένῳ aut ſimile quod aliud ad ſententiam, Caſaubonus iam dudum vidit, re ipſa docente. ſed in ἀθλίων (vt etiam V. L. Ven. dat) vel θεατῶν pro ἀθέτων, haud accedo ei. Scholiaſtes graecus apud Morellum bene vocabulum ἄθετος explicat. de ἀθεσία, ni fallor, ipſemet ad Polybium egi. ἄθετος eſt quisquis nil quicquam penſi habet, ſiue ſacrum, ſiue profanum, nulla iura, nullas poenas reueretur, nil cogitat exitus rerum.

48) καρτερῶντι καὶ παραβαλλομένῳ margo Morell.

ἔμελεν αὐτοῖς 49)· ἀλλὰ καὶ τότε ἴσως ἀθλη-
35. τάς τινας ἐθαύμαζον, Ζῆθον καὶ Κάλαϊν καὶ Πη-
λέα, καὶ ἄλλους τοιούτους δρομέας τινὰς, καὶ πα-
λαιστάς· καὶ τὸν μὲν ἐπὶ κάλλει, τὸν δὲ ἐπὶ πλέ-
τῳ ἐθαύμαζον, καθάπερ Ἰάσονα, καὶ Κινύραν.
40. περὶ δὲ τοῦ Πέλοπος ἔλεγον, ὅτι καὶ τὸν ὦμον ἐλε-
φαντινον ἔχοι· ὥσπερ τι ὄφελος ἦν ἀνθρώπῳ 50)
χρυσῆν χεῖρα ἢ ἐλεφαντίνην ἔχοντος; ἢ ὀφθαλμὸς
ἀδάμαντος, ἢ σμαράγδου, τὴν δὲ ψυχὴν ἐκ εγίνον-
45. σκον αὐτῷ ὁποίαν τινὰ εἶχε. τὸν δὲ Ἡρακλέα πα-
νῆται μὲν καὶ ἀγωνιζόμενον ἠλέγν, καὶ ἔφασαν
αὐτὸν ἀνθρώπων ἀθλιώτατον· καὶ διὰ τοῦτο ἄθλους
ἐκάλεν τοὺς πόνους αὐτοῦ καὶ τὰ ἔργα, ὡς τὸν ἐπί-
5. πονον βίον ἄθλιον· ἀποθανόντα δὲ πάντων μάλιστα
τιμῶσι, καὶ θεὸν νομίζουσι, καὶ φασὶν Ἥβῃ συνοι-
κεῖν· καὶ τοῦτο πάντες εὔχονται, ὅπως αὐτοὶ μὴ
ἔσονται ἄθλιοι, τῷ πλεῖστα ἀθλήσαντι. τὸν δὲ
10. Εὐρυσθέα οἴονται κρατεῖν τότε καὶ ἐπιτάττειν, οὐ
ἀδενὸς ἄξιον νενομίκασιν· ἀδὲ εὔξατο, ἀδὲ ἔθυσεν ἀ-
δέποτε ἀδεὶς Εὐρυσθεῖ· πλὴν ὅ γε Ἡρακλῆς περιῆλ-
τὴν Εὐρώπην, καὶ τὴν Ἀσίαν ἅπασαν, ἀδὲν ὧν τού-
15. τοις ὁμοιος τοῖς ἀθληταῖς. πῶ γὰρ ἂν ἠδυνήθη
προσελθεῖν, σάρκας τοσαύτας ἔχων, ἢ τοσούτων
πρεῶν δεόμενος, ἢ βαθὺν ὕπτως ὕπνον καθεύδων;
ἀλλὰ ἄγρυπνος καὶ λεπτὸς, ὥσπερ οἱ λέοντες· ὀξὺ
20. βλέπων, ὀξὺ ἀκούων, ὅτε χειμῶνος, ὅτε πνεύματος
φροντίζων· ἀδὲν δεόμενος στρωμάτων, ἢ χλανίδων,
ἢ ταπήτων· ἀλλὰ δέρμα ἀμπεχόμενος ὑπαρὸν, λι-
μῷ πνέων 51), τοῖς ἀγαθοῖς βοηθῶν, τοὺς κακοὺς κο-
λάζων.

49) f. ἀδὲ γὰρ, ὅτε τὸν Ἡρακλέα — ἀδὲν ἔμελεν αὐτοῖς.

50) ὄφελος ἦν ἀνθρώπῳ] vnde lectionem hanc habuerit Morellus, reticuit. nam in Veneta est ὄφελος ἄνιοθέν πῳ χρ. quod Morellus merito in oram reiecit.

51) Cl. Koehler. pro πνέων leg. πλέως.

λάζων. καὶ Διομήδη δὲ τὸν Θρᾷκα, ὅτι ποικίλην εἶχεν ἐσθῆτα, καὶ καθῆστο ἐπὶ θρόνου πίνων δι' ἡμέρας καὶ τρυφῶν, καὶ τοὺς ξένους ἠδίκει, καὶ τοὺς ὑφ' αὑτὸν, πωλεῖν προσημένους[52]), καὶ ἵππον τρέφειν, τῷ ῥοπάλῳ παίων διήφθειρεν, ὥσπερ πίθον παλαιόν. καὶ τὸν Γηρυόνην πλείους[53]) βοῦς ἔχοντα, καὶ τὸν[54]) πρὸς ἑσπέρας ἁπάντων πλουσιώτατόν τε καὶ ὑπερηφανώτατον, αὐτόν τε ἀπέκτεινεν καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς βοῦς ἀπήλασε. τὸν δὲ Βούσιριν εὑρὼν πάνυ ἐπιμελῶς ἀθλοῦντα, καὶ δι' ὅλης ἡμέρας ἐσθίοντα, καὶ φρονοῦντα μέγιστον ἐπὶ πάλῃ, διέῤῥηξεν ἐπὶ τὴν γῆν καταβαλὼν, ὥσπερ τοὺς θυλάκους τοὺς σφόδρα γέμοντας. καὶ τῆς Ἀμαζόνος ἔλυσε τὴν ζώνην, θηρωμένης αὐτῷ καὶ νομιζούσης, ὅτι τῷ κάλλει κρατήσει. συγγενόμενος δὲ καὶ δείξας[55]), ὅτι οὐκ ἂν ποτε ἡττηθείη κάλλει, ἐφ' ᾧ μείνειε[56]) χάριν γυναικὸς, πρὸς τῶν αὐτοῦ κτημάτων, ἀφῆκε. τὸν δὲ Προμηθέα σοφιστήν τινα, ἐμοὶ δοκεῖν, καταλαβὼν ὑπὸ δόξης ἀποθνήσκοντα, καὶ νῦν μὲν οἰδοῦντος αὐτῷ καὶ αὔξοντος τοῦ ἥπατος, ὁπότε ἐπαινοῖτο· πάλιν δὲ φθίνοντος, ὁπότε ψέγοιεν αὐτόν· ἐλεήσας καὶ φοβήσας, ἔπαυσε τοῦ τύφου, καὶ τῆς φιλονεικίας· καὶ ἔτως ὤχετο, ὑγιᾶ ποιή-

52) ὑφ' αὑτὸν, πωλεῖν προσημένους] sic dedi. *tam peregrinos, quam ſuos cives, iniuriis vexabat. qui decreſſet, ciues et inquilinos vendere pro mancipiis, et numis inde redactis ingentem exercitum alere.* Ven. et Mor. dant πωλεῖν ἠρημένον, et V. L. Venetae καὶ πολλὴν ἵππον τρέφων. margo Morell. πωλοδαμεῖν. πωλεῖν εἰρημένον, καὶ ἵππους Koehler.

53) πλείους] malim πλείους, vt ſtatim inſequitur.

54) τὸν] imo vero τῶν.

55) τε καὶ δείξας, ὅτι Koehler.

56) μείνειε] ſic codex regius, idem pro πρὸς dat πρὸ adhuc vitioſius. lege πρόσω. *non enim Hercules facile, in gratiam mulierculae, manſeris procul a ſuis finibus.*

ποιήσας. ταῦτα μὲν δὴ ἔπραττεν, οὐδὲν Εὐρυσθεῖ χαριζόμενος. τὰ δὲ μῆλα, ἃ χρύσεα ἐνόμισε [57]), λαβὼν ἔδωκεν ἐκείνῳ, τὰ τῶν Ἑσπερίδων. οὐδὲν γὰρ αὐτῶν ἐδεῖτο· ἀλλ' ἐκέλευσε κλαίειν ἔχοντα. μηδὲν γὰρ ὄφελος εἶναι ἀνθρώπῳ χρυσῶν μήλων· μηδὲ γὰρ τοῖς Ἑσπερίσι γενέσθαι. πέρας δὲ, ἐπεὶ βραχύτερος ἐγίνετο αὐτῷ καὶ ἀσθενέστερος, φοβέμενος, μὴ οὐ δύνηται ζῆν ὁμοίως, ἔπειτα, οἶμαι, νόσῳ τινὸς καταλαβούσης, κάλλιστα ἀνθρώπων ἐθεράπευσεν αὐτὸν, πυρὰν νήσας ἐν τῇ Οἴτῃ [58]) ξύλων ὡς ξηροτάτων, καὶ δείξας, ὅτι οὐδὲν ἄξιον ἐφρόντιζε τοῦ πυρετοῦ πρότερον δὲ, ἵνα [59]) μὴ δοκῇ σεμνὰ καὶ μεγάλα ἔργα διαπράττεσθαι, τὴν κόπρον ἀπελθὼν τὴν πεπιμένην παρ' Αὐγείου, πολύ τι χρῆμα πολλῶν ἐτῶν, ἐκείνην ἐκφορεῖ [60]) καὶ ἐκάθηρεν. ἡγεῖτο γὰρ οὐχ ἧττον αὐτῷ διαμαχητέον εἶναι, καὶ πολεμητέον πρὸς τὴν δόξαν, ἢ τὰ θηρία, καὶ τῶν ἀνθρώπων τοὺς κακούργους. ταῦτα δὲ λέγοντος τοῦ Διογένους, περιέσχοντο πολλοὶ, καὶ πάνυ ἡδέως ἠκροῶντο τῶν λόγων. ἐννοήσας δὲ, οἶμαι, τὸ τοῦ Ἡρακλέους, τοὺς μὲν λόγους ἀφῆκε, χαμαὶ δὲ καθεζόμενος, ἐποίει τι τῶν αὐδάξων. εὐθὺς δὴ πολλοὶ κατεφρόνουν αὐτοῦ, καὶ μαίνεσθαι ἔφασαν· καὶ πάλιν ἐθορύβουν οἱ σοφισταὶ, καθάπερ ἐν τέλματι βάτραχοι, τὸν ὕδρον οὐχ ὁρῶντες.

57) f. ἐνόμισαν *vulgo* habebant; nisi vulgatam ad Eurystheum referimus.

58) αὐλῇ margo Mor. et paulo post δόξας.

59) videtur in hac regione μόνον desiderari; visum idem fuit interpreti quoque.

60) ἐξεφόρει ob sequens ἐκάθηρεν.

ΔΙΟΓΕΝΗΣ, Η ΙΣΘΜΙΚΟΣ.

ΛΟΓΟΣ Θ'.

Ἰσθμίων ὄντων, κατέβη Διογένης εἰς τὸν Ἰσθμὸν, ὡς ἔοικεν, ἐν Κορίνθῳ διατρίβων. παρετύγχανε δὲ ταῖς πανηγύρεσιν, οὐχ ὥσπερ οἱ πολλοὶ ἕνεκα, βελόμενοι θεάσασθαι τοὺς ἀθλητὰς, καὶ ἵνα ἐμπλησθῶσιν· ἀλλ' ἐπισκοπῶν, οἶμαι, τοὺς ἀνθρώπους καὶ τὴν ἄνοιαν αὐτῶν. ᾔδει γὰρ, ὅτι φανερώτατοί εἰσιν ἐν ταῖς ἑορταῖς καὶ ταῖς πανηγύρεσιν· ἐν δὲ πολέμῳ καὶ στρατοπέδῳ λανθάνουσι μᾶλλον, διὰ τὸ κινδυνεύειν φοβεῖσθαι [1]). καὶ μέντοι ἐνόμιζε τούτους εὐιεστωτέρους εἶναι· καὶ τὰ νοσήματα [2]) τοῦ σώματος, ὅταν ἔκδηλα ᾖ, ῥᾷον θεραπεύεσθαι ὑπὸ τῶν ἰατρῶν, ἢ μέχρις ὑποσέλεται [3])· τοὺς μέντοι ἀμελουμένους τῶν ἀνθρώπων ἐν ταῖς τοιαύταις διατριβαῖς τάχιστα ἀπόλλυσθαι. διὰ ταῦτα παρέβαλλεν εἰς τὰς πανηγύρεις. ἔλεγε δὲ ἐπισκώπτων, ὅτι ἐπιπλήττοιτο τὸ τοῦ κυνός [4]). (διὰ γὰρ χαλεπότητα [5]) καὶ τοῦτο [6]) λοιδορεῖσθαι, κύνα αὐτὸν ἀπεκάλεν·) τοὺς

1) f. διὰ τὸ κινδυνεύειν ἢ τὸ φοβεῖσθαι, et sic fere interpres quoque.

2) Morellus e regio codice profert, et vulgatae praefert καὶ γὰρ τὰ νοσήματα.

3) ὑποσέλεται] vnde hoc? Morellus non indicauit. in Veneta est ὑποσέλη.

4) f. ἔλεγε δὲ ἑαυτῷ ἐπισκώπτων, ὅτι ὀρθῶς ἐπιπλήττοιτο τὸ τοῦ κυνὸς [scil. ὄνομα vel ὄνειδος] dictitare solebat, iocans ipse in semet, recte se canem appellari, eoque conuicio veluti saxo quodam tundi.

5) διὰ γὰρ τὴν χαλεπ. profert Morellus e codice regio, et praefert vulgatae.

6) τοῦτο] l. τὸ, quomodo etiam vir doctus in Veneta mea adscripsit.

τὰς γὰρ κύνας ἔπεσθαι μὲν εἰς τὰς πανηγύρεις, μηδένα δὲ ἀδικεῖν τῶν ἐκεῖ γιγνομένων, ὑλακτεῖν δὲ καὶ μάχεσθαι τοῖς κακούργοις καὶ κακίστοις· καὶ ἄ-
30. τιμον οἱ ἄνθρωποι μεθυσθέντες καθεύδωσιν, αὐτὰς ἐγρηγορότας φυλάττειν. ὡς δὲ ἐφάνη ἐν τῇ πανηγύρει, Κορινθίων μὲν ἑδεῖς αὐτῷ προσεῖχε τὸν νοῦν, ὅτι πολλάκις αὐτὸν ἑώρων ἐν τῇ πόλει, καὶ
35. περὶ τὸ Κράνιον. οἱ γὰρ ἄνθρωποι ἐς ἃ αὐτοὶ βλέπουσι[7]), καὶ οἷς νομίζουσι ῥᾴδιον εἶναι, ὁπόταν βούλονται, προσελθεῖν, τούτων ἐ πάνυ φροντίζουσιν. ἐς δ' ἃ διὰ χρόνου ἴδωσιν, ἢ μηδεπώποτε ἑωρακότες[8]), πρὸς
40. ἐκείνους τρέπονται. ὅθεν ἤκουσα ὠφελοῦντο ὑπὸ τῆς Διογένους Κορίνθιοι· καθάπερ οἱ νοσοῦντες, εἰ, ἐπιδημοῦντος ἰατροῦ, μὴ προσίοιεν πρὸς αὐτόν. ἀλλὰ ἐνόμιζον ἱκανὸν εἶναι καὶ τὸ ὁρᾶν αὐτὸν ἐν τῇ πόλει. τῶν δὲ μακρόθεν, μάλιστα προσῄεσαν πρὸς αὐτὸν
45. ἀπὸ τῆς Ἰωνίας[9]) τε καὶ Σικελίας, καὶ Ἰταλίας, ὅσοι παρῆσαν, καὶ τῶν ἐκ Λιβύης τινὲς, καὶ τῶν ἐκ Θεσσαλίας, καὶ ἀπὸ Βορυσθένους, ἥτοι δὲ[10]) πάντες ἰδεῖν βουλόμενοι μᾶλλον αὐτὸν, ὡς ἔχοιεν ἀπαγγέλλειν ἑτέροις, ἢ βελτίους γενέσθαι, καὶ βραχύ τι ἀκοῦσαι λέγοντος[11]). ἐδόκει γὰρ ἱκανὸς εἶναι
5. λοιδορῆσαι, καὶ τοῖς ἐρωτῶσιν ἀποκρίνεσθαι πρὸς ἕκαστα. ὥσπερ ἐν τῷ Ποντικῷ μέλιτος ἀπογεύεσθαι ἐπι-

7) βλέπουσι, ob sequentes indicatiuos.
8) post ἑωρακότες addit Casaubonus εἰσὶ, fine causa; nam a communi repetitur ἴδωσιν.
9) πρὸς αὐτὸν ἀπὸ τῆς ἰωνίας] sic recte Veneta, quomodo etiam in codice Morelli fuit, qui ex eodem profert etiam hanc lectionem: τῶν δὲ ἄλλων οἱ μακρόθεν μάλιστα. ed. Morelli omittit ἀπὸ τῆς.
10) post ἥτοι δὲ add. Mor. ἀπὸ, quod Casaubonus delet, et Veneta omittit.
11) sic restituo luxata verba: ἑτέροις, καὶ βραχύ τι ἀκοῦσαι λέγοντος ἢ βελτίους γενέσθαι.

ἐπιχειρῆσαι οἱ ἄπειροι, γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν δυσχεράναντες, ὅτι πικρόν ἐστι καὶ ἀηδές· οὕτω καὶ τῶ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην· ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευγον. καὶ ἄλλων μὲν ἥδοντο λοιδορεμένων· αὐτοὶ δὲ ἐφοβοῦντο καὶ ἀνεχώρουν. καὶ εἰ μὲν ἔσκωπτέ τε καὶ ἔπαιεν, ὥσπερ εἰώθει ἐνίοτε[12]), ὑπερφυῶς ἔχαιρον· ἀνατεινομένου δὲ καὶ σπουδάσαντος, οὐχ ὑπέμενον τὴν παῤῥησίαν. καθάπερ οἶμαι τὰ παιδία προσπαίζοντα ἥδεται τοῖς γενναίοις κυσίν· ἐπειδὴ δὲ χαλεπήνῃ καὶ ὑλάξῃ μεῖζον, ἐξεπλάγη, καὶ τῷ δέει τέθνηκεν· οὕτω καὶ τότε ἐκεῖνος ἐποίει ταυτὰ[13]), οὐδὲν μεταῤῥεφόμενος, οὐδὲ φροντίζων, εἴτε ἐπαινοίη τις αὐτὸν, εἴτε καὶ ψέγοι τῶν παρόντων· οὐδὲ εἰ τῶν πλησίον τε καὶ ἐνδόξων, ἢ στρατηγὸς, ἢ δυνάστης διαλέγοιτο προσελθών, ἢ τῶν πάνυ φαύλων τε καὶ πενήτων· ἀλλὰ τῶν μὲν τοιούτων ἠνείχετο[14]) ληρούντων ἐνίοτε· τοὺς δὲ σεμνοὺς εἶναι βουλομένους, καὶ μέγα φρονοῦντας ἐπ' αὐτοῖς διὰ πλοῦτον, ἢ γένος, καὶ ἄλλην τινὰ δύναμιν, τούτους μάλιστα ἐπίεζε, καὶ ἐκόλαζε πάντα τρόπον. τινὲς μὲν ἐν αὐτὸν ἐθαύμαζον ὡς σοφώτατον πάντων τισὶ δὲ μαίνεσθαι ἐδόκει· πολλοὶ δὲ κατεφρόνουν ὡς πτωχῶ τε καὶ ἀδένος ἀξίου· τινὲς δὲ ἐλοιδόρουν· οἱ δὲ προπηλακίζειν ἐπεχείρουν, ὅσα ῥιπτοῦντες πρὸ τῶν ποδῶν, ὥσπερ τοῖς κυσίν. οἱ δὲ καὶ τῷ τρίβωνος ἥπτοντο προσιόντες· πολλοὶ δὲ ἐκ εἴων, ἀλλ' ἠγανάκτουν· καθάπερ Ὅμηρός φησι τὸν Ὀδυσσέα προσπαίζειν τοὺς μνηστῆρας, καὶκεῖνον

πρὸς

12) f. καὶ ἔπαιζεν, ὥσπερ εἰώθει γ' ἐνίοτε.

13) ἐποίει ταυτὰ] h. e. *lasrabat et saeuiebat.* Casaubonus hic errore mentis laqueos in semet nexuit, sed facillime illos dissoluendos. caue, eum audias. In Veneta et in margine Mor. est μετατρεπόμενος, quod malim.

14) κατεφρόνει margo Morell.

πρὸς ὀλίγας ἡμέρας ἐνεγκεῖν τὴν ἀκολασίαν αὐτῶν καὶ τὴν ὕβριν. ὁ δὲ ὅμοιος ἦν ἐν ἅπαντι· τῷ ὄντι γὰρ ἐώκει βασιλεῖ, καὶ δεσπότῃ, πτωχῷ σχολὴν ἔχοντι. καθέστα ἐν ἀνδραποδοις τε καὶ δέλοις αὐτῷ στρεφομένῳ [15]) τρυφῶσι καὶ ἀγνοοῦσιν, ὅστις ἐστὶ, καὶ ῥαδίως φέροντας μεθύοντας ἀνθρώπους καὶ μαινομένους ὑπὸ ἀγνοίας καὶ ἀμαθίας, ὅμως δὲ οἵ τε ἀθλοθέται τῶν Ἰσθμίων καὶ τῶν ἄλλων, ὅσοι ἔντιμοι καὶ δυνατοὶ, σφόδρα ἠπορεῖντο καὶ συνεσέλλοντο, κατ' ἐκεῖνον ὁπότε γένοιντο [16])· καὶ πάντες ἔτοι σιγῇ παρῆσαν, ὑποβλέπαντες αὐτόν. ἐπεὶ δὲ καὶ ἐστεφανώσατο τῆς πίτυος, πέμψαντες οἱ Κορίνθιοι τῶν ὑπηρετῶν τινας ἐκέλευον ἀποθέσθαι τὸν στέφανον, καὶ μηδὲν παράνομον ποιεῖν. ὁ δὲ ἤρετο αὐτὰς, διὰ τί παράνομόν ἐστιν αὐτὸν ἐστεφανῶσθαι τῆς πίτυος, ἄλλως δὲ ἃ παράνομον. εἶπεν ἔν τις αὐτῶν, ὅτι ἃ νενίκηκας, ὦ Διόγενες. ὁ δὲ, πολλὰς γε, εἶπεν, ἀνταγωνιστὰς καὶ μεγάλας, ἀλλ' οὐχ οἷα ταῦτά ἐστι τὰ ἀνδραποδα, τανῦν ἐνταῦθα παλαίοντα καὶ διασκεύοντα καὶ τρέχοντα· τῷ παντὶ δὲ χαλεπωτέρας, πενίαν καὶ φυγὴν καὶ ἀδοξίαν· ἔτι δὲ, ὀργήν τε καὶ λύπην, καὶ ἐπιθυμίαν, καὶ φόβον, καὶ τὸ πάντων ἀμαχώτατον ἢ καὶ δυσμαχώτατον θηρίον, ὕπνον καὶ μαλθακὸν, ἡδονήν· ᾗ οὐδεὶς ἔστε τῶν Ἑλλήνων, ἔστε τῶν βαρβάρων ἄξιος [17]) μάχεσθαι καὶ περιεῖναι τῇ ψυχῇ, κρατήσας· ἀλλὰ πάντες ἥττηνται καὶ ἀπειρήκασι πρὸς τὸν ἀγῶνα τοῦτον [18])· Πέρσαι καὶ Μῆδοι, καὶ Σύροι, καὶ Μακεδόνες, καὶ Ἀθηναῖοι,

15) στρεφομένῳ et φέροντι.

16) γένοιντο] sic interpres et vir doctus in Veneta mea. γένοιτο t. Morell. et Ven.

17) ἄξιος] forte hic deest ἐφαίνετο. Anglus pro illo verbum ἀξιοῖ substituit.

18) τοῦτον] sic recte correxit vir doctus. Ven. et Mor. dant τοῦτο.

καὶ Λακεδαιμόνιοι, πλὴν ἐμοῦ. πότερον οὖν ὑμῖν ἄξιος δοκῶ τῆς πίτυος, ἢ λαβόντες αὐτὴν δώσετε τῷ πλείστων κρεῶν γέμοντι; ταῦτα οὖν ἀπαγγέλλετε τοῖς πέμψασι, καὶ ὅτι αὐτοὶ παρανομοῦσιν. οὐ γὰρ νικήσαντες οὐδένα ἀγῶνα περιέρχονται στεφάνους ἔχοντες, καὶ ὅτι ἐνδοξότερα πεποίηκε τὰ Ἴσθμια, κατακρατήσας [19]) αὐτὸς τὸν στέφανον, καὶ ὅτι οὐ τοῖς ἀνθρώποις, ἀλλὰ ταῖς αἰξὶ δηλαδὴ περιμάχητον αὐτὸν εἶναι δεῖ [20]). μετὰ δὲ τοῦτο ἰδών τινα ἐκ τοῦ σταδίου βαδίζοντα μετὰ πολλοῦ πλήθους, καὶ μηδὲ ἐπιβαίνοντα τῆς γῆς, ἀλλὰ ὑψηλὸν φερόμενον ὑπὸ τοῦ ὄχλου, τοὺς δέ τινας ἐπακολουθοῦντας καὶ βοῶντας, ἄλλους δὲ πηδῶντας ὑπὸ χαρᾶς καὶ τὰς χεῖρας αἴροντας εἰς οὐρανόν· τοὺς δὲ, ἐπιβάλλοντας αὐτῷ στεφάνους καὶ ταινίας, ὅτε ἠδυνήθη προσελθὼν [21]) ἤρετο· τίς ἐστιν ὁ θόρυβος ὁ περὶ αὐτὸν, καὶ τί συνέβη; ὁ δὲ ἔφη· νικῶμεν, Διόγενες, τῶν ἀνδρῶν τὸ στάδιον. τοῦτο δὲ, τί ἐστιν; εἶπεν· οὐδὲ γὰρ φρονιμώτερος γέγονας οὐδὲ μικρὸν, ὅτι ἔφθασας τοὺς ἐν αὐτῷ τρέχοντας· οὐδὲ σωφρονέστερος νῦν, ἢ πρότερον, οὐδὲ δειλίᾳ ἥττονι [22]), οὐδ' ἔλαττον ἀλγεῖς, οὐδ' ἐλαττόνων δεήσει [23]) τὸ λοιπὸν, οὐδὲ ἀλυπότερον βιώσῃ. μὰ Δία, εἶπεν, ἀλλὰ τῶν ἄλλων Ἑλλήνων ταχύτατός [24]) εἰμι πάντων. ἀλλ'

οὐ

19) κατακρατήσας] *quod ipse sibi vi sua peperisset.*

20) δεῖ abest a Veneta, et recte, nam ὅτι, paulo ante, redundat, et infinitiuus hic pendet ab ἔφη. aiebat coronam ex apio dignam esse, de qua inter se contendant, non homines, sed caprae.

21) προσελθὼν] sic etiam Veneta, sed Morellus, vt melius, e codice regio profert προσελθεῖν.

22) post δειλίᾳ ἥττονι deest σύνει *consuescis*, vel χρῇ *vteris*. δειλὸς ἧττον margo Morell.

23) δεήσει] videtur attice esse pro δεήσῃ *egebis*.

24) malim ταχύτερος ob insequentia.

20. ἀ[25]) τῶν λαγωῶν, ἔφη ὁ Διογένης, ἀλλ' ἀδὲ τῶν ἐλά-φων· καίτοι ταῦτα τὰ θηρία ἁπάντων ἐστὶ τάχιστα, καὶ δειλότατα καὶ τὰς ἀνθρώπους καὶ τὰς ἀετὰς καὶ κύνας φοβεῖται, καὶ ζῇ βίον ἄθλιον· ἐκ οἴσθα, ἔφη,
25. ὅτι τὸ τάχος δειλίας σημεῖον ἐστί; τοῖς γὰρ αὐτοῖς ζώοις συμβέβηκε ταχίστοις τε εἶναι καὶ ἀνανδροτάτοις. ὁ γοῦν Ἡρακλῆς, διὰ τὸ βραδύτατος εἶναι πολλῶν, καὶ μὴ δύνασθαι κατὰ πόδας αἱρεῖν τὰς
30. στρατηγὰς [26]), διὰ τοῦτο ἐφόρει τόξα, καὶ τούτοις ἐχρῆτο ἐπὶ τὰς φεύγοντας. καὶ ὃς ἀλλὰ τὸν Ἀχιλλέα, ἔφη, ταχὺν ὄντα, φησὶν ὁ ποιητὴς ἀν-δρειότατον εἶναι. καὶ πῶς, ἔφη, εἴσθα, ὅτι τα-
35. χὺς ἦν ὁ Ἀχιλλεύς; τὸν μὲν γὰρ Ἕκτορα ἑλεῖν ἐκ ἐδύνατο, κατὰ τὴν ἡμέραν ὅλην διώκων. ἐκ αἰσχύ-νῃ, ἔφη, ἐπὶ πράγματι σεμνυνόμενος, ἐν ᾧ τῶν φαυλοτάτων θηρίων χείρων πέφυκας; οἶμαι γάρ σε.
40. μηδὲ ἀλώπεκα δύνασθαι φθάσαι. πόσον δέ τι καὶ ἔφθασας; παρ' ὀλίγον, εἶπεν, ὦ Διόγενες. τοῦτο γάρτοι καὶ τὸ θαυμαστὸν ἐγένετο τῆς νίκης. ὥστε, ἔφη, παρ' ἓν μόνον βῆμα εὐδαίμων γέγονας. ἅπαν-
45. τες γὰρ οἱ κράτιστοι ἦμεν [27]) οἱ τρέχοντες. οἱ δὲ κόρυδοι, πόσῳ τινὶ θᾶττον ὑμῶν διέρχονται τὸ στά-διον; πτηνοὶ γάρ εἰσιν, εἶπεν. ἐκοῦν, ἔφη ὁ Διογέ-νης, εἴπερ τὸ ταχύτατον εἶναι κρατιστόν ἐστι, πολὺ βέλτιον κόρυδον εἶναι σχεδὸν, ἢ ἄνθρωπον· ὥστε
5. τὰς ἀηδόνας ἀδέν τι δεῖν οἰκτείρειν, ἀδὲ τὰς ἔποπας,

25) ἀ] sic codex regius, vir doctus in Veneta mea, et interpres. ἃ Ven. et Mor.

26) στρατηγὰς suspectum. cur enim *imperatores* magis, quam *milites?* et cur sic nude *imperatores*, sine *hostium?*

27) bene habet hic loci et lectio et ordo verborum. *Ergo unus modo gradus, quo tu praecucurristi reliquos, in causa fuit, cur tu beatus esses, vel fieres?* respondet victor Diogeni: *noli hoc mirari, nam nos omnes, quotquot pedum cursu contendebamus, eramus fortissimi et lectissimi.*

ὅτι ὄρνιθες ἐγένοντο ἐξ ἀνθρώπων, ὡς ὑπὸ τῦ μύθυ λέλεκται. ἀλλ' ἐγω, ἔφη, ἄνθρωπος ὢν, ἀνθρώπων ταχύτατός εἰμι. τί δὲ οὐχὶ καὶ ἐν τοῖς μύρμηξιν, εἶπεν, εἰκὸς, ἄλλον ἄλλυ ταχύτερον εἶναι; μὴ ἂν θαυμάζεσιν αὐτόν. ἢ δοκεῖ σοι γελοῖον εἶναι, εἴ τις ἐθαύμαζε μύρμηκα ἐπὶ τάχει; τί δαί; εἰ χωλοὶ πάντες ἦσαν οἱ τρέχοντες, ἔχρῆν γε μέγα φρονεῖν, ὅτι χωλὸς ὁ χωλὸς ἔφθης; τοιαῦτα δὲ πρὸς τὸν ἄνθρωπον διαλεγόμενος, πολλὰς ἐποίησε τῶν παρόντων καταφρονῆσαι τῦ πράγματος, καὶ κεῖνον αὐτὸν λυπούμενον ἀπελθεῖν καὶ πολὺ ταπεινότερον. τῦτο δὲ ὁ μικρὸν [28]) παρεῖχε τοῖς ἀνθρώποις, ὁπότ' ἴδοι τινὰ μάτην ἐπαιρόμενον καὶ διὰ πρᾶγμα ὀδενὸς ἄξιον ἔξω τῦ φρονεῖν, συκοφαντίας ἐπὶ βραχὺ, καὶ ὀφελῶν μικρόν τι τῆς ἀνοίας, ὥσπερ οἱ τὰ πεφυσημένα καὶ οἰδοῦντα νύξαντες ἢ ῥίξαντες [29]). ἐν δὲ τύτῳ θεασάμενος ἵππυς ἐν τῷ αὐτῷ δεδεμένυς, ἔπεσθαι μαχομένυς τε καὶ λακτίζοντας αὐτύς, καὶ πολὺν ὄχλον περιεσῶτας καὶ θεωμένυς, ἕως καμὼν ὁ ἕτερος ἔφυγεν ἀποῤῥήξας· προσελθὼν ἐξεφάνωσε τὸν μένοντα, καὶ ἀνεκηρυττεν ὡς Ἰσθμιονίκην, ὅτι λακτίζων ἐνίκησεν. ἐπὶ τύτῳ γέλως καὶ θόρυβος ἦν ἁπάντων· καὶ τὸν Διογένη πολὺ [30]) ἐθαύμαζον, καὶ τῶν ἀθλητῶν κατεγέλων, καί τινας ἀπελθεῖν φασὶν ἰδόντας αὐτύς· ὅσοι κακῶς ἐσκήνευν, καὶ τύτυ [31]) ἠπόρυν.

28) ὁ μικρὸν] subaudi εἰς ὠφέλειαν. hoc praestitit hominibus, non mediocre, ad vtilitatem.
29) post ῥίξαντες aut in hac regione deesse videtur aliquid.
30) πολὺ] l. πολλοί.
31) τύτυ] f. τόπυ.

ΔΙΟΓΕΝΗΣ, Η ΠΕΡΙ ΟΙΚΕΤΩΝ.

ΛΟΓΟΣ Γ.

Ἀπιών ποτε Διογένης ἐκ Κορίνθου Ἀθήναζε, συνέβαλε κατὰ τὴν ὁδὸν ἑνὶ τῶν γνωρίμων, καὶ ἤρετο, πῶς ἄπεισιν; ἐχ ὥσπερ οἱ πολλοὶ τὰ τοιαῦτα ἐπερωτῶσιν [1]) ἐπιδεικνύμενοι, ὅτι ἐκ ἀμελὲς εἰδέναι αὐτοῖς περὶ [2]) τῶν φίλων· ἔπειτα ἀκούσαντες μόνον ἀπηλλάγησαν· ἀλλ' ὥσπερ οἱ ἰατροὶ ἀνακρίνουσι τὸς ἀσθενοῦντας, ὅ, τι μέλλουσι ποιεῖν, ἕνεκα τοῦ συμβουλεῦσαι, καὶ τὰ μὲν κελεύουσι, τὰ δὲ ἀπαγορεύουσιν· ἕτως ἀνέκρινεν ὁ Διογένης τὸν ἄνθρωπον, ὅ, τι πράττοιεν [3]); καὶ ὃς ἔφη· ὦ Διόγενες, πορεύομαι εἰς Δελφοὺς τῷ θεῷ χρησόμενος· μέλλων δὲ διὰ Βοιωτῶν ἀπιέναι· ὁ γὰρ πατὴς με [4]) ἐμετ' ἐμοῦ [5]) ἀπέδρα· νῦν ἐπὶ Κορίνθου ἄπειμι· ἴσως γὰρ ἂν εὕροιμι καὶ τὸν παῖδα. καὶ ὁ Διογένης εἶπεν, ὥσπερ εἰώθει, σπουδάσας· ἔπειτα, καταγέλασε, ἐπιχειρεῖς θεῷ χρῆσθαι, ὃ δυνάμενος ἀνδραπόδῳ χρήσασθαι; ἢ ὃ [6]) δοκεῖ σοι τοῦτο ἐκείνου ἧττον χαλεπὸν, καὶ ἐλάττονα ἔχειν κίνδυνον, τοῖς ὃ δυναμένοις χρήσασθαι ὀρθῶς; τί δὲ καὶ βουλόμενος, εἶπε, ζητεῖς τὸν παῖδα, ἢ ἐκ ἦν πονηρός; πάντων γε, ἔφη, μάλιστα. μηδὲν γὰρ ὑπ' ἐμοῦ ἀδικούμενος, πρὸς δὲ, καὶ

1) ἐπερωτῶσι ab ἐπερωτάω. Mor. et Ven. dant ἐπερετῶσιν.
2) foret mollior compositio ἀμελὲς αὐτοῖς εἰδέναι περὶ.
3) f. πράττοι.
4) με] sic recte dat Veneta, μι Morell.
5) Morellus e regio post ὁ μετ' ἐμοῦ addit πορευόμενος, quod non valde puto necessarium esse.
6) ὃ] f. ἢν. τοῦτο] deo recte vti. ἐκείνου] mancipio recte vti.

γενόμενος 7), ἡγεῖτο πονηρόν. εἰ γὰρ ἀγαθὸν ἡγεῖτο, ἐκ ἂν ποτε ἀπέλιπεν. ἴσως, ὦ Διόγενες, κακὸς αὐτὸς ὤν. ἔπειτα ἐκεῖνος μὲν, ἔφη, σὲ πονηρὸν ἡγέμενος ἔφυγεν, ἵνα μὴ βλάπτηται ὑπὸ σοῦ. σὺ δὲ ἐκεῖνον πονηρὸν εἶναι λέγων, ζητεῖς; ὁ γὰρ ἄδηλον, ὅτι βλάπτει καὶ σὺ ὑπ' αὐτοῦ βλόμενος. ἢ ἐχὶ κακοὶ ἄνθρωποι 8) βλαβεροί εἰσι τοῖς ἔχουσι καὶ τοῖς χρωμένοις, ἐάν τε Φρύγες ὦσιν, ἐάν τε Ἀθηναῖοι, ἐάν τε ἐλεύθεροι, ἐάν τε δοῦλοι; καίτοι κύνα μὲν ὁδεῖς, κακὸν ἡγούμενος, ζητεῖ ἀποδράντα. οἱ δὲ καὶ ἐκβάλλουσιν, ἐὰν ἐπανέλθῃ. ἀνθρώπους δὲ πονηροὺς ἀπαλλαγέντες, οὐκ ἀπώσασιν, ἀλλὰ πολλὰ πράγματα ἔχουσι, καὶ τοῖς ξένοις ἐπιτίθενται, καὶ αὐτοὶ ἀποδημοῦντες, καὶ χρήματα ἀναλίσκοντες, ὅπως λάβωσιν αὐτούς. καὶ πότερον οἴει πλείους ὑπὸ κυνῶν βλαβῆναι πονηρῶν, ἢ ὑπ' ἀνθρώπων; ὑπὸ μὲν γε κυνῶν Φαύλων ἕνα τὸν Ἀκταίωνα Φασὶν ἀπολέσθαι, καὶ τούτων μανέντων· ὑπὸ δὲ ἀνθρώπων Φαύλων οὐδὲ εἰπεῖν ἐξὶν ὅσοι ἀπολώλασι, καὶ ἰδιῶται καὶ βασιλεῖς, καὶ πόλεις ὅλαι· οἱ μὲν ὑπὸ οἰκετῶν, οἱ δὲ ὑπὸ στρατιωτῶν καὶ δορυφόρων· οἱ δὲ ὑπὸ Φίλων τινῶν καλουμένων· οἱ δέ τινες καὶ ὑπὸ υἱέων καὶ ἀδελφῶν καὶ γυναικῶν. ἆρα ἔν ἐ μέγα κέρδος, ὅτῳ ἂν συμβῇ, ἀπαλλαγῆναι κακοῦ ἀνδρός;

7) πρὸς δὲ καὶ γενόμενος] non improbabile est Casauboni πρὸς δὲ καὶ ἀνθ' υἱοῦ γενόμενος, sed et pro filio habitus. ἔΦυγεν ὅμως. cui respondet Diogenes: ἔτος δηλονότι σε ἡγεῖτο πονηρόν. Morellus e codice regio aliud nihil praeterquam καὶ εὖ γενόμενος. sed graecum non est εὖ γενέσθαι pro εὖ πάσχειν. videtur Dio eiusmodi quid reliquisse; nam ab integrioribus libris ipsa verborum veritas erit exspectanda: πρὸς δὲ καὶ εὖ πάσχων, ἀσέβημα. subiicit Diogenes: καὶ γάρ σε, κρείττων γενόμενος, ἡγεῖτο πονηρόν.

8) f. ἢ ἐχ οἱ κακοὶ ἄνθρ.

ἀνδρός; ἀλλὰ δεῖ τοῦτον ζητεῖν τε καὶ ἐπιδιώκειν; ὥσπερ εἴ τις ἀπαλλαγὲν νόσημα ἐζήτει, καὶ ἐβούλετο ἀναλαβεῖν εἰς τὸ σῶμα; καὶ ὁ ἄνθρωπος εἶπε· ταῦτα μὲν ὀρθῶς εἶπας, ὦ Διόγενες· ἀλλὰ χαλεπόν ἐστιν ἀδικηθέντα μὴ τιμωρήσασθαι· ἐκεῖνος γὰρ οὐδὲν ὑπ' ἐμοῦ παθὼν, ὡς ὁρᾷς, ἐτόλμησεν ἀπολιπεῖν με· ὃς ἔργον μὲν παρ' ἐμοὶ οὐδὲν ἔπραττεν, ὅσα δοῦλοι ἐργάζονται· ἀργὸς δὲ ὢν ἔνδον ἐτρέφετο, οὐδὲν ποιῶν ἢ ἐμοὶ ἀκολουθῶν. ἔπειτα, ἔφη, οὐδὲν ἠδίκεις αὐτὸν ἀργὸν ὄντα καὶ ἀμαθῆ τρέφων, καὶ ποιῶν ὅτι κάκιστα [9]); ἡ γὰρ ἀργία καὶ τὸ σχολὴν ἄγειν ἀπόλλυσι πάντων μάλιστα τοὺς ἀνοήτους ἀνθρώπους. οὐκοῦν ὀρθῶς συνῆκεν ὑπὸ σοῦ διαφθειρόμενος, καὶ ἀπέδρα δικαίως, ἵν' ἐργάζηται δηλονότι, καὶ μὴ σχολάζων τε καὶ καθεύδων καὶ ἐσθίων, χείρων ἀεὶ γίγνηται. σὺ δὲ ἴσως οἴει μικρὸν ἀδίκημα εἶναι, ὃ [10]) ἄνθρωπον ποιεῖ πονηρότερον; ἀλλ' οὐχὶ τοῦτον δεῖ [11]) πάντων μάλιστα φεύγειν ὡς ἔχθιστον καὶ ἐπιβουλότατον; καὶ ὃς, τί οὖν ποιήσω; οὐ γάρ ἐστί μοι ἄλλος οἰκέτης. τί δαὶ [12]), ἔφη, ποιήσεις, ὅταν ἄλλα ὑποδήματα μὴ ἔχῃς, τὰ δὲ ὄντα ἐνοχλῇ, καὶ διακόπτῃ τοὺς πόδας; ἆρα οὐχ ὑπολυσάμενος ὅτι τάχιστα ἂν [13]) ἀνυπόδητος βαδίσῃς; ἀλλὰ καὶ ἂν αὐτόματον λυθῇ, πάλιν ἐπιδεῖς τε καὶ σφίγγεις τὸν πόδα; καὶ μὲν [14]) δὴ ὥσπερ οἱ ἀνυπόδητοι ἐνίοτε ῥᾷον βαδίζουσι τῶν φαύλως ὑποδεδεμένων· οὕτω πολλοὶ χωρὶς

9) f. ὅτι κάκιστον *quam pessimum.*

10) ὃ] f. ὃς. *tibi leuis videtur eius iniuria esse, qui hominem deprauat.*

11) δεῖν: pendet ab οἴει.

12) δαὶ] vir doctus in Veneta mea δὲ adscripsit; haud sequor.

13) ἂν superfluum tolle.

14) μὲν] Morellus e codice regio huius loco profert γὰρ, quod melius conuenit.

οἰκετῶν ῥᾷον ζῶσι καὶ ἀλυπότερον τῶν πολλὰς οἰκέτας ἐχόντων. ἐχ ὁρᾶς τὰς πλουσίας, πόσα πράγματα ἔχουσιν, οἱ μὲν θεραπεύοντες τὰς νοσούσας τῶν οἰκετῶν, καὶ δεόμενοι ἰατρῶν καὶ τῶν ἄλλων τῶν παραμενόντων [15]). καὶ γὰρ ὡς τοπολὺ πέφυκεν ἀμελεῖν αὐτῶν τε [16]) τοὺ ἀνδράποδα, καὶ ἐ προσέχουσιν ἐν ταῖς νόσοις· τὸ μέν τι [17]) ὑπὸ ἀκρασίας, τὸ δὲ ἡγέμενα [18]), εἴ τι πάθοι, τὰς δεσπότας ζημιώσεσθαι, ἐχ αὐτές· οἱ δὲ [19]) μαστιγοῦντες ὁσημέραι, ἕτεροι δὲ δεσμοῦντες, ἄλλοι διώκοντες φεύγοντας. καὶ γάρ τοι ὅτε ἀποδημῆσαι δύνανται ῥᾳδίως, ἐδὲ ὁπόταν δοκῇ αὐτοῖς, ὅτε μένοντες σχολὴν ἄγουσι. τὸ δὲ πάντων γελοιότατον, ἐνίοτε ἀπορεῖσι διακόνων, μᾶλλον τῶν πενήτων τε καὶ ἐκ ἐχόντων ἐδένα οἰκέτην. καὶ ἔτι τὸ πρᾶγμα ὅμοιον τοῖς ἰέλοις· οἶμαι γάρ σε εἰδέναι· καὶ γὰρ ἐκεῖνοι μυρίας πόδας ἔχοντες, βραδύτατοί εἰσι τῶν ἑρπετῶν. ἐκ οἶσθα, ὅτι τὸ σῶμα ἡ Φύσις ἑκάστῳ ἐποίησεν ἱκανὸν εἶναι πρὸς τὴν ἑαυτῷ θεραπείαν; πόδας μὲν, ὥστε ἀπιέναι, χεῖρας δὲ, ὥστε ἐργάζεσθαι, καὶ τἄλλα σώματος ἐπιμελεῖσθαι, ὀφθαλμὰς δὲ, ὥστε ὁρᾶν, ὦτα δὲ, ὥστε ἀκούειν. πρὸς δὲ τούτοις σύμμετρον ἐποίησε τὴν γαστέρα, καὶ ἐ δεῖται πλείονος τροφῆς ὁ ἄνθρωπος, ἢ δυνατός ἐστιν αὐτῷ πορίζειν. ἀλλὰ τοῦτο μέτρον ἑκάστῳ ἱκανώτατον καὶ ἄριστον καὶ ὑγιέστατον. ὥσπερ ἔν. ἡ χεὶρ ἀσθενεστέρα ἐστὶν, ἢ πλείονας δακτύλους ἔχουσα τῶν φύσει γιγνομένων· καὶ ὁ τοιοῦτος ἄνθρω-

15) παραμενόντων] sic recte margo Morell. possit quoque παραμενόντων legi. παραμελλόντων Ven. et textum Morell.

16) τε] f. γε. in Veneta est αὐτῶν τε καὶ ἀνδράποδα.

17) τὸ μέν τι] sic recte Veneta, τὸ μέν τοι Mor.

18) f. τὸ δὲ καὶ ἡγέμενα.

19) οἱ δὲ] hic deest aliquid, quod regat illos nominativos μαστιγοῦντες, e. c. ἐδέποτε παύονται, vel tale quid.

ἄνθρωπος ἀνάπηρος καλεῖται τρόπον τινά; ἢ οὐκ ἔχωθεν προσφυῆ δάκτυλος περιττός· καὶ μηδὲ τοῖς ἄλλοις χρῆσθαι δύνηται κατὰ τρόπον· ἔτως ὅταν πολλοὶ πόδες καὶ πολλαὶ χεῖρες, καὶ πολλαὶ γαστέρες ἀνθρώπῳ τινὶ προσγένωνται, μὰ Δία ἐκ ἰσχυρότερος ἔτος γίνεται, καὶ πρὸς ἑδὲν μᾶλλον τυγχάνες ὢν, ὢν[20]) δεῖ τυγχάνειν αὐτόν· ἀλλὰ πολὺ ἔλαττον καὶ δυσχερέστερον. σὺ δὲ, ἔφη, νῦν μὲν ἑνὶ ἀνθρώπῳ ζητεῖς τροφὴν, τότε δὲ δυσὶ, καὶ νῦν μὲν ἕνα νοσηλεύεις[21]), ἐὰν ἄρα συμβῇ τις ἀσθένεια, τότε δὲ ἀναγκη θεραπεύειν κἀκεῖνον νοσοῦντα· καὶ νῦν μὲν ὅταν αὐτὸς ᾖς ἐν οἰκίᾳ, ἐ φροντίζεις, μὴ τι αὐτὸς ὠφέλῃ, ἑδὲ ὅταν καθεύδῃς, μὴ ἐγρηγορὼς ὁ παῖς κακόν τι ἐργάσηται. πάντα δὴ ταῦτα δεῖ σε σκοπεῖν. γυναῖκα τοίνυν εἰ εἶχες, τότε μὲν ἂν ἠξίᾳ σε θεραπεύειν, ὁρῶσα οἰκέτην ἔνδον τρεφόμενον, καὶ τὰ μὲν ἐκείνῳ μαχομένη, τὰ δὲ αὐτῇ τρυφῶσα, ἐνοχλεῖν σε ἔμελλεν· νῦν δὲ ἧττον μὲν αὐτῇ ἀλγήσει, μᾶλλον δὲ σοῖ ἐπιμελήσεται. καὶ μὴν ὅπου οἰκέτης ἐσὶν, εὐθὺς διαφθείρονται οἱ γιγνόμενοι παῖδες, καὶ ὀργότεροι γίνονται καὶ ὑπερηφανώτεροι, ὄντος μὲν τοῦ διακονοῦντος, ἔχοντες δὲ ἃ καταφρονῶσιν. ὅπου δ' ἂν αὐτοὶ[22]) ὦσι, πολὺ ἀνδρειότεροι καὶ ἰσχυρότεροι, καὶ τῶν πατέρων εὐθὺς ἐλευθερίας κήδεσθαι μανθάνοντες. ἀλλ', ὦ Διόγενες, πάνυ

20) Veneta locum sic exhibet: γίνεται· πρὸς ἑδὲν μᾶλλον τυγχάνει ὢν αὐτῶν. vnde sic reficerem locum: γίνεται πρὸς ἑδὲν, ἑδὲ μᾶλλον τυγχάνει τῶν αὐτῶν. *potitur iisdem*, quibus erat potiturus, si artus simplices habuisset.

21) νοσηλεύεις ob praecedens ζητεῖς. Mor. νοσηλεύσεις.

22) recte μὴ, quod Morell. post αὐτοὶ add. ab ed. Veneta et a codice regio abest. *vbi* autem *soli* sunt liberi in domo, ad inseruiendum patri. αὐτοὶ idem est atque μόνοι, quod vir doctus in Ven. mea, et margo Mor. inseruerunt inter αὐτοὶ et ὦσι.

πένης τέ εἰμι, καὶ εἰ μὴ συμφέροι κεκτῆσθαι τὸν οἰκέτην, ἀποδώσομαι[23]) αὐτόν. ἔπειτα, ἔφη, οὐκ αἰσχύνῃ; πρῶτον μὲν ἐξαπατῶν τὸν ἄνθρωπον, πονηρὸν αὐτῷ ἀποδιδόμενος; ἢ γὰρ οὐκ ἐρεῖς τἀληθὲς, ἢ οὐ δυνήσῃ ἀποδόσθαι αὐτόν. πρὸς δὲ τούτοις, ἐάν τις ἱμάτιον ἀποδῶται[24]) κίβδηλον, ἢ σκεῦος ἢ κτῆνος νοσοῦν τε καὶ ἄχρηστον, ἀνάγκη αὐτὸ ἀπολαμβάνειν. ὥστε οὐδὲν ἔσται σοὶ πλέον. εἰ δὲ καὶ δυνήσῃ ἐξαπατῆσαί τινα, κἀκεῖνος οὐκ αἰσθήσεται τοῦ ἀνθρώπου τῆς πονηρίας, τὸ ἀργύριον οὐ δέδοικας; ἴσως μὲν γὰρ ἄλλον ὠνήσῃ φαυλότερον, ἐὰν δριμυτέρου τύχῃς ἢ κατά σε τοῦ ἀποδιδομένου. τυχὸν δὲ εἰς ἄλλο τι χρήσῃ λαβὼν ἐφ' οὗ[25]) βλαβήσῃ. οὐ γὰρ δὴ ἀεί ποτε τὸ ἀργύριον ὠφελεῖ τοὺς κτησαμένους· ἀλλὰ πολλῷ πλείονας βλάβας καὶ πλείω κακὰ πεπόνθασιν ἄνθρωποι ὑπὸ ἀργυρίου, ἢ ὑπὸ πενίας, ἄλλως τε ἀνόητοι ὄντες. οὐκ ἐκεῖνο οὖν πρότερον κτήσασθαι σπουδάσεις, ὡς δυνήσῃ ὑπὸ παντὸς ὠφελεῖσθαι, καὶ πᾶσι τοῖς σαυτοῦ πράγμασι χρήσασθαι καλῶς· ἀλλὰ πρὸ τοῦ φρονῆσαι ζητήσεις ἀργύριον, ἢ γῆν, ἢ ἀνδράποδα, ἢ ζεῦγος, ἢ πλοῖον, ἢ οἰκίαν, οἷς συνδουλεύσεις, καὶ λυπήσῃ δι' αὐτὰ, καὶ πολλὰ[26]) ποιήσεις μάτην, καὶ διατελέσεις ἅπαντα τὸν βίον φροντίζων ἐκείνων, ὀνήσῃ δὲ οὐδ' ὁτιοῦν ἀπ' αὐτῶν. οὐχ ὁρᾷς τὰ θηρία ταῦτα καὶ τὰ ὄρνεα, ὅσῳ ζῇ τῶν ἀνθρώπων ἀλυπότερον, πρὸς δὲ καὶ ἥδιον, καὶ μᾶλλον ὑγιαίνει, καὶ πλεῖον ἰσχύει, καὶ ζῇ χρόνον ἕκαστον αὐτῶν, ὅσον πλεῖστον δύναται; καίτοι οὔτε παῖδας ἔχοντα, οὔτε ἀνθρώπου διάνοιαν,

ἀλλ'

23) ἀποδώσομαι] sic recte Veneta, ἀποδώσωμαι Morell.
24) ἀποδῶται] sic dedi, nam in medio tantum vsurpatur hoc verbum, cum significatu venditionis. ἀποδῶ Mor. et Ven.
25) aut ἀφ' οὗ leg. aut ὑφ' οὗ.
26) recte dat Veneta καὶ πολλὰ, Mor. omittit καὶ.

15. ἀλλ' ὅμως ἀντὶ πάντων αὐτοῖς τῶν ἄλλων κακῶν ὑπάρχει μέγιστον ἀγαθὸν, ὅτι ἀκτήμονές ἐσιν. ἀλλὰ δοκῶ μοι ἐάσειν, ὦ Διόγενες, τὸν οἰκέτην, ἐάν περ μὴ ἀπὸ τύχης ἐμπέσῃ μοι. ναὶ μὰ Δία, εἶπεν ὁ Διογένης, ὥσπερ εἰ λέγοις· δάκνοντα, ἢ λακτίζοντα ἵππον, ἐκ ἂν ζητήσαιμι· ἐὰν μέντοι περιτύχω, προσέλθοιμ' ἄν, ὥσε δηχθῆναι [27]). ταῦτα μὲν ἔασον, ἀλλὰ τῷ θεῷ διὰ τί με χρῆσθαι ἐκ ἐᾷς; ἐγὼ γὰρ ἀπηγορεύον [28]) σοι θεῷ χρῆσθαι, εἰ δύναισαι; ἢ τοῦτο ἔφην, ἀλλ' ὅτι χαλεπόν ἐσι, μᾶλλον δὲ ἀδύνατον χρῆσθαι ἢ θεῷ ἢ ἀνθρώπῳ [29]), ἢ αὐτὸν αὐτῷ, μὴ ἐπισάμενον· τὸ δὲ ἐπιχειρεῖν ἄνευ τοῦ ἐπίσασθαι, καὶ πάντων βλαβερώτατον· ἢ ὅστις ἐκ ἔσιν ἔμπειρος ἵππου χρήσεως, δοκεῖ σοι ἕτος χρῆσθαι ἂν ἵπποις; ἐκ ἔγωγε [30]). εἰ δ' αὖ βιάζοιτο, κακὸν ἂν τι ἀπολαῦσαι πρότερον, ἢ ἀγαθόν; ἀληθῆ. τί δαὶ, ὅστις ἀγνοεῖ χρῆσιν κυνῶν, δυνατὸς ἂν εἴη χρῆσθαι; ἢ ἐ τό τινι χρῆσθαι, ὠφελεῖσθαί ἐσιν ἀπ' ἐκείνε; δοκεῖ μοι. ἐδεὶς ἂν τῶν βλαπτομένων ἀπό τινος χρῆται ἐκείνῳ, ὑφ' ἧ βλάπτεται; ἐ γάρ. ἔκυν καὶ ὁ κυνὶ περιόμενος χρῆσθαι ἄνευ τοῦ ἐπίσασθαι, ζημιώσεται ἀπ' αὐτῶν; εἰκός γε. ἐκ ἄρα ὠδὲ χρήσεται αὐτοῖς, ἐπεὶ ἐκ ἔσι χρῆσις, ὅπε ζημία πρόσεσι. καὶ ἐ μόνον περὶ κυνῶν καὶ ἵππων ἔχέι ἕτως· ἀλλὰ καὶ βοῶν καὶ ὀρνέων [31]), καὶ ὁ μᾶλλον θαυμάσαις ἄν, ὠδὲ ὄνε

27) post δηχθῆναι Veneta recte add. ἢ λακτισθῆναι, quod Morellus etiam e codice regio affert; sed poterat ea opera superfedere, modo curaſſet a ſuis operis Venetam diligentius exprimi.

28) ἀπαγορεύω margo Morell.

29) χρῆσθαι ἢ θεῷ ἢ ἀνθρώπῳ] ſic codex regius, interpres et Caſaubonus. ἢ θεῷ deſunt Morell. et Ven.

30) ἐκ ἔμοιγε ſine dubio leg. eſt.

31) ὀρνέων] imo vero ὀρέων ab ὄρος *mulus*, niſi ſi de gallinis, anſeribus et ſimilibus altilibus locutus eſt. v. p. 302, 6.

ὄνῳ ἢ προβατίῳ χρῆσθαι πάρεστι τοῖς ἀπείροις. ἢ οὐκ οἶσθα, τοὺς μέν τινας ὠφελουμένους, τοὺς δὲ βλαβέντας, ἀπό τε προβατείας καὶ ὀνηλασίας; ἔγωγε. πότερον δι' ἄλλο τι, ἢ δηλονότι ἀνάγκη τοὺς μὲν ἀπείρους ζημιοῦσθαι, τοὺς δὲ εἰδότας ὀνίνασθαι[32]) καὶ ἀπὸ ὄνων καὶ ἀπὸ συῶν καὶ ἀπὸ χηνῶν, καὶ ἀπὸ ἄλλου ζώου παντός; ἔοικε. τί δαὶ, οὐκ ἐπὶ τοῖς σκεύεσιν ὁ αὐτὸς λόγος; ἀλλὰ κιθάρᾳ χρήσαιτο ἂν ὁ ἄμουσος, ἢ ἐπιχειρῶν οὐκ ἂν εἴη καταγέλαστος, πρὸς τῷ μηδὲν ἐργάζεσθαι, καὶ τὴν κιθάραν διαφθεῖραι[33]) καὶ ἀποῤῥῆξαι τοὺς φθόγγους; τί δαὶ, εἴ τις αὐλοῖς, οὐκ ὢν αὐλητικὸς, ἐθέλῃ χρῆσθαι, καὶ παριὼν εἰς τὰ θέατρα αὐλεῖν, οὐκ αὐτός τε δώσει δίκην βαλλόμενος, καὶ τοὺς αὐλοὺς ἂν προσέτι συντρίψειεν; ὃς δ' ἂν ἐπιχειρῇ πηδαλίῳ χρῆσθαι, οὐκ ἐπιστάμενος κυβερνᾶν ἔστιν ὅπως οὐκ ἂν τάχιστα ἀνατρέψας τὴν ναῦν, αὐτόν τε ἀπολέσειε καὶ τοὺς ἐμπλέοντας; τί δαὶ, ἢ δόρατος ἡ χρῆσις ἢ ἀσπίδος συμφέρει τοῖς δειλοῖς καὶ ἀνεπιστήμοσιν; ἀλλ' οὐκ ἂν ἀποβάλοιεν τῇ τοιαύτῃ πείρᾳ τῆς χρήσεως, οὐ τὰ ὅπλα μόνον, ἀλλὰ καὶ αὐτούς; συγχωρῶ, ἔφη, ὦ Διόγενες· ἀλλὰ καταδύεις τὸν ἥλιον, περὶ πάντων ἐπερωτῶν. καὶ πότερον ἄμεινον εἰπεῖν[34]), ἀκούσαντα ὧν χρὴ καταδύσαι[35]) τὸν ἥλιον, ἢ βαδίζοντα μάτην; ὅμως δ' ἐπὶ πάντων σχεδὸν, ὅσων ἄπε-

στιν

32) ὀνίσασθαι margo Morell.

33) Casaubonus vult διαφθείρας et ἀποῤῥήξας. Morellus e codice regio lectionem aeque vitiosam affert καὶ πρὸς τῷ μηδὲν. haud inscitum tamen, quod idem addit, sibi videri διαφθείραι et ἀποῤῥήξαι esse scrib. sunt vtique duo optatiui, et εἰ ante πρὸς est addendum.

34) εἰπεῖν videtur delendum, aut cum εἶπεν mutandum, *dixit*, scil. Diogenes.

35) lectio marginis Morell. χρήματα δῦσαι est in texto Venetae.

ςιν ἐμπειρίᾳ τοῦ χρῆσθαι, χαλεπὸν τὸ προθυμεῖσθαι [36]). μείζω γὰρ τὴν βλάβην γενέσθαι εἰκὸς, ἀπὸ τῶν μειζόνων. ἢ ἆρ' δοκεῖ σοι ὁμοίαν εἶναι ἡ ἄνευ χρῆσις ἢ [37]) ἵππου; πόθεν; τί δαί, ἡ ἀνθρώπου, ἢ θεοῦ; ἀλλ' οὐδὲ λέγειν ἄξιον, ἔφη, ὦ Διόγενες· ἔστιν ἂν οὕτω τις χρῆσθαι δύναται, ὃ γινώσκων αὐτόν; καὶ πῶς· εἶπεν· ὁ γὰρ ἄνθρωπον ἀγνοῶν ἀδύνατος ἀνθρώπῳ χρῆσθαι· ἀδύνατος γάρ· ὁ δὴ αὐτὸν ἀγνοῶν ἐκ ἂν ἔχοι αὐτῷ χρῆσθαι; ἤδη δ' ἂν ἀκήκοας τὸ ἐν Δελφοῖς γράμμα τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ; ἐγώ [38]). ἔκαν δηλονότι ὁ θεὸς κελεύει πᾶσιν, ὡς ἐκ εἰδόσιν αὐτούς; ἔοικεν. εἰς ἆρα τῶν πάντων καὶ σὺ εἶης ἄν; πῶς γὰρ οὔ; ἐκ ἆρα οὐδὲ σὺ γινώσκεις σαυτόν; οὐ μοι δοκῶ. σεαυτὸν δὲ ἀγνοῶν, ἄνθρωπον ἀγνοεῖς. ἄνθρωπον δὲ ἐκ εἰδὼς χρῆσθαι ἀνθρώπῳ οὐ δυνατὸς εἶ· ἀνθρώπῳ δὲ χρῆσθαι ἀδύνατος ὤν, θεῷ ἐπιχειρεῖς· ὃ τῷ παντὶ μεῖζον καὶ χαλεπώτερον ἐκείνου ὁμολογοῦμεν εἶναι. τί δὲ, νομίζεις τὸν Ἀπόλλωνα Ἀττικίζειν ἢ Δωρίζειν; ἢ τὴν αὐτὴν εἶναι διάλεκτον ἀνθρώπων καὶ θεῶν; ἀλλὰ τοσοῦτον διαφέρει, ὥστε τὸν ποταμὸν τὸν ἐν Τροίᾳ, Ξάνθον, Σκάμανδρον [39]) παρ' ἐκείνοις καλεῖσθαι, καὶ τὴν Χαλκίδα ὄρνεον, Κύμινδιν, καὶ τόπον τινὰ πρὸ τῆς πόλεως, οὗ οἱ Τρῶες ἐκάλουν Βατταῖαν, τὸν θεοῦ σῆμα μυρρίνης ὀνομάζειν. ὅθεν δὴ καὶ ἀσαφῆ τὰ τῶν χρησμῶν ἐστι, καὶ πολλοῦ ἤδη ἐξηπάτηκεν. Ὁ μέρῳ μὲν οὖν ἀσφαλὲς ἦν ἴσως πορεύεσθαι παρὰ τὸν Ἀπόλλω εἰς Δελφοὺς, ἅτε διὰ γλωττῶν [40]) ἐπισα-

μένῳ

36) προθυμεῖσθαι non intelligo. video quidem ſubaudiri χρῆσθαι, ſed nihil ideo planior eſt ſententia.

37) ἢ] ſic recte Veneta; ſequitur enim ſtatim ἡ ἀνθρ. ἢ θεοῦ. Morell. dat τῇ.

38) malim ἔγωγε.

39) locus hic recurrit orat. XI. n. 34.

40) διὰ γλωττῶν] quippe qui e Glottis, vel Gloſſis, h. e. e Gloſ-

μένω τὰς φωνὰς 41), εἴπερ ἀπάσας ἠπίστατο, ἀλλὰ μὴ ὀλίγ' ἄττα· ὥσπερ οἱ δύο ἢ τρία Περσικὰ εἰδότες ῥήματα, ἢ Μηδικὰ ἢ Ἀσσύρια, τοὺς ἀγνοοῦντας ἐξαπατῶσιν. σὺ δὲ ὁ δέδοικας, μὴ, ἄλλα τῷ θεῷ λέγοντος, ἄλλα διανοηθῇς; ὥσπερ ἐν φασὶ Λάϊον ἐκεῖνον, τὸν γενόμενον Χρυσίππου ἐραστήν· ὃς ἀφικόμενος εἰς Δελφοὺς, ἐπηρώτα τὸν θεὸν, ὅπως αὐτῷ ἔσοιντο παῖδες. ἔχρησεν ὃν μὴ γενναῖν, ἀλλὰ καὶ ἐκτιθέναι 42) γεννήσαντα. ἦτω δὲ ἀνόητος ἦν ὁ Λάϊος, ὥστε ἀμφότερα παρακοῦσαι τῷ θεῷ. καὶ γὰρ ἐγέννησε καὶ ἔθρεψεν. ἔπειτα καὶ αὐτὸς ἀπώλετο 43), καὶ πᾶς ὁ οἶκος αὐτοῦ, διότι ἀδύνατος ὢν, ἐπεχείρησε τῷ Ἀπόλλωνι χρῆσθαι. μὴ γὰρ, ταῦτα ἀκούσας, τὸν Οἰδίποδα ἂν ἐξέθηκεν. ὁ δὲ, οἴκοι τραφεὶς, ἂν ἀπέκτεινε τὸν Λάϊον, ἐπισάμενος, ὅτι αὐτοῦ παῖς εἴη. καὶ τοίνυν τὰ περὶ Κροῖσον ἀκήκοας τὸν Λυδὸν, ὃς ἡγέμενος πείθεσθαι τῷ θεῷ παντὸς μᾶλλον, καὶ διαβὰς τὸν ποταμὸν τὸν Ἅλυν, τὴν ἀρχὴν ἀπέβαλε, καὶ αὐτὸς ἐν πέδαις ἐδέθη, καὶ ὀλίγου κατεκαύθη ζῶν. ἢ σὺ οἴει Φρονιμώτερος εἶναι Κροίσου, ἀνδρὸς ἔτω πλουσίου καὶ τοσούτων ἀνθρώπων ἄρχοντος, καὶ Σόλωνι συγγενομένου, καὶ ἄλλοις παμπόλλοις σοφισταῖς; τὸν δὲ Ὀρέστην, καὶ αὐτὸν ὅπου ὁρᾷς ἐν ταῖς τραγῳδίαις ἐγκαλοῦντα τῷ θεῷ καὶ μεμφόμενον, ὁπότε μαίνοιτο, συμβουλεύσαντος ἐκεῖνα τὴν μητέρα ἀποκτεῖναι. καίτοι νομίζεις, τὸν Ἀπόλλωνα χαλεπόν τι ἢ αἰσχρὸν προστάξαι τοῖς ἐρωτῶσιν αὐτόν; ἀλλ' ὅπερ εἶπον, χρῆσθαι τῷ θεῷ ἀδύνατοι ὄντες, ἔπειτα ἐπιχειρῶν-

e Glossariis vel Lexicis, cognita haberet ea vocabula, quae diis essent propria.

41) τὰς φωνὰς] puta τῶν θεῶν.

42) ἐκτιθέναι] Anglus mauult ἀποκτιννύναι. a quo non abhorreo.

43) ἀπώλετο] sic recte Ven. ἀπώλετο Mor.

ρῶντες[44]), οὐχ αὐτοὺς, ἀλλ' ἐκεῖνον αἰτιῶνται. σὺ οὖν, ἐὰν μοι πεισθῇς, φυλάξῃ, καὶ πρότερον προθυμήσῃ γνῶναι σεαυτόν. ἔπειτα φρονήσας[45], ἐὰν δοκῇ σοι, τότε ἤδη μαντεύσῃ. ἐγὼ μὲν γὰρ αἰμαί σε μηδὲν δεήσεσθαι μαντείας, νοῦν ἔχοντα. καὶ γὰρ δὴ ὅρα, ἐάν σε κελεύσῃ γράφειν καὶ ἀναγινώσκειν ὀρθῶς, καὶ[46]) μὴ γραμματικὸν ὄντα, οὐ δυνήσῃ. γράμματα δὲ εἰδὼς, καὶ μὴ τοῦ θεοῦ κελεύοντος, κατὰ τρόπον γράψεις καὶ ἀναγνώσῃ. ὁμοίως δὲ ἄλλο ὁτιοῦν πράττειν ἐὰν συμβουλεύσῃ σοι μὴ ἐπισταμένῳ, οὐχ οἷός τε ἔσῃ. καὶ ζῆν ὀρθῶς οὐ δυνήσῃ, μὴ ἐπιστάμενος, οὐδ' ἂν κατὰ τὴν ἡμέραν ἑκάστην τὸν Ἀπόλλω ἐνοχλῇς, καὶ σοὶ μόνῳ σχολάζῃ. νοῦν δὲ ἔχων, γνώσῃ ἀπὸ σεαυτοῦ, ὅ, τι σοὶ πρακτέον ἐστὶ, καὶ ὅπως. ὁ δὲ ἔλαθε[47]) περὶ τοῦ Οἰδίποδος εἰπεῖν, ὅτι εἰς Δελφοὺς μὲν οὐκ ἦλθε μαντευσόμενος. τῷ δὲ Τειρεσίᾳ συμβαλὼν, μεγάλα κακὰ ἀπέλαυσε τῆς ἐκείνου μαντικῆς διὰ τὴν αὐτοῦ ἄγνοιαν. ἔγνω γὰρ, ὅτι τῇ μητρὶ συνεγένετο, καὶ παῖδες εἰσὶν αὐτῷ ἐξ ἐκείνης· καὶ μετὰ ταῦτα, δέον ἴσως κρύπτειν τοῦτο, ἢ ποιῆσαι νόμιμον τοῖς Θηβαίοις, πρῶτον μὲν πᾶσιν ἐποίησε φανερόν· ἔπειτα ἠγανάκτει καὶ ἐβόα μεγάλα, ὅτι τῶν αὐτῶν πατήρ ἐστι καὶ ἀδελφὸς, καὶ τῆς αὐτῆς γυναικὸς ἀνὴρ καὶ υἱός. οἱ δὲ ἀλεκτρυόνες οὐκ ἀγανακτοῦσιν ἐπὶ τούτοις, οὐδὲ οἱ κύνες, οὐδὲ τῶν ὄνων οὐδεὶς· οὐδὲ οἱ Πέρσαι, καίτοι δοκοῦσι τῶν κατὰ τὴν Ἀσίαν ἄριστοι. πρὸς δὲ τούτοις ἐτύφλωσεν αὐτόν· ἔπειτα ἠλᾶτο τετυφλωμένος, ὥσπερ οὐ

44) post ἐπιχειροῦντες videtur διαμαρτόντες, vel tale quid, excidisse.

45) f. ἔπειτα συμφρονήσας. deinde vbi tecum diligenter et sedulo deliberaueris.

46) καὶ est delendum.

47) ἔλαθε aut est corruptum, aut desunt quaedam.

ὲ δυνάμενος βλέπων πλανᾶσθαι. καὶ ὃς ἀκέσας ἔφη· σὺ μὲν, ὦ Διόγενες, ἀνοησιθητότατον ἁπάντων ἀνθρώπων ἀποφαίνεις τὸν Οἰδίπεν· οἱ δὲ Ἕλληνες οἴονται, ἐκ εὐτυχῆ μὲν γενέσθαι ἄνθρωπον συνετὸν δὲ πάντων μάλιστα· μόνον γᾶν αὐτὸν λῦσαι τὸ αἴνιγμα τῆς Σφιγγός. καὶ ὁ Διογένης γελάσας, μὴ γαὲ, ἔφη, ἐκεῖνος ἔλυσε τὸ αἴνιγμα ἐκ ἀκήκοας [48]), ὅτι ἄνθρωπον αὐτὸν ἐκέλευσε γνῶναι ἡ Σφίγξ; ὁ δὲ, ἄνθρωπον μὲν, ὅ ἐστιν, ἴστε εἶπεν, ἴστ' ἔγνω· τὸ δὲ ὄνομα τῷ ἀνθρώπῳ λέγων, ὥετο λέγειν τὸ ἐρωτώμενον [49]). ὥσπερ εἴ τις ἐρωτηθεὶς, τί ἐστι Σωκράτης; ὁ δὲ μηδὲν εἴποι πλέον τῷ ὀνόματος, ἢ ὅτι Σωκράτης. ἐγὼ δὲ ἤκουσα λέγοντος, ὅτι ἡ Σφὶγξ ἡ ἀμαθία ἐστί. ταύτην ἔν καὶ πρότερον διαφθεῖραι τὲς Βοιωτὲς, καὶ νῦν, ὀδὲν αὐτὲς ἐῶσαν [50]) εἰδέναι, ἅτε ἀνθρώπων ἀμαθεστάτες. τὲς μὲν ἔν ἄλλες μᾶλλόν τι αἰσθάνεσθαι τῆς αὐτῶν ἀνοίας· τὸν δὲ Οἰδίποδα, ὅσῳ [51]) σοφώτατον ἡγησάμενον εἶναι καὶ διαπεφευγέναι τὴν Σφίγγα, καὶ πείσαντα τὲς ἄλλες Θηβαίες, τοσέτῳ κάκιστα ἀπολέσθαι. ὅσοι γαὲ

48 ἀκήκοας] sic recte Ven. non tu perspexisti, Sphingem voluisse, vt Oedipus hominem ipsum cognosceret. Oedipus autem satis habuit merum hominis nomen edere, naturam autem moresque eius tam parum declarauit, quam cognorat. ἀκηκοὼς Morell.

49) τὸ ἐρωτώμενον] sic codex regius, sed Mor. et Ven. omittunt τὸ.

50) et nunc quoque adhuc corrumpere, eo, quod non sinat eos quicquam discere. ἐῶσαν legendum esse dudum e Ven. collegeram, in qua est ἐῶσα, saepe autem in ea ν finale excidit. nuper etiam reperi idem apud Morellum in annotationibus, sed ambigue, vt nescias, vter emendationis auctor sit, ipse Morellus, an codex manu scriptus.

51) videtur vtcunque ad hanc ferme sententiam posse locus restitui: ὅσῳ ἑαυτὸν σοφώτατον ἡγήσατο εἶναι — καὶ ἔπεισε ταυτὰ καὶ τὲς ἄλλες Θηβαίες.

γὰρ ἂν ἀμαθεῖς ὄντες, πεισθῶσι σοφοὶ εἶναι, ἔτοι πολὺ εἰσιν ἀθλιώτεροι τῶν ἄλλων ἁπάντων· καὶ ἔστι τοιοῦτον τὸ τῶν σοφιστῶν γένος.

ΤΡΩΙΚΟΣ ΥΠΕΡ ΤΟΥ ΙΛΙΟΝ ΜΗ ΑΛΩΝΑΙ.

ΛΟΓΟΣ ΙΑ'.

Οἶδα μὲν ἔγωγε σχεδὸν, ὅτι διδάσκειν μὲν ἀνθρώπους ἅπαντας χαλεπόν ἐστιν· ἐξαπατᾶν δὲ, ῥᾴδιον. καὶ μανθάνουσι μὲν μόγις, ἐάν τι καὶ μάθωσι, παρ' ὀλίγων τῶν εἰδότων, ἐξαπατῶνται δὲ τάχιστα ὑπὸ πολλῶν τῶν οὐκ εἰδότων, καὶ οὐ μόνον γε ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ αὐτοὶ ὑφ' αὑτῶν. τὸ μὲν γὰρ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις· τὸ δὲ ψεῦδος, γλυκὺ καὶ προσηνές. ὥσπερ γε, οἶμαι, καὶ τοῖς νοσοῦσι τὰ ὄμματα, τὸ μὲν φῶς ἀνιαρὸν ὁρᾶν· τὸ δὲ σκότος ἄλυπον καὶ φίλον, οὐκ ἐῶν βλέπειν. ἢ πῶς ἂν ἰσχύον[1]) τὰ ψεύδη πολλάκις, ὄντων ἀληθῶν, εἰ μὴ δι' ἡδονὴν ἐνίκα; χαλεπῷ δὲ, ὡς ἔφην, ὄντος τῷ διδάσκειν, τῷ παντὶ χαλεπώτερον τὸ μεταδιδάσκειν· ἄλλως τε, ὅταν[2]) πολύν τινες χρόνον ὦσι τὰ ψευδῆ ἀκηκοότες, καὶ μὴ μόνον αὐτοὶ ἐξηπατημένοι, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν καὶ οἱ πάπποι, καὶ σχεδὸν πάντες οἱ πρότερον. ὃ γὰρ ἐστι ῥᾴδιον τούτων ἀφελέσθαι τὴν δόξαν, ἐφ' ᾧ πάνυ τις ἐξελέγχῃ. καθάπερ οἶμαι τῶν τὰ ὑποβολιμαῖα παιδάρια θρεψάντων, χαλεπὸν ὕστερον ἀφε-

 λέσθαι

1) ἰσχύοι. in optat.
2) ἄλλως τε καὶ ὅταν.

ὲ δυνάμενος βλέπων πλανᾶσθαι. καὶ ὃς ἀκούσας ἔφη· σὺ μέν, ὦ Διόγενες, ἀναισθητότατον ἁπάντων ἀνθρώπων ἀποφαίνεις τὸν Οἰδίπουν· οἱ δὲ Ἕλληνες οἴονται, ἐκ εὐτυχῆ μὲν γενέσθαι ἄνθρωπον· συνετὸν δὲ πάντων μάλιστα· μόνον γᾶν αὐτὸν λῦσαι τὸ αἴνιγμα τῆς Σφιγγός. καὶ ὁ Διογένης γελάσας, μὴ γαὶρ, ἔφη, ἐκεῖνος ἔλυσε τὸ αἴνιγμα ἐκ ἀκήκοας [48], ὅτι ἄνθρωπον αὐτὸν ἐκέλευσε γνῶναι ἡ Σφίγξ; ὁ δὲ, ἄνθρωπον μέν, ὅ ἐστιν, ἔτε εἶπεν, ἔτ' ἔγνω· τὸ δὲ ὄνομα τῷ ἀνθρώπῳ λέγων, ὥετο λέγειν τὸ ἐρωτώμενον [49]. ὥσπερ εἴ τις ἐρωτηθεὶς, τί ἐστι Σωκράτης; ὁ δὲ μηδὲν εἴποι πλέον τῷ ὀνόματος, ἢ ὅτι Σωκράτης. ἐγὼ δὲ ἥκουσα λέγοντος, ὅτι ἡ Σφίγξ ἡ ἀμαθία ἐστί. ταύτην ἔν καὶ πρότερον διαφθεῖραι τὺς Βοιωτὺς, καὶ νῦν, ὐδὲν αὐτὺς ἐῶσαν [50] εἰδέναι, ἅτε ἀνθρώπων ἀμαθεστάτυς. τὺς μὲν ἔν ἄλλυς μᾶλλόν τι αἰσθάνεσθαι τῆς αὐτῶν ἀνοίας· τὸν δὲ Οἰδίποδα, ὅσῳ [51] σοφώτατον ἡγησάμενον εἶναι καὶ διαπεφευγέναι τὴν Σφίγγα, καὶ πείσαντα τὺς ἄλλυς Θηβαίυς, τοσύτῳ κάκιστα ἀπολέσθαι. ὅσοι γαὶρ

48 ἀκήκοας] sic recte Ven. non tu perspexisti, Sphingem voluisse, vt Oedipus hominem ipsum cognosceret. Oedipus autem satis habuit merum hominis nomen edere, naturam autem moresque eius tam parum declarauit, quam cognorat. ἀκηκοὼς Morell.

49) τὸ ἐρωτώμενον] sic codex regius, sed Mor. et Ven. omittunt τὸ.

50) et nunc quoque adhuc corrumpere, eo, quod non sinat eos quicquam discere. ἐῶσαν legendum esse dudum e Ven. collegeram, in qua est ἐῶσα, saepe autem in ea ν finale excidit. nuper etiam reperi idem apud Morellum in annotationibus, sed ambigue, vt nescias, vter emendationis auctor sit, ipse Morellus, an codex manu scriptus.

51) videtur vtcunque ad hanc ferme sententiam posse locus restitui: ὅσῳ ἑαυτὸν σοφώτατον ἡγήσατο εἶναι — καὶ ἔπεισε ταυτὰ καὶ τὺς ἄλλυς Θηβαίυς.

γὰρ ἂν ἀμαθεῖς ὄντες, πεισθῶσι σοφοὶ εἶναι, ἔτοι πολὺ εἰσιν ἀθλιώτεροι τῶν ἄλλων ἁπάντων· καὶ ἔστι τοιοῦτον τὸ τῶν σοφιστῶν γένος.

ΤΡΩΙΚΟΣ ΥΠΕΡ ΤΟΥ ΙΛΙΟΝ ΜΗ ΑΛΩΝΑΙ.

ΛΟΓΟΣ ΙΑ'.

Οἶδα μὲν ἔγωγε σχεδὸν, ὅτι διδάσκειν μὲν ἀνθρώπους ἅπαντας χαλεπόν ἐστιν· ἐξαπατᾶν δὲ, ῥᾴδιον. καὶ μανθάνουσι μὲν μόγις, ἐάν τι καὶ μάθωσι, παρ' ὀλίγων τῶν εἰδότων, ἐξαπατῶνται δὲ τάχιστα ὑπὸ πολλῶν τῶν οὐκ εἰδότων, καὶ οὐ μόνον γε ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ αὐτοὶ ὑφ' αὑτῶν. τὸ μὲν γὰρ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις· τὸ δὲ ψεῦδος, γλυκὺ καὶ προσηνές. ὥσπερ γε, οἶμαι, καὶ τοῖς νοσοῦσι τὰ ὄμματα, τὸ μὲν φῶς ἀνιαρὸν ὁρᾶν· τὸ δὲ σκότος ἄλυπον καὶ φίλον, οὐκ ἐῶν βλέπειν. ἢ πῶς ἂν ἰσχύον[1]) τὰ ψεύδη πολλάκις, ὄντων ἀληθῶν, εἰ μὴ διὰ ἡδονὴν ἐνίκα; χαλεπῷ δὲ, ὡς ἔφην, ὄντος τῷ διδάσκειν, τῷ παντὶ χαλεπώτερον τὸ μεταδιδάσκειν· ἄλλως τε, ὅταν[2]) πολύν τινες χρόνον ὦσι τὰ ψευδῆ οἰκήσαντες, καὶ μὴ μόνον αὐτοὶ ἐξηπατημένοι, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν καὶ οἱ πάπποι, καὶ σχεδὸν πάντες οἱ πρότερον. ἐ γάρ ἐστι ῥᾴδιον τούτων ἀφελέσθαι τὴν δόξαν, ἐφ' ἃν παύσῃ τις ἐξελέγχῃ. καθάπερ οἶμαι τῶν τὰ ὑποβολιμαῖα παιδάρια θρεψάντων, χαλεπὸν ὕστερον ἀφε-

λέσθαι

1) ἰσχύοι. in optat.
2) ἄλλως τε καὶ ὅταν.

λέσθαι τἀληθῆ λέγοντα· ἅγε ἐν ἀρχῇ εἴ τις αὐτοῖς ἔφρασεν, οὐκ ἄν ποτε ἕλοιντο[3]). οὕτω δὲ τοῦτο ἰσχυρόν ἐστιν, ὥστε πολλοὶ τὰ κακὰ μᾶλλον προσποιοῦνται, καὶ ὁμολογοῦσι καθ' αὑτῶν, ἂν ὦσι πεπεισμένοι πρότερον, ἢ τἀγαθὰ μετὰ χρόνον ἀκούοντες. οὐκ ἂν οὖν θαυμάσαιμι καὶ ὑμᾶς, ἄνδρες Ἰλιεῖς, εἰ πιστότερον ἡγήσασθε[4]) Ὅμηρον, τὰ χαλεπώτατα ψευσάμενον καθ' ὑμῶν, ἢ ἐμὲ τἀληθῆ λέγοντα· κἀκεῖνον μὲν ὑπολαβεῖν[5]) θεῖον ἄνδρα καὶ σοφὸν, καὶ τοὺς παῖδας εὐθὺς ἐξαρχῆς τὰ ἔπη διδάσκειν[6]), οὐθὲν ἄλλο ἢ κατάρας ἔχοντα κατὰ τῆς πόλεως, καὶ ταύτας οὐκ ἀληθεῖς· ἐμοῦ δὲ μὴ ἀνέχοισθε, τὰ ὄντα καὶ γενόμενα λέγοντος, ὅτι πολλοῖς ἔτεσιν ὕστερον Ὁμήρου γέγονα. καίτοι φασὶ μὲν οἱ πολλοὶ τὸν χρόνον τῶν πραγμάτων καὶ[7]) κριτὴν ἄριστον εἶναι, ὅτι δ' ἂν ἀκούωσι μετὰ πολὺν χρόνον, διὰ τοῦτο ἄπιστον νομίζουσιν· εἰ μὲν οὖν παρ' Ἀργείοις ἐτόλμων ἀντιλέγειν Ὁμήρῳ, καὶ τὴν ποίησιν αὐτοῦ δεικνῦναι ψευδῆ περὶ τὰ μέγιστα, τυχὸν ἂν εἰκότως ἤχθοντό[8]) μοι καὶ τῆς πόλεως ἐξέβαλον, εἰ τὴν παρ' ἐκείνων δόξαν[9]) ἐφαινόμην ἀφανίζων καὶ καθαιρῶν· ὑμᾶς δὲ δίκαιόν ἐστί μοι χάριν εἰδέναι καὶ ἀκροᾶσθαι προθύμως· ὑπὲρ γὰρ τῶν ὑμετέρων προγόνων ἐσπούδακα. προλέγω δὲ ὑμῖν, ὅτι τοὺς λόγους τούτους ἀνάγκη παρ' ἑτέροις ῥηθῆναι, καὶ πολλοὺς πυθέσθαι· τούτων δὲ οἱ μέν τινες οὐ συνήσουσιν, οἱ δὲ προσποιήσονται καταφρονεῖν,

οὐ

3) f. ἀνέλοιντο, quod reperio in V. L. Venetae quoque.
4) ἡγήσαισθε.
5) ὑπολάβοιτε.
6) aut διδάσκοιτε, aut ἀξιοῖτε διδάσκειν.
7) καὶ videtur del. esse.
8) f. ἀπήχθοντο.
9) f. τὴν πάτριον ἐκείνων δόξαν.

δὲ καταφρονοῦντες αὐτῶν [10]· οἱ δέ τινες ἐπιχειρήτειν ἐξελέγχειν, μᾶλιστα δὲ, οἶμαι, τὰς κακοδαίμονας σοφιστάς [11]). ἐγὼ δὲ ἐπίσταμαι σαφῶς, ὅτι οὐδὲ ὑμῖν πρὸς ἡδονὴν ἔσονται. οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων ἔτως ἄγαν εἰσὶν ὑπὸ δόξης διεφθαρμένοι τὰς ψυχάς, ὥστε μᾶλλον ἐπιθυμοῦσι περιβόητοι εἶναι ἐπὶ τοῖς μεγίστοις ἀτυχήμασιν· ἢ μηδὲν κακὸν ἔχοντας [12]) ἀγνοεῖσθαι. αὐτὰς γὰρ οἶμαι τὰς Ἀργείας μηδ' ἂν ἐθέλειν ἄλλως γεγονέναι τὰ περὶ τὸν Θυέστην καὶ τὸν Ἀτρέα καὶ τὰς Πελοπίδας· ἀλλ' ἄχθεσθαι σφόδρα, ἐάν τις ἐξελέγχῃ τὰς μύθους τῶν τραγωδιῶν, λέγων, ὅτι ἔτε Θυέστης ἐμοίχευσε τὴν τοῦ Ἀτρέως, ἔτε ἐκεῖνος ἀπέκτεινε τὰς τοῦ ἀδελφοῦ παῖδας, ἔτε κατακόψας εἵψησε τὸν Θυέστην· οὐδὲ Ὀρέστης αὐτόχειρ ἐγένετο τῆς μητρός. ἅπαντα ταῦτα εἰ λέγοι τις, χαλεπῶς ἂν φέροιεν ὡς λοιδορούμενοι. τὸ δὲ αὐτὸ τοῦτο καὶ Θηβαίους οἶμαι παθεῖν, εἴ τις τὰ παρ' αὐτοῖς ἀτυχήματα ψευδῆ ἀποφαίνοι, ὡς [13]) ἔτε τὸν πατέρα Οἰδίπουν ἀποκτείναντα, ἔτε τῇ μητέρι συγγενόμενον, ἔτε αὐτὸν τυφλώσαντα, ἔτε τοὺς παῖδας αὐτοῦ πρὸ τοῦ τείχους ἀποθανόντας ὑπ' ἀλλήλων· ἔθ' ὡς ἡ σφὶγξ οἰφομένη κατεσθίοι τὰ τέκνα αὐτῶν; ἐπιδεικνύοι. ἀλλὰ τἀναντίον ἥδονται ἀκούοντες καὶ τὴν Σφίγγα ἐπιπεμφθεῖσαν αὐτοῖς διὰ χόλον Ἥρας, καὶ τὸν Λάϊον ὑπὸ τοῦ υἱέος ἀναιρεθέντα, καὶ τὸν Οἰδίπουν ταῦτα ποιήσαντα καὶ παθόντα, τυφλὸν ἀλᾶσθαι· καὶ πρότερον ἄλλου βασιλέως αὐτῶν καὶ τῆς πόλεως οἰκιστοῦ Ἀμφίονος τοὺς παῖδας, ἀνθρώπων καλλίστους

10) αὐτῶν] sic recte dat ed. Ven. et Rhodomanni. αὐτὸν Mor.

11) post σοφιστὰς abesse videtur τοῦτο ποιήσειν.

12) ἔχοντες.

13) ὡς] ſ. καὶ; paulo post vult Rhodom. ἐπιδεικνύων, aut hic ſeruata vulgata, debere ait καὶ ὡς legi.

γενομένας, κατατοξευθῆναι ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος· καὶ ταῦτα αὐλούντων καὶ ᾀδόντων ἐνέχονται παρ' αὐτοῖς ἐν τῷ θεάτρῳ· καὶ τιθέασιν ἆθλα περὶ τούτων, ὃς ἂν οἰκτρότατα εἴπῃ περὶ αὐτῶν ἢ αὐλήσῃ· τὸν δὲ εἰπόντα, ὡς ἐ γέγονεν ἐδὲν αὐτῶν, ἐκβάλλουσιν. εἰς τοῦτο μανίας οἱ πολλοὶ ἐληλύθασι, καὶ ὅτω πάνυ ὁ τύφος αὐτῶν κεκράτηκεν. ἐπιθυμοῦσι γὰρ ὡς πλεῖστον ὑπὲρ αὐτῶν γίγνεσθαι λόγον· ὁποῖον δέ τινα, ἐδὲν μέλει αὐτοῖς. ὅμως δὲ πάσχειν μὲν ἐ θέλουσι τὰ δεινὰ διὰ δειλίαν, φοβούμενοι τὸς τε θανάτους καὶ τὰς ἀλγηδόνας· ὡς δὲ παθόντας [14]) μνημονεύεσθαι, περὶ πολλοῦ ποιοῦνται. ἐγὼ δέ, ἔθ' ὑμῶν χαριζόμενος, ἔθ' Ὁμήρῳ διαφερόμενος, ἐδὲ τῆς δόξης φθονῶν ἐκείνῳ, πειράσομαι δεικνύναι, ὅσα μοι δοκεῖ [15]) ψευδῆ εἰρηκέναι περὶ τῶν ἐνθάδε πραγμάτων· ἐκ ἄλλοθέν ποθεν, ἀλλ' ἐξ αὐτῆς τῆς ποιήσεως ἐλέγχων, τῷ τε ἀληθεῖ βοηθῶν, καὶ μάλιστα διὰ τὴν Ἀθηνᾶν, ὅπως μὴ δοκῇ ἀδίκως διαφθεῖραι τὴν αὐτῆς πόλιν [16]), μηδὲ ἐναντίαι βέλεσθαι τῷ αὐτῆς πατρὶ, ἐχ ἧττον δὲ διὰ τὴν Ἥραν, καὶ τὴν Ἀφροδίτην. δεινὸν γὰρ, τὴν μὲν τῷ Διὶ συνοῦσαν, μὴ νομίσαι κρατῆν ἱκανὸν τοῦ αὐτῆς εἴδους [17]), εἰ μὴ ἀρέ-

14) malim παθόντες.

15) δοκεῖ etiam Vir doctus adſcripſit Venetae, item

16) πόλιν, nam in Veneta eſt δοκεῖν et πόλεσιν.

17) lectionem in marg. Morell. poſitam τὸ αὐτῆς εἶδος, quae videtur eſſe coniectura Morelli, Rhodomannus in textum ſuum intulit. Sed in Veneta legitur non κρατεῖν, quod Morellus de ſuo dedit, ſed κρατῆν. Inſpexiſſent modo interpretes Morelli ad h. l. annotationem, vt e codice regio affert κριτῆν, quae eſt vera lectio; vnde locum ſic conſtituo: μὴ νομίσαι τὸν Δία (vel ſaltim αὐτὸν) κριτὴν ἱκανὸν τοῦ αὐτῆς εἴδους. *graue eſt, Iunonem, Iouis vxorem, Iouem, maritum ſuum, non babuiſſe pro arbitro idoneo ſuae formae.*

ἀρέσαι καὶ τῶν ἐν Ἴδῃ βουκόλων ἑνὶ, τὴν δὲ ἀρχὴν ὑπὲρ κάλλους ἐρίζειν τῇ Ἀφροδίτῃ, πρεσβυτάτην φάσκουσαν εἶναι τῶν Κρόνου παίδων, ὡς αὐτὸς Ὅμηρος ἀπήγγειλε ποιήσας·

Καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης.

ἔτι δὲ οὕτω χαλεπῶς διατεθῆναι πρὸς τὸν Πάριν, αὐτὴν [18]) ἐπιτρέψασαν τὴν κρίσιν· καίτοι οὐδὲ τῶν ἀνθρώπων ὃς ἂν ἐπιτρέψῃ διαιτᾶν [19]), ἐχθρὸν ἡγεῖται τὸν διαιτητὴν, ἐὰν μὴ δικάσῃ καθ' ἑαυτόν· τὴν δέ γε Ἀφροδίτην οὕτως αἰσχρὰν καὶ ἄδικον καὶ ἀσύμφορον δοῦναι δωρεὰν, καὶ μηδένα ποιήσασθαι λόγον μήτε τῆς Ἑλένης ἀδελφῆς οὔσης, μήτε τοῦ Ἀλεξάνδρου τοῦ προκρίναντος αὐτήν· ἀλλὰ χαρίζεσθαι τοιοῦτον γάμον, δι' ὃν αὐτός τε ἤμελλεν ἀπόλλυσθαι, καὶ οἱ γονεῖς αὐτοῦ καὶ ἡ πόλις. ἔτι δὲ οὐκ ἄξιον οἶμαι παριδεῖν οὐδὲ τὸ τῆς Ἑλένης, ἣ τοῦ Διὸς λεγομένη θυγάτηρ, διὰ μὲν τὴν ἄδικον φήμην περιβόητος ἐπ' αἰσχύνῃ γέγονε· διὰ δὲ τὴν αὐτῆς αἰσχύνην θεὸς ἐνομίσθη παρὰ τοῖς Ἕλλησιν. ἀλλ' ὅμως ὑπὲρ τηλικούτων ὄντος τοῦ λόγου, τινὲς τῶν σοφιστῶν ἀσεβεῖν με φήσουσιν Ὁμήρῳ ἀντιλέγοντα, καὶ ἐπιχειρήσουσι διαβάλλειν πρὸς τὰ δύστηνα μειράκια, ὧν ἐμοὶ ἐλάττων λόγος ἐστὶν, ἢ πιθήκων. πρῶτον μὲν οὖν φασι, τὸν Ὅμηρον ὑπὸ πενίας τε καὶ ἀπορίας προσαιτεῖν ἐν τῇ Ἑλλάδι· τὸν δὲ τοιοῦτον ἀδύνατον ἡγοῦνται ψεύσασθαι πρὸς χάριν τῶν διδόντων, οὐδ' ἂν τὰ τοιαῦτα λέγειν, ὁποῖα ἔμελλεν ἐκείνοις καθ' ἡδονὴν ἔσεσθαι· τοὺς δὲ νῦν πτωχοὺς οὐδέν φασιν ὑγιὲς λέγειν, οὐδὲ μάρτυρα οὐδεὶς ἂν οὐδένα ἐκείνων ποιήσαιτο [20]) ὑπὲρ οὐδενὸς, οὐδὲ τοὺς ἐπαίνους τοὺς

18) αὐτὴν] sic recte Ven. αὐτῷ Mor.

19) f. δίαιταν (in accus. sing. nom. subst.)

20) affirmat Morellus, se verba traiecta ope codicis regii in ordinem redegisse. sed eodem verba leguntur ordine in Ven.

παρ' αὐτῶν ἀποδέχονται ὡς ἀληθεῖς. ἴασι γάρ, ὅτι πάντα θωπεύοντες ὑπ' ἀνάγκης λέγουσιν. ἔπειτα δὲ εἰρήκασι, τὰς μὲν, ὡς πτωχῷ, τὰς δὲ, ὡς μαινομένῳ ἀπάρχεσθαι [21]). καὶ μᾶλλον εἰόντες τὰς τότε καταγνῶναι αὐτῇ μανίαν, τἀληθῆ δὲ λέγοντος, ἃ προσεθείκασιν, ἢ ψευδομένῳ. ἃ μὴν ὅσον γε ἐπὶ τούτοις, ψέγω [22]) Ὅμηρον· κωλύει γὰρ ἀθῆν, ἄνδρα σοφὸν πτωχεύειν, ἀδὲ μαίνεσθαι δοκεῖν· ἀλλ' ὅτι κατὰ τὴν ἐκείνων δόξαν, ἣν ἔχουσι περὶ Ὁμήρου, καὶ περὶ τῶν τοιούτων εἰκός ἐστι μηθὲν ὑγιὲς εἶναι τῶν εἰρημένων ὑπ' αὐτοῦ. ἃ τοίνυν ἀδὲ τόδε νομίζουσιν, ἐκ εἶναι ἐν τῇ Ὁμήρου Φύσει τὸ ψεῦδος, ἀδὲ ἀποδέχεσθαι αὐτὸν τὸ τοιοῦτον. πλεῖστα γὰν τὸν Ὀδυσσέα πεποίηκε ψευδόμενον, ὃν μάλιστα ἐπαινεῖ· τὸν δὲ Αὐτόλυκον καὶ ἐπιορκεῖν φησι, καὶ τοῦτο αὐτῷ παρὰ τοῦ Ἑρμοῦ δεδόσθαι. περὶ δὲ θεῶν πάντες, ὡς ἔπος εἰπεῖν, ὁμολογοῦσι, μηθὲν ἀληθὲς λέγειν Ὅμηρον, καὶ οἱ πάνυ ἐπαινοῦντες αὐτὸν, καὶ τοιαύτας ἀπολογίας πειρῶνται πορίζειν, ὅτι ἃ φρονῶν ταῦτ' ἔλεγεν, ἀλλ' αἰνιττόμενος καὶ μεταφέρων· τί ἂν κωλύει καὶ περὶ τῶν ἀνθρώπων αὐτὸν ἅττως εἰρηκέναι; ὅστις γὰρ περὶ θεῶν ἃ φανερῶς τἀληθῆ [23]) φησιν, ἀλλὰ τἀναντίον· ἅττως ὤξε τὰ [24]) ψευ-

Ven. quo hic, vt nil diſeriminis inter ambas editiones h. l. repererim.

21) ἀπάρχεσθαι] interpres reddidit *ſtipem dediſſe*, fortitan in animo habens ἐπαρκεῖν, quod in marg. Ven. meae adſcriptum reperio. ego vero haud probo, tametſi ſententiam vulgatae haud magis intelligo, et neſcio, probane ſit, an corrupta; quod poſterius ſi ſit, malim προσέρχεσθαι.

22) ψέγω] Ven. ψεγῶν.

23) f. περὶ τῶν θεῶν Φανερῶς ἃ τἀληθῆ.

24) poſt τὰ deeſſe videtur vocabulum εἰρημένα, vel λεγόμενα, vel tale quid. *adeo vt lectores dicta vel maxime pro mendatiis habeant.*

ψευδῆ μᾶλλον ὑπολαμβάνειν τοὺς ἐντυγχάνοντας, καὶ ταῦτα μηδὲν ὠφελούμενος, πῶς ἂν περί γε ἀνθρώπων ὀκνήσειεν ὁτιοῦν ψεῦδος εἰπεῖν; καὶ ὅτι μὲν πεποίηκεν ἀλγοῦντας τοὺς θεοὺς καὶ ςένοντας καὶ τιτρωσκομένους, καὶ ἀποθνήσκοντας σχεδόν· ἔτι δὲ μοιχείας, καὶ δεσμοὺς, καὶ διεγγυήσεις θεῶν, οὐ λέγω, πρότερον εἰρημένα πολλοῖς. οὐδὲ γὰρ βούλομαι κατηγορεῖν Ὁμήρου, μόνον δ' ἐπιδεῖξαι τἀληθὲς, ὡς γέγονεν [25]· ἐπεί τοι ἀπολογήσομαι ὑπὲρ αὐτοῦ τὰ ἐμοὶ δοκοῦντα. ὅτι δὲ τὸ ψεῦδος οὐκ ὤκνει [26]) πάντων μάλιςα, οὐδὲ αἰσχρὸν ἐνόμιζε τοῦτο λέγων [27]), πότερον δὲ ὀρθῶς, ἢ μὴ, παρίημι νῦν σκοπεῖν. ἀφεὶς οὖν ὅσα δεινὰ δοκεῖ πεποιηκέναι περὶ θεῶν, καὶ οὐ πρέποντα ἐκείνῳ [28]), τοῦτό φημι μόνον, ὅτι λόγους οὐκ ὤκνει [29]) τῶν θεῶν ἀπαγγέλλειν, οὓς φησιν αὐτοὺς διαλέγεσθαι πρὸς αὐτούς· καὶ οὐ μόνον γε τοὺς ἐν κοινῷ γινομένους, καὶ παρατυγχανόντων ἁπάντων τῶν θεῶν· ἀλλὰ καὶ οὓς ἰδίᾳ τινὲς διαλέγονται ἀλλήλοις· οἷον ὁ Ζεὺς τεθυμωμένος τῇ Ἥρᾳ διὰ τὴν ἀπάτην. καὶ τὴν ἧτταν τῶν Τρῴων, καὶ πρότερον Ἥρα πρὸς τὴν Ἀφροδίτην [29b]), παρακαλοῦσα φαρμάξαι τὸν πατέρα, καὶ δοῦναι τὸ φίλτρον αὐτῇ τὸν κεςὸν ἱμάντα, ὡς εἰκὸς, ἐν ἀποῤῥήτῳ τοῦτο ἀξιοῦσα. οὐδὲ γὰρ τῶν ἀνθρώπων εἰκὸς ἄλ-

25) restituo locum hunc e codice regio Parisino, cuius hanc lectionem Morellus in animadv. suis inde refert: μόνον δ' ἐπιδεῖξαι τἀλ. ὡς γέγ. *sed solummodo demonstrare verum, quomodo puta euenerit.* Ven. et Mor. dant δέ ἐςι δεῖξαι τἀλ. ὡς οὐ γέγ.

26) ὤκνει] sic codex regius, quemadmodum etiam editio Rhodom. ὄκνει Mor.

27) aut λέγω est leg. aut seruato λέγων, delendum erit δὲ paulo post.

28) malim ἐκείνοις, vt ad deos redeat.

29) ὤκνει] sic recte Ven. et ed. Rhod. ὄκνει Mor.

29b) πρὸς τὴν ἀφροδίτην] scil. διαλέγεται.

λον τινὰ εἰδέναι τὰ τοιαῦτα, ἀνδρὸς καὶ γυναικὸς διαφερομένων καὶ λοιδορούντων ἐνίοτε ἀλλήλως. καὶ τὸν Ὀδυσσέα [30]) πεποίηκεν ἐπανορθούμενον τὸ τοιοῦτον, μὴ δόξῃ ἀλαζὼν διηγούμενος τὰς παρὰ τοῖς θεοῖς γενομένας ὑπὲρ αὐτοῦ λόγους. ἔφη γὰρ αὐτοῦ τῆς Καλυψοῦς, ἐκείνην δὲ παρά τε [31]) πυθέσθαι· περὶ αὐτοῦ δὲ ὧδέν τοιοῦτον εἰρηκεν, ὅτι παρὰ θεᾶ πύθοιτό τινος. ἔτω πάνυ κατεφρόνει τῶν ἀνθρώπων, καὶ ὧδέν αὐτῷ ἔμελεν, εἰ δόξει μηδὲν λέγειν ἀληθές. ἐ γὰρ δὴ πείσειν γε ἐνόμιζέ τινα, ὡς ἐπίστατο τὰς παρὰ τοῖς θεοῖς γενομένας ὑπὲρ αὐτοῦ λόγους. ἔφη γὰρ αὐτοῦσαι ἅπαντα καὶ τὰς πολλὰς ἔπεισε. διηγεῖται δὲ καὶ τὴν συνουσίαν τὴν τοῦ Διὸς πρὸς τὴν Ἥραν, ἐν τῇ Ἰδῃ γενομένην, καὶ τὰς λόγους, ἃς εἶπε πρὸ τῆς συνουσίας, ὡς αὐτὸς ἑωρακώς τε καὶ ἀκηκοώς, καὶ ὧδέν αὐτὸν ἐκώλυσεν, ὡς ἔοικε, τὸ νέφος, ὃ περιεκάλυψεν ὁ Ζεὺς, τοῦ μὴ φανεροὺς γενέσθαι. τούτοις δὲ ἐπέθηκε τὸν κολοφῶνα σχεδόν [32]). ἵνα γὰρ μὴ ἀποροῦμεν, ὅπως ξυνῇ [33]) τῶν θεῶν, ἔτω διαλέγεται, ἡμῖν σχεδὸν, ὡς ἔμπειρος τῆς τῶν θεῶν γλώττης [34]), καὶ ὅτι ἐχ ἡ αὐτὴ ἐστι τῇ ἡμετέρᾳ,

30) malim καίτοι τὸν μὲν ὀδυσσέα.

31) Rhodomannus dedit παρὰ τοῦ θεοῦ, quod minus placet; malim παρὰ τοῦ ἑρμοῦ.

32) locus bene habet, quod dudum Morellus quoque admonuit, tametsi Rhodomanno visum fuit aliquid deesse. sed sarta et tecta hic sunt omnia. σχεδὸν est *ut ita dicam, colophonem mendaciis suis imposuit.*

33) in Ven. est ξενίοι, in codice regio ξυνίοι, in ed. Rhod. ξυνίῃ.

34) post γλώττης addit codex regius, teste Morello: ὥσπερ γὰρ τοῖς βαρβάροις διαλέγονται οἱ δίγλωττοι καλούμενοι, καὶ ἑρμηνεύοντες αὐτοῖς τὰ παρ' ἡμῶν· ἔτως Ὅμηρος ἡμῖν διαλέγεται, τὰ παρὰ τῶν θεῶν ἑρμηνεύων,

ρα, οὐδὲ τὰ αὐτὰ ὀνόματα ἐφ' ἑκάστῳ λέγουσιν, ἅπερ καὶ ἡμεῖς. ἐνδείκνυται δὲ ταῦτα ἐπὶ ὀρνέου τινὸς, ὃ φησι τοὺς μὲν θεοὺς Χαλκίδα καλεῖν, τοὺς δὲ ἀνθρώπους, Κύμινδιν· καὶ ἐπὶ τόπου τινὸς πρὸ τῆς πόλεως, ὃν τοὺς μὲν ἀνθρώπους Βαττείαν ὀνομάζειν, τοὺς δὲ θεοὺς Σῆμα μυῤῥίνης. περὶ δὲ τοῦ ποταμοῦ Φράσας ἡμῖν, ὅτι οὐ Ξάνθος, ἀλλὰ Σκάμανδρος λέγοιτο παρὰ τοῖς θεοῖς, αὐτὸς οὕτως ἤδη ἐν τοῖς ἔπεσιν ὀνομάζει· ὡς οὐ μόνον ἐξὸν αὐτῷ τὰς ἄλλας γλώττας μιγνύειν τὰς τῶν Ἑλλήνων, καὶ ποτὲ μὲν αἰολίζειν, ποτὲ δὲ δωρίζειν, ποτὲ δὲ ἰάζειν, ἀλλὰ καὶ διαςὶ[35]) διαλέγεσθαι· καθάπερ οἶμαι θετταλίζοντα ἢ κρητίζοντα, οἷον εἰ τὴν ἀγορὰν ἐκάλει λιμένα, Θετταλῶν ἀκούσας. ταῦτα δέ μοι εἴρηται, ὥσπερ ἤδη ἔφην, οὐ κατηγορίας ἕνεκεν, ἀλλ' ὅτι ἀνδρειότατος ἦν ἀνθρώπων πρὸς τὸ ψεῦδος Ὅμηρος· καὶ οὐχ ἧττον ἐθάῤῥει καὶ ἐσεμνύνετο ἐπὶ τῷ ψεύδεσθαι, ἢ τῷ τἀληθῆ λέγειν. οὕτω[36]) γὰρ σκοποῦσιν οὐθὲν ἔτι φαίνηται

νεύων, ὥσπερ ἐπιςάμενος τὴν θείαν διάλεκτον. πρῶτον μὲν ὅτι οὐχ — quae lectio in Ven. post ἐπιτέθεικεν habetur.

35) διαςὶ est felix et ingeniosa emendatio Casauboni, et sic coniecit Rhod. sed in texto exhibuit θεαςὶ pro ἰαςὶ, quod est in Ven. sed Morellus quoque sic emendauit in animadv. tacito Casaubono. vir doctus Venetae meae adscripserat θειαςὶ, *diuina loqui*. Verba καθάπερ — ἀκούσας h. l. omnia desunt Ven.

36) post οὕτω addit Veneta μὲν, et dat post σκοποῦσι: πάνυ σμικρὰ καὶ ὀλίγου ἄξια φαίνεται, ἃ ἐγὼ φημὶ ἀτὸν ἐψεῦσθαι. τῷ γὰρ ὄντι, ἀνθρώπινα ψεύσματα καὶ λίαν πιθανὰ, πρὸς θείαν καὶ ἀμήχανον φύσιν, ἐρας δὴ ἐπιτέθεικεν. ὥσπερ γὰρ τοῖς β. — πρῶτον μὲν οὐχ ἡ αὐτὴ ἐςὶ τῇ ἡμετέρᾳ. οὐδὲ τὰ αὐτὰ παρά τ ἡμῖν καὶ παρ' ἐκείνοις ὀνόματα. ἔπειτα ἐξηγούμενος περί τινων, ὅπως οἱ θεοὶ νομίζουσιν. οἷον οτι τὴν χαλκίδα κύμινδιν οἱ θεοὶ καλοῦσι. τόπον δέ τινα πρὸ ῆς πόλεως βαττείαν ὀνομαζόμενον. σῆμα μυῤῥίνης. τὸ δὲ μῶλυ

νηται[37]) παράδοξον οὐδὲ ἄπιστον τῶν ὑπ' ἐμοῦ δεικνυμένων· ἀλλὰ σμικρὰ καὶ ἀνθρώπεια ψεύσματα πρὸς θεῖα καὶ μεγάλα. ἐπιχειρήσας γὰρ τὸν πόλεμον εἰπεῖν, τὸν γενόμενον ὑπ' Ἀχαιοῖς πρὸς τοὺς Τρῶας, οὐκ εὐθὺς ἤρξατο ἀπὸ τῆς ἀρχῆς, ἀλλ' ὅθεν ἔτυχεν· ὃ ποιοῦσι πάντες οἱ ψευδόμενοι σχεδὸν, ἐμπλέκοντες καὶ περιπλέκοντες, καὶ οὐθὲν βουλόμενοι λέγειν ἐφεξῆς· ἧττον γὰρ κατάδηλοί εἰσιν· εἰ δὲ μὴ, ὑπ' αὐτοῦ τοῦ πράγματος ἐξελέγχονται. τοῦτο δὲ ἰδεῖν ἐστι καὶ ἐν τοῖς δικαστηρίοις καὶ ἄλλως γινόμενον, οἳ[38]) μετὰ τέχνης ψεύδονται. οἱ δὲ βουλόμενοι τὰ γενόμενα ἐπιδεῖξαι, ὡς ξυνέβη ἕκαστον, οὕτως ἀπαγγέλλουσι, τὸ πρῶτον, πρῶτον· καὶ τὸ δεύτερον, δεύτερον· καὶ τἄλλα ἐφεξῆς ὁμοίως. ἓν μὲν τοῦτο αἴτιον, τοῦ μὴ κατὰ φύσιν ἄρξασθαι τῆς ποιήσεως· ἕτερον δὲ, ὅτι τὴν ἀρχὴν αὐτῆς καὶ τὸ τέλος μάλιστα ἐπεβούλευσεν ἀφανίσαι, καὶ ποιῆσαι[39]) τὴν ἐναν-

μῶλυ εἰπὼν ὅπως οἱ θεοὶ λέγουσιν, οὐκέτι προσίθησι τὸ παρὰ τοῖς ἀνθρώποις ὄνομα (et sic etiam codex regius), καὶ τὸν ποταμὸν εἰπὼν ὅτι ὁ σκάμανδρος, ἀλλὰ ξάνθος ὀνομάζοιτο παρ' αὐτοῖς, (ὃν ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ σκάμανδρον. Iliad. 20. v. 74.) οὕτως ἤδη ἐν τοῖς ἔπεσι χρῆται. ὡς ἐξὸν αὐτῷ, μὴ μόνον τὰς τῶν ἑλλήνων φωνὰς μιγνύειν, μὴ δὲ τοῖς σφόδρα ἀρχαίοις, ἀλλὰ καὶ τοῖς δαιμονίοις χρήσεσθαι ὀνόμασι. καὶ ποτὲ μὲν αἰολίζοντα, ποτὲ δὲ δωρίζοντα, πάλιν δὲ ἰάζοντα διαλέγεσθαι καθάπερ οἶμαι θεταλίζοντα ἢ κρητίζοντα. οἷον εἰ τὴν ἀγορὰν ἐκάλει λιμένα, θετταλῶν ἀκούσας. ταῦτα δέ μοι εἴρ. — πρὸς θεῖα καὶ μεγάλα.

37) Veneta melius φαίνεται, et paulo post τῷ γὰρ ὄντι ἀνθρώπινα ψεύσματα (f. ψευσμάτια) καὶ λίαν πιθανὰ πρὸς θείαν καὶ ἀμήχανον φύσιν.

38. οἳ] sic Ven. vnde colligi possit Dionem dedisse: καὶ ἄλλως ὑπὸ πάντων γιγνόμενον, οἳ [vel ὅσοι] μετὰ — Ior. dat ὅπου. [an ἄλλοις legendum sit, propter sequens ratiunm, consideretur. Rhod.]

39) καὶ ἐμποιῆσαι.

ἐναντίαν δόξαν ὑπὲρ αὐτῶν. ὅθεν οὔτε τὴν ἀρχὴν οὔτε τὸ τέλος ἐτόλμησεν εἰπεῖν ἐκ τοῦ εὐθέος, οὐδὲ ὑπέσχετο ὑπὲρ τούτων οὐδὲν ἐρεῖν· ἀλλ' εἴ που καὶ μέμνηται, παρέργως καὶ βραχέως, καὶ δῆλός ἐστιν ἐπιταράττων. οὐ γὰρ ἐθάρρει πρὸς αὐτὰ, οὐδὲ ἐδύνατο ἐρεῖν ἑτοίμως. συμβαίνει δὲ καὶ τοῦτο τοῖς ψευδομένοις ὡς ἐπιτοπολύ γε, ἄλλα μέν τινα λέγειν τοῦ πράγματος, καὶ διατρίβειν ἐπ' αὐτοῖς[40]), ὅταν μάλιστα κρύψαι θέλωσιν· οὐ προτιθέμενοι[41]) δὲ λέγουσιν, οὐδὲ προσέχοντι τῷ ἀκροατῇ, οὐδ' ἐν[42]) τῇ αὐτοῦ χώρᾳ τιθέντες· ἀλλ' ὡς ἂν λάθοιεν μάλιστα, καὶ διὰ τοῦτο, καὶ ὅτι αἰσχύνεσθαι ποιεῖ τὸ ψεῦδος, καὶ ἀποκνεῖν προσιέναι πρὸς αὐτὸ, ἄλλως τε ὅταν[43]) ᾖ περὶ τῶν μεγίστων. ὅθεν οὐδὲ τῇ φωνῇ μέγα[44]) λέγουσιν ψευδόμενοι, ὅταν ἐπὶ τοῦτο ἔλθωσιν· οἱ δέ τινες αὐτῶν βατταρίζουσι καὶ ἀσαφῶς λέγουσιν· οἱ δὲ, οὐχ ὡς αὐτοί τι εἰδότες, ἀλλ' ὡς ἑτέρων ἀκούσαντες. ὃς δ' ἂν ἀληθῶς λέγῃ τι, θαρρῶν καὶ οὐδὲν ὑποστελλόμενος λέγει. οὔτε οὖν τὰ περὶ τὴν ἁρπαγὴν τῆς Ἑλένης Ὅμηρος εἴρηκεν ἐκ τοῦ εὐθέος, οὐδὲ παῤῥησίαν ἄγων ἐπ' αὐτοῖς, οὔτε περὶ τῆς ἁλώσεως τῆς πόλεως. καίτοι γὰρ, ὡς ἔφην, ἀνδρειότατος ὢν ὑποκατεκλίνετο καὶ ἡττᾶτο, ὅτι ᾔδει τἀναν-

40) post αὐτοῖς videtur leg. ἄλλων δὲ βραχέως ἐφάπτεσθαι (vel tale quid) ὅσ' ἂν μάλιστα —

41) προστιθέμενοι videtur bene habere, aut certe posse defendi. *assentientes*, assensu suo ipsi rem comprobantes. verum tamen et Casaubonus, cuius iudicium graue debet esse, Anglus et Morellus, pro corrupto id habent. Rhodom. coniecit προτιθέμενοι, et paulo post αὐτοῦ.

42) οὐδ' ἐν] sic codex regius. vnde sic corrigo: οὐδ' ἐν τῇ αὐτοῦ χώρᾳ τιθέντες. In αὐτοῦ respicitur ad latens ἕκαστον. Mor. et Ven. dant οὐδὲν τῇ αὐτῇ χ.

43) f. ἄλλως τε καὶ ὅταν.

44) μέγα bene habet, tametsi vir doctus Ven. meae μεγάλῃ adscripserat; sed οἱ ψευδόμενοι est leg.

αντία λέγων τοῖς ὗσι, καὶ τὸ κεφάλαιον αὐτὸ τοῦ πράγματος ψευδόμενος. ἢ πόθεν μᾶλλον ἄρξασθαι ἔπρεπεν, ἢ ἀπ' αὐτοῦ τοῦ ἀδικήματος καὶ τῆς ὕβρεως τοῦ Ἀλεξάνδρου, δι' ἣν συνέβη[45]) ὁ πόλεμος; ἐπειδὴ οὖν ὠργίζοντο πάντες[46]) οἱ τῇ ποιήσει ἐντυγχάνοντες, καὶ συνεφιλονείκουν ὑπὲρ τοῦ τέλους, καὶ μηδεὶς ἠλέει τοὺς Τρῷας ἐφ' οἷς ἔπασχον· οὕτω γὰρ εὐνούστερον καὶ προθυμότερον ἕξειν ἔμελλε τὸν ἀκροατήν. εἰ δ' αὖ ἐβούλετο τὰ μέγιστα καὶ φοβερώτατα εἰπεῖν, καὶ πάθη[47]) παντοδαπὰ, καὶ συμφορὰς, ἔτι δὲ ὃ πάντων μάλιστα ἕκαστος ἐπόθει ἀκοῦσαι, τί μεῖζον εἶχεν ἢ δεινότερον εἰπεῖν τῆς ἁλώσεως[48]); οὔτε ἀνθρώπους πλείους ἀποθνήσκοντας, οὐδ' οἰκτρότερον, τοὺς μὲν ἐπὶ τοὺς βωμοὺς τῶν θεῶν καταφεύγοντας, τοὺς δὲ ἀμυνομένους ὑπὲρ τῶν τέκνων καὶ τῶν γυναικῶν· οὔτε γυναῖκας ἢ παρθένους ἄλλοσε ἀγομένας, ἢ βασιλίδας ἐπὶ δουλείᾳ τε καὶ αἰσχύνῃ, τὰς μὲν ἀνδρῶν, τὰς δὲ πατέρων, τὰς δὲ ἀδελφῶν ἀποσπωμένας, τὰς δέ τινας, αὐτῶν τῶν ἀγαλμάτων· ὁρώσας μὲν τοὺς φιλτάτους ἄνδρας ἐν φόνῳ κειμένους, καὶ μὴ δυναμένας[49]) ἀσπάσασθαι, μηδὲ καθελεῖν τοὺς ὀφθαλμοὺς, ὁρώσας δὲ τὰ νήπια τέκνα

45) Veneta συνέστη, ad sententiam perinde.

46) f. ἐπειδὴ συνωργίζοντο ἂν πάντες. *nam sic, qui Homerum legissent, una omnes exarsissent in iracundiam.*

47) πάθη] sic recte vir doctus in Ven. mea, et codex regius. Poterat hic loci Casaubonus opera irrita supersedere, si Venetam inspexisset. In Ven. est πάσῃ, et in Mor. πᾶσι.

48) post ἁλώσεως deesse videtur aliquid sententiae, e. c. ad hunc modum: οὐδαμοῦ γὰρ ἄλλοθί ἐστιν ἰδεῖν — *nusquam enim alias est, quam in urbis expugnatione, videre, neque plures morientes.*

49) δυναμένας] *uxores, quibus negatum esset maritis caesis oculos deprimere*, h. e. funus eorum curare, eos ad exsequias componere. Ven. et Mor. δυναμένους.

κνα πρὸς τῇ γῇ ποιούμενα ὠμῶς· ἔτε ἱερὰ [50]) πορ-
θούμενα θεῶν, ἔτε χρημάτων πλῆθος ἁρπαζόμενον,
ἔτε κατ' ἄκρας ὅλην ἐμπιπραμένην τὴν πόλιν, ἔτε
μείζονα [51]) βοὴν ἢ κτύπον χαλκῆ τε καὶ πυρὸς,
τῶν μὲν φθειρομένων, τῶν δὲ ῥιπτομένων· ἀ τὸν
Πρίαμον πεποίηκε λέγοντα ἐπ' ὀλίγων [52]), ὡς ἐσό-
μενα [53]), εἰ τυχὸν αὐτῷ ὡς γινόμενα διελθεῖν, ὅπως
ἐβούλετο, καὶ μεθ' ὅσης [54]) τάλλα [55]) εἰώθει διηγή-
ματος [56]), ἐκπλήττων τε καὶ αὔξων τὰ μικρότα-
τα. εἰ δέ γε ἤθελεν ἀνδρῶν ἐπιστήμων εἶπεῖν θανά-
τους, πῶς ἀπέλιπε τὸν τῆ Ἀχιλλέως καὶ τὸν τῆ
Μέμνονος, καὶ Ἀντιλόχῃ καὶ Αἴαντος, καὶ αὐτῆ τῆ
Ἀλεξάνδρῳ; πῶς δὲ τὴν Ἀμαζόνων στρατιὰν [57]),
καὶ τὴν μάχην ἐκείνην τὴν λεγομένην τῆ Ἀχιλλέως
καὶ

50) ἔτε ἱερὰ] scil. πλείω. quod voc. πλείας et πλείω in omnibus superioribus est tacite addendum.

51) f. sic dedit: ἔτε μείζονα κτύπον χαλκῆ τε καὶ πυρὸς, ἔτε βοὴν τῶν μὲν φθειρομένων, τῶν δὲ ῥιπτουμένων.

52) vnde habuerit Morellus ἐπ' ὀλίγων, et quid iudicuerit ea verba significare, passus nos est ignorare. ἐπ' ὀλίγον est in Ven. quod verum puto; tametsi vir doctus ὀλίγων adscripsit. δι' ἐπῶν ὀλίγων probarem, sed ἐπ' ὀλίγον ad sententiam idem est.

53) f. ὡς ἐσόμενα τυχὸν (quomodo iam Casaubonus praecepit) ἔξον αὐτῷ ὡς γενόμενα. finxit Priamum, ea obiter, vt fortasse futura, commemorantem, quae potuerat ipse, vt vere facta, enarrare. Rhodom. coni. ὀλίγων, et γενόμενα.

54) μεθ' ὅσης] sic recte codex regius, et emend. Rhodom. μηθ' ὅσης Ven. Mor. et textum Rhodom.

55) τάλλα] sic recte Casaubonus, neque dubito sic in regio quoque codice fuisse, quia Morellus lectionem eius, in qua τάλλα non reperio, tamen latine sic reddidit: *cum tam accurata narratione, quantam in caeteris adhibere consuesset.*

56) Pro διηγήματος legi malim διαίρματος *elatione.*

57) malim στρατείαν. saepe ista duo στρατιὰ et στρατεία in libris permutantur.

δ' ἂν ἀκούσωσιν ἡδέως τινὸς λέγοντος, ταῦτα καὶ ἀληθῆ νομίζουσι. καὶ τοῖς μὲν ποιηταῖς ἐπιτρέπουσιν ὅ, τι ἂν θέλωσι ψεύδεσθαι, καὶ φασιν ἐξεῖναι αὐτοῖς, ὅμως δὴ [76]) πιστεύουσιν οἷς ἂν ἐκεῖνοι λέγωσι, καὶ μάρτυρας αὐτὸς ἐπάγονται ἐνίοτε περὶ ὧν ἀμφισβητοῦσι· παρὰ δὲ Αἰγυπτίοις μὴ ἐξεῖναι μηδὲ ἐμμέτρως [77]) λέγεσθαι, μηδὲ εἶναι ποίησιν τοπαράπαν· ἐπίστασθαι γάρ, ὅτι φάρμακον τοῦτο ἡδονῆς ἐστι πρὸς τὴν ἀκοήν. ὥσπερ ἔν οἱ διψῶντες ὕδὲν δέονται οἴνου, ἀλλ' ἀπόχρη αὐτοῖς ὕδατος πιεῖν· ἕτως οἱ τἀληθῆ εἰδέναι θέλοντες οὐδὲν δέονται μέτρων, ἀλλ' ἐξαρκεῖ αὐτοῖς ἀκοῦσαι ἁπλῶς. ἡ δὲ ποίησις ἀναπείθει τὰ ψευδῆ ἀκούειν, καὶ ὥσπερ οἶνον πίνειν μάτην. ὡς ἔν ἤκουσα παρ' ἐκείνου, πειράσομαι εἰπεῖν, προσιθεὶς ἐξ ὧν ἐδόκει μοι ἀληθῆ τὰ λεγόμενα. ἔφη γάρ, ἐν Σπάρτῃ γενέσθαι Τυνδάρεων σοφὸν ἄνδρα καὶ βασιλέα μέγιστον· τούτῳ δὲ καὶ Λήδας δύο θυγατέρας κατὰ ταυτὸ, ἅσπερ [78]) ἡμεῖς ὀνομάζομεν, Κλυταιμνήστραν καὶ Ἑλένην, καὶ δύο ἄῤῥενας παῖδας, καλὼς καὶ μεγάλως, καὶ πολὺ τῶν Ἑλλήνων ἀρίστως. εἶναι δὲ τὴν Ἑλένην ἐπὶ κάλλει περιβόητον, καὶ πολλὰς μνηστῆρας αὐτῆς, ἔτι σμικρᾶς παιδὸς οὔσης. γενέσθαι δὲ αὐτῆς ἁρπαγὴν ὑπὸ Θησέως βασιλέως ὄντος Ἀθηνῶν. τοὺς ἓν ἀδελφοὺς τῆς Ἑλένης εὐθέως ἐλθεῖν εἰς τὴν τοῦ Θησέως χώραν, καὶ πορθήσαι τὴν πόλιν, καὶ κομίσασθαι τὴν ἀδελφήν· τὰς μὲν ἓν ἄλλας γυναῖκας ἀφιέναι λαβόντας· τὴν δὲ τοῦ Θησέως μητέρα αἰχμάλωτον

76) δὴ etiam Ven. nihilominus tamen leg. δὲ.
77) f. μηδὲν ἐμμέτρως.
78) Rhodom. et Casaubonus dant ὥσπερ pro ἅσπερ. sed non videtur hoc sufficere: forte dedit Dio κατὰ ταὐτὸ ὡς παῤ ἡμῖν ὀνομαζομένας, aut ἃς κατὰ ταὐτὸ, ὥσπερ ἡμεῖς, ὀνομάζουσιν. scil. Aegyptii, aut denique κ. τ. ὥσπερ ἡ. ὀνομάζων, scil. ἔφη sacerdos ille Aegyptius.

τον ἄγεσιν, τιμωρεμένης αὐτήν. εἶναι γὰρ αὐτὴς ἀξιομάχης πρὸς ἅπασαν τὴν Ἑλλάδα, καὶ καταστρέψασθαι ῥᾳδίως ἂν, εἰ ἐβούλοντο. εἶπον ἔν, ὅτι καὶ παρ' ἡμῖν ταῦτα λέγεται, καὶ προσέτι, ὡς αὐτὸς ἑωρακὼς ἔην ἐν Ὀλυμπίᾳ ἐν τῷ ὀπισθοδόμῳ τοῦ νεὼ τῆς Ἥρας ὑπόμνημα τῆς ἁρπαγῆς ἐκείνης, ἐν τῇ ξυλίνῃ κιβωτῷ τῇ ἀναστεθείσῃ ὑπὸ Κυψέλλου [79]), τὰς Διοσκούρους ἔχοντας τὴν Ἑλένην ἐπιβεβηκυῖαν τῇ κεφαλῇ τῆς Αἴθρας, καὶ τῆς κόμης ἕλκουσαν, καὶ ἐπίγραμμα ἐπιγεγραμμένον ἀρχαίοις γράμμασι. μετὰ δὲ ταῦτα, ἔφη, φοβέμενος τὸν Τυνδαρείδας ὁ Ἀγαμέμνων ἠπίσατο γάρ, ὅτι ξένος ἦν καὶ ἔπηλυς ἄρχει τῶν Ἀργείων· ἐβούλετο προσλαβεῖν αὐτὸς κηδεσὰς καὶ διὰ τοῦτο ἔγημε Κλυταιμνήστραν· τὴν δὲ Ἑλένην ἐμνήστευε μὲν τῷ ἀδελφῷ, ἀθεὶς δὲ ἔφασκε τῶν Ἑλλήνων ἐπιτρέψειν· καὶ γὰρ προσήκειν ἕκαστος αὐτῷ τοῦ γένους [80]) μᾶλλον, ἢ Μενελάῳ, Πελοπίδῃ ὄντι. ἦκον δὲ καὶ ἔξωθεν πολλοὶ μνηστῆρες, διά τε τὴν δόξαν τὴν περὶ τοῦ κάλλους, καὶ τὴν δύναμιν τῶν ἀδελφῶν καὶ τοῦ πατρός. ἐδόκει ἔν μοι καὶ τοῦτο ἀληθὲς λέγειν, ὅπως τὴν Πλεισθένους [81]) θυγατέρα, τοῦ Σικυωνίου τυράννου, καὶ τῶν ἀπὸ Ἰταλίας τινὰς μνηστευσαμένους φασίν. ἔτι δὲ Ἱπποδάμειαν τὴν Οἰνομάου Πέλοψ ἔγημεν ἐκ τῆς Ἀσίας ἀφικόμενος· Θησεὺς δὲ ἀπὸ τοῦ Θερμώδοντος ποταμοῦ, μίαν τῶν Ἀμαζόνων. ὡς δὲ ἐκεῖνος ἔφη, καὶ τὴν Ἰὼ ἀφικέσθαι [82]) ἐκδοθεῖσαν εἰς Αἴγυπτον, ἀλλὰ

79) κυψέλας.

80) τοῦ γένους] f. τῆς γάμους. *cum Helena coniugium.* nisi vulgatam sic accipias, vt ἕνεκα subaudias et ἐλθεῖν, *propterea quod ipse graecus sit.*

81) Πλεισθένης] Casaubonus mauult Κλ. v. Herodot. VI. 126. Pausan. p. 129.

82) post ἀφικέσθαι aut in hac regione videtur συνέβη excidisse.

λὰ μὴ βοῦν γενομένην. οὕτως δὲ ἔθους ὄντος ἐκδιδόναι καὶ λαμβάνειν γυναῖκας παρ' ἀλλήλων, καὶ τοὺς πλεῖστον ἀπέχοντας καὶ τοὺς ἐνδοξοτάτους, καὶ τὸν Ἀλέξανδρον ἀφικέσθαι κατὰ μνηστείαν, ἔφη, πιστεύοντα τῇ δυνάμει τοῦ πατρὸς, σχεδόν τι βασιλεύοντος τῆς Ἀσίας ἁπάσης, καὶ οὐδὲ πολὺ τῆς Τροίας ἀπεχούσης, ἄλλως τε καὶ τῶν Πελοπιδῶν ἤδη δυναστευόντων ἐν τῇ Ἑλλάδι, καὶ πολλῆς ἐπιμιξίας γενομένης. ἐλθόντα δὲ μετὰ πολλοῦ πλούτου καὶ πολλῆς παρασκευῆς, ὡς ἐπὶ μνηστείαν, καὶ διαφέροντα κάλλει αὐτὸν, εἰς λόγους καταστῆναι Τυνδάρεώ τε καὶ τοῖς ἀδελφοῖς τῆς Ἑλένης, καὶ[83]) λέγοντα περὶ τῆς ἀρχῆς τοῦ Πριάμου, καὶ τῶν χρημάτων τοῦ πλήθους, καὶ τῆς ἄλλης δυνάμεως, καὶ ὅτι αὐτοῦ γίγνοιτο ἡ βασιλεία· τὸν δὲ Μενέλεων ἰδιώτην, ἔφη, εἶναι· τοῖς γὰρ Ἀγαμέμνονος παισὶν, ἀλλ' οὐκ ἐκείνῳ τὴν ἀρχὴν προσήκειν. καὶ ὡς θεοφιλὴς εἴη, καὶ ὡς ἡ Ἀφροδίτη αὐτῷ ὑπόσχοιτο τὸν ἄριστον γάμον τῶν ἐν ἀνθρώποις· αὐτὸς οὖν προκρῖναι τὴν ἐκείνου θυγατέρα, ἐξὸν αὐτῷ λαβεῖν ἐκ τῆς Ἀσίας τινὰ[84]), εἰ βούλοιτο, εἴτε τοῦ Αἰγυπτίων βασιλέως, εἴτε τοῦ Ἰνδῶν. τῶν μὲν γὰρ ἄλλων ἁπάντων ἔλεγεν αὐτὸς ἄρχειν ἀρξάμενος ἀπὸ Τροίας μέχρι Αἰθιοπίας· καὶ γὰρ Αἰθιόπων βασιλεύειν τὸν αὑτοῦ ἀνεψιὸν Μέμνονα, ἐκ Τιθωνοῦ ὄντα τοῦ Πριάμου ἀδελφοῦ. καὶ ἄλλα πολλὰ ἔλεγεν ἐπαγωγὰ, καὶ δῶρα ἐδίδου τῇ τε Λήδᾳ καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν, ὅσα οὐδὲ ξύμπαντες οἱ Ἕλληνες ἐδύναντο. ἔφη δὲ καὶ ξυγγενὴς εἶναι τῆς Ἑλένης καὶ αὐτός. ἀπὸ γὰρ Διὸς εἶναι τὸν Πρίαμον. πυνθάνεσθαι δὲ κἀκείνους καὶ

τὴν

83) καὶ videtur redundare atque delendum esse; nisi malumus id seruare eique addere αὐτῇ. *ipsique adeo Helenae.*

84) τινὰ] in Ven. est τινὰς, vnde colligo leg. esse: ἐκ τῆς ἀσίας ἅστινας οὖν βούλ.

τὴν ἀδελφὴν αὐτῶν Δαὸς ὄντας. τῷ δὲ Ἀγα-
35. μέμνονι καὶ τῷ Μενελάῳ μὴ προσήκειν ὀνειδίζειν αὐ-
τῷ τὴν πατρίδα. καὶ γὰρ αὐτοὺς εἶναι Φρύγας ἀπὸ
Σιπύλου. πολὺ δὴ κρεῖττον τοῖς βασιλεῦσι κηδεύειν
τῆς Ἀσίας, ἢ τοῖς ἐκεῖθεν μεταναύταις. καὶ γὰρ
40. Λαομέδοντα Τελαμῶνι δῶναι τὴν ἑαυτοῦ θυγατέρα
Ἡσιόνην· ἐλθεῖν γὰρ αὐτὸν εἰς Τροίαν μνησῆρα μετὰ
Ἡρακλέους, ἄγειν δὲ καὶ τὸν Ἡρακλέα φίλον ὄντα καὶ
ξένον Λαομέδοντι. πρὸς ἣν ταῦτα ὁ Τυνδάρεως
ἐβουλεύετο μετὰ τῶν παίδων. καὶ ἐδόκει αὐτοῖς
συμπᾶσιν, ὃ χεῖρον εἶναι προσλαβεῖν τὰς ἐκ τῆς
Ἀσίας βασιλέας. τῶν μὲν γὰρ Πελοπιδῶν [85]) οἰ-
κίαν ἔχειν Κλυταιμνήστραν συνοικοῦσαν Ἀγαμέμνονι,
5. λοιπὸν δὲ, εἰ Περιάμῳ κηδεύσειαν, καὶ τῶν ἐκεῖ πραγ-
μάτων κρατεῖν, καὶ μηδένα αὐτὰς κωλύειν τῆς
Ἀσίας καὶ τῆς Εὐρώπης ἄρχειν ἁπάσης. πρὸς δὲ
ταῦτα ἠγωνίζετο μὲν ὁ Ἀγαμέμνων· ἥττατο δὲ
10. τοῖς δικαίοις. ἔφη γὰρ ὁ Τυνδάρεως, ἱκανὸν εἶναι
αὐτῷ κηδεύσαντι· καὶ ἅμα ἐδίδασκεν, ὅτι ἀδὲ συμ-
φέρει τὸν ἀδελφὸν αὐτοῦ τυγχάνειν τῶν ἴσων· ἕτω
γὰρ μᾶλλον ἐπιβουλεύσειν· ἀδὲ γὰρ Ἀτρεῖ Θυέστην
15. εὔνουν γενέσθαι. μάλιστα δ' ἔπεισεν αὐτὸν, λέγων,
ὅτι [86]) ἐκ ἀνέξονται οἱ ἄλλοι μνησῆρες τῶν Ἑλλήνων
ἀποτυχόντες, ἔτε Διομήδης, ἔτε Ἀντίλοχος, ἔτε
Ἀχιλλεὺς, ἀλλὰ πολεμήσουσιν· καὶ ὅτι κινδυνεύσει
20. τὰς δυνατωτάτας ποιῆσαι τῶν Ἑλλήνων πολεμίας [87]).
κρεῖττον ἂν εἶναι μὴ καταλιπεῖν ἀρχὴν πολέμου καὶ

85) malim τὴν μὲν γὰρ τῶν πελοπιδῶν οἰκίαν οἰκείαν ἔχειν, Κλυταιμνήστρας συνοικούσης Ἀγαμέμνονι. *nam se domum Pelopidarum sibi habere coniunctam atque addictam, ex quo Clytaemnestra penes Agamemnonem esset.* vel, si tanti motus displiceant, saltim συνέχειν fuaserim, pro simplici ἔχειν.

86) in Ven. est ἔπεισθε λέγων αὐτὸν, ὅτι —

87) f. αὐτῷ πολεμίας.

φάσεως ἐν τοῖς Ἕλλησι. τὸν δὲ ἄχθεσθαι μὲν, ἐκ ἔχειν δὲ, ὅπως κωλύσῃ τὸν Τυνδάρεων· κύριον γὰρ εἶναι τῆς αὐτῆ θυγατρὸς, καὶ ἅμα φοβεῖσθαι τὸν παῖδας αὐτῆ· καὶ ἔτω δὴ λαβεῖν Ἀλέξανδρον τὴν Ἑλένην ἐκ τῆ δικαίᾳ, πείσαντα τὸς γονεῖς αὐτῆς, καὶ τὸς ἀδελφοὺς, καὶ ἀφικέσθαι ἄγοντα μετὰ πομπῆ ζήλε καὶ χαρᾶς· καὶ τὸν τε Πρίαμον καὶ τὸν Ἕκτορα, καὶ τὸς ἄλλυς ἅπαντας ἡδεσθῆναι τῷ γάμῳ, καὶ τὴν Ἑλένην ὑποδέχεσθαι μετὰ θυσιῶν καὶ εὐχῶν. σκόπει δὲ, ἔφη, τὴν εὐήθειαν τῆ ἐναντίᾳ λόγῳ, εἴ σοι δοκεῖ δυνατὸν εἶναι, πρῶτον μὲν ἐρασθῆναί τινα γυναικὸς, ἣν ἐ πώποτε εἶδεν; ἔπειτα καὶ πεῖσαι καταλιπεῖσαν τὸν ἄνδρα καὶ τὴν πατρίδα, καὶ πάντας τὸς ἀναγκαίυς, ἔτι δὲ οἴμαι θυγατρὶς γεγονυῖαν μητέρα, συνακολυθῆσαι ἀνδρὶ ἀλλοφύλῳ; διὰ ταύτην γὰρ τὴν ἀλογίαν συνέπλασαν τὸν περὶ τῆς Ἀφροδίτης μῦθον. πολὺ τέτων ἀποπληκτότερον. εἰ δὲ ὁ Ἀλέξανδρος ἐνεθυμήθη[88]), πῶς τε ὁ πατὴρ[89]) ἐπέτρεψεν ἐκ ὢν ἀνόητος, ἀλλὰ καὶ σφόδρα δοκῶν νῶν ἔχειν, καὶ ἡ μήτηρ; πῶς γὰρ εἰκὸς, τὸν Ἕκτορα ὕστερον μὲν ὀνειδίζειν καὶ λοιδορεῖσθαι αὐτῷ περὶ τῆς ἁρπαγῆς, ὡς φησιν Ὅμηρος; λέγει γὰρ ἔτως·

Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ,
Αἴθ' ὄφελές τ' ἄγονός τ' ἔμεναι, ἄγαμός τ' ἀπολέσθαι·
Οὐ γάρ τοι χραίσμῃ κίθαρις, τά τε δῶρ' Ἀφροδίτης,
Ἥ τε κόμη, τό, τε εἶδος, ὅτ' ἐν κονίῃσι μιγείης.

ἐξ

88) ſuſpectum verbum ἐνεθυμήθη. ſi bene habet, non certe vim ſolitam hic obtinet, *religioni ſibi duxit, ad mentem atque cogitationem ſibi reuocauit*, ſed vſurpatum eſt pro ἐπεθύμησε *cupidine mulieris exarſit.*

89) in Ven. eſt πῶς ὅσα πατὴρ, forte voluit dare πῶς ὅ γε πατὴρ.

ἐξ ἀρχῆς δὲ πράττοντι συγχωρῆσαι ταῦτα; ὅ, θ' Ἕλενος πῶς οὐ προέλεγε, μάντις ὤν; ἥ τε Κασσάνδρα θεοφορουμένη; πρὸς δὲ τούτοις, ὁ Ἀντήνωρ δοκῶν φρονεῖν; ἀλλ' ὕστερον ἠγανάκτουν καὶ ἐπέπληττον ἐπὶ πεπραγμένοις, ἐξὸν ἀφικέσθαι [90]) κωλύειν. ἵνα δὲ εἰδῇς τὴν ὑπερβολὴν τῆς ἠλιθιότητος, καὶ ὡς τὰ ψευδῆ ἀλλήλοις μάχεται [91]): λέγουσι γάρ, ὡς πρὸ ὀλίγων ἐτῶν Ἡρακλῆς πεπορθήκει τὴν πόλιν διὰ μικρὰν πρόφασιν ὀργισθεὶς, ὑπὲρ ἵππων, ὅτι ὑποσχόμενος αὐτῷ δώσειν ὁ Λαομέδων ψεύσαιτο. καὶ ἐγὼ ἀνεμνήσθην τῶν ἐπῶν, ἐν οἷς ταῦτά φησιν·

Ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος,
Ἐξ οἴης σὺν νηυσὶ, καὶ ἀνδράσι παυροτέροισιν,
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.

οὐκοῦν, εἶπεν, οὐδὲ τοῦτο ἀληθὲς λέγουσι. πῶς γὰρ ἐν ὀλίγῳ χρόνῳ, οὕτω πόλις ἁλοῦσα καὶ ἐρημωθεῖσα, τοσαύτην ἐπίδοσιν ἔσχεν, ὡς μεγίστην γενέσθαι τῶν κατὰ τὴν Ἀσίαν; πῶς δὲ ὁ μὲν Ἡρακλῆς σὺν ἓξ ναυσὶν εἷλεν, ἐκ πολλοῦ ἀνάλωτον [92]) οὖσαν; οἱ δὲ Ἀχαιοὶ μετὰ νεῶν χιλίων καὶ διακοσίων ἐλθόντες, οὐκ ἐδύναντο ἑλεῖν [93]); ἢ πῶς τὸν Πρίαμον εἴασε βα-

90) Rhodomannus locum hunc sic reddidit: *cum potuissent eius profectionem impedire.* tamen existimem opus nil esse, vt a vulgari verbi vsurpatione h. l. discedamus; potest enim locus ita accipi, ac si dixisset Dio: cum penes eos esset, Parin impedire, quo minus, appellens cum Helena ad litus Troianum, exscenderet. ἀφικέσθαι potest hic esse, *confecto itinere, in patriam redire.*

91) μάχεται] subaudi ἴσθι ταυτὶ, aut πρόσεχε τὸν νοῦν τοῖς λεχθησομένοις, vel tale quid.

92) ἀνάλωτον] in Ven. est ἀπόῤῥητον, vnde vir doctus effecit ἀπόρθητον, quod etiam in regio esse testatur Morellus.

93) praemissum ἐκ πολλοῦ ἀνάλωτον οὖσαν videtur subiicere, hic deesse post ἑλεῖν hanc ferme sententiam: τὴν πρὸ ὀλίγου ἁλοῦσαν, vel tale quid.

σιλεύειν ὁ Ἡρακλῆς, ἀποκτείνας αὐτοῦ τὸν πατέρα, ὡς πάντων ἐχθρότατον, ἀλλ' οὐκ ἄλλον τινὰ ἀπέδειξεν ἄρχοντα τῆς χώρας; εἰ δ' οὖν οὕτω πως φασὶ, πῶς οὐκ ἔφριττον [94]) οἱ Τρῷες καὶ ὁ Πρίαμος τὴν πρὸς τοὺς Ἕλληνας ἔχθραν, εἰδότες, ὅτι καὶ πρότερον, οὐθὲν τηλικοῦτον ἐξαμαρτόντες [95]), ἀπώλοντο καὶ ἀνάστατοι ἐγένοντο; καὶ πολλοὶ μνημονεύοντες [96]) τὴν ἅλωσιν [97]) μηδὲν τοιοῦτον ἐννοῆσαι, μηδὲ κωλῦσαι τὸν Ἀλέξανδρον μηθένα αὐτῶν; τίνα δὲ τρόπον ἀφικόμενος εἰς τὴν Ἑλλάδα συνῆν τῇ Ἑλένῃ, καὶ διελέγετο, καὶ τελευτῶν ἀνέπεισεν αὐτὴν [98]), μήτε γονέων, μήτε πατρίδος, μήτε ἀνδρὸς ἢ θυγατρὸς, μήτε τῆς παρὰ τοῖς Ἕλλησι φήμης φροντίσασαν, ἀλλὰ μηδὲ τοὺς ἀδελφοὺς φοβηθεῖσαν περιόντας, οἳ πρότερον αὐτὴν ἀφείλοντο Θησέως, καὶ οὐ περιεῖδον

94) In Ven. est πῶς γὰρ οὐκ ἔφρ. Mihi, vt in loco lacero et desperato sine meliorum ope codicum, sic tantisper leg. videtur, donec certiora vndeunde exsistant: εἰ δ' οὖν οὕτω ταῦτ' εἶχε, πῶς ἐκεῖνα φασί? *quod si autem haec*, (de Laomedonte et Hercule et prima Troiae deuastatione quae narrant,) *se sic habuere, quomodo ausi sunt ista* (de Paridis facinore, et Helenae raptu) *comminisci?* πῶς γὰρ, εἰ ἔφριττον. *Nam si Troiani Graecorum simultates exhorruerunt.* Rhodom. vult εἰ δ' ἦν οὕτω.

95) ἐξαμαρτόντες] sic recte Casaub. ἐξαμαρτῶντες Ven. et Mor.

96) post μνημονεύοντες videtur ἔτι deesse. Rhodom. coni. πολλοὺς μνημονεύοντας.

97) post ἅλωσιν videtur πῶς οἷόν τε vel πῶς ἐνδέχεται, deesse, *qui fieri potuit, vt eorum nemini horum quicquam in mentem veniret.* Possit quoque minori motu locus sic constitui: εἰ δ' οὖν οὕτως ἔφριττον οἱ τρῷες — μνημονεύοντες ἔτι τὴν ἅλωσιν, πῶς φασὶ (scil. Homerus et Graeci haec affirmantes) μηδὲν τοιοῦτον — haec posterior ratio mihi maxime placet, vt omnium expeditissima et planissima.

98) post αὐτὴν, aut in hac regione, deesse videtur φυγεῖν, vel ἀποδιδράσκειν, vel tale quid.

ἐσὸν ἀφαιρεθῆσαν; τοῦτο μὲν γὰρ παρόντα τὸν Μενέλεων πῶς ταῦτα ἔλαθε γαμήσας; τοῦτο δὲ, ἀπόντος [99]) ἀνδρὸς γυναῖκα εἰς ὁμιλίαν ἀφικνεῖσθαι ξένῳ ἀνδρὶ πῶς εἰκός; τοῦτο δὲ, μηδὲ τῶν ἄλλων μηδένα αἰσθέσθαι τὴν ἐπιβουλὴν, ἢ αἰσθομένους κρύψαι; προσέτι δὲ τὴν Αἴθραν, τὴν τοῦ Θησέως μητέρα, συναπαρθεῖσαν αὐτῇ ἀνεπιβούλωτον εἶναι; οὐ γὰρ ἦν ἱκανὸν, Θησέως μητέρα οὖσαν ἐν Σπάρτῃ δουλεύειν, ἀλλὰ καὶ ἠρεῖτο ἀκολουθοῦν εἰς Τροίαν; ὁ δὲ Ἀλέξανδρος οὐδεὼς καὶ μετὰ τοσαύτης ἐξουσίας ἔπραττε τὸ πρᾶγμα, ὥστε οὐκ ἦν ἱκανὸν αὐτῷ τὴν γυναῖκα ἀπαγαγεῖν, ἀλλὰ καὶ τὰ χρήματα προσεπέθετο· καὶ μηδὲ ἐπαναχθῆναι [100]) μηδένα αὐτῷ, μήτε τῶν τοῦ Μενέλεω, μήτε τῶν τοῦ Τυνδάρεω, μήτε τοὺς ἀδελφοὺς τῆς Ἑλένης· καὶ ταῦτα νεῶν οὐσῶν ἐν τῷ Λακωνικῷ; ἔτι δὲ ἀπροσώτερον, τὸ ἀπὸ Σπάρτης ἐπὶ θάλασσαν ἀνενόχλητον κατιέναι πεζῇ, πολλοῖς, ὡς εἰκὸς, παραχρῆμα περιβοήτου γενομένης τῆς ἁρπαγῆς; καὶ ὅτω μὲν ἀδύνατον ἐλθεῖν Ἑλένην μετὰ Ἀλεξάνδρου χάριν δὲ παρ' ἐκάστων δοθεῖσαν τῶν οἰκείων. οὕτω γὰρ εὔλογον ἦν, τήν τε Αἴθραν ἀφικέσθαι μετ' αὐτῆς, καὶ τὰ χρήματα κομισθῆναι. εἰδὲν γὰρ τούτων ἁρπαγῆς, ἀλλὰ πολὺ μᾶλλον γάμου, σημεῖόν ἐστιν. ἐπεὶ δὲ, ὡς ἔφην, γαμήσας ὁ Ἀλέξανδρος ἀπῆλαύνη μετ' αὐτῆς, ἃ, τε Μενέλεως ἠτιᾶτο τῆς μνηστείας ἀποτυχὼν, καὶ τὸν ἀδελφὸν ἠτιᾶτο, καὶ ἔφη προδοθῆναι ἀπ' αὐτοῦ [1]). ὁ δὲ Ἀγαμέμνων ἐκεῖνα μὲν ἧττον ἐφρόντιζε, τὸν Ἀλέξανδρον δὲ ἐφοβεῖτο καὶ ὑπώπτευε, μήποτε ἀντιποιήσεται τῶν ἐν τῇ Ἑλλάδι πρα-

99) ἀπόντος] imo vero παρόντος.

100) ἐπαναχθῆναι] subaudi a communi πῶς εἰκὸς, quod saepius h. l. subaudiendum venit.

1) Morellus e codice regio praefert ὑπ' αὐτοῦ.

πραγμάτων, προσηκόντων αὐτῷ διὰ τὸν γάμον. οὕτω δὴ καὶ τὰς ἄλλας συγκαλεῖ [2]) τὰς μνηστῆρας τῆς Ἑλένης, καὶ ἔφη ὑβρισθῆναι αὐτὰς ἅπαντας, καὶ τὴν Ἑλλάδα καταφρονηθῆναι, καὶ τὴν ἀρίστην γυναῖκα οἴχεσθαι εἰς τὰς βαρβάρους ἐκδοθεῖσαν, ὡς ἑνὸς ὄντος ἀξίου παρ' αὐτοῖς. ταῦτα λέγων, τῶν μὲν Τυνδαρέων παρῆτεῖτο, καὶ συγγνώμην ἔχειν ἐκέλευε· παραλογισθῆναι γὰρ αὐτὸν ὑπὸ δώρων· τὸν δὲ Ἀλέξανδρον αἴτιον ἁπάντων ἀπέφαινε, καὶ τὸν Πρίαμον· καὶ παρεκάλει συστρατεύειν ἐπὶ τὴν Τροίαν· πολλὰς γὰρ ἐλπίδας ἔχειν ἁρπάσειν αὐτὴν, συναραμένων ἁπάντων. γενομένης δὲ τότε, πολλὰ χρήματα διαρπάσειν αὐτὸς, καὶ χώρας κρατήσειν τῆς ἀρίστης. εἶναι γὰρ τὴν μὲν πόλιν πλουσιωτάτην ἁπασῶν· τοὺς δὲ ἀνθρώπους ὑπὸ τρυφῆς [3]) διεφθαρμένους· ἔχειν δὲ καὶ συγγενεῖς πολλοὺς ἐν τῇ Ἀσίᾳ τοὺς ἀπὸ Πέλοπος, οἳ συμπράξουσιν αὐτῷ, μισοῦντες τὸν Πρίαμον. ταῦτα δὴ ἀκούοντες, οἱ μέν τινες ὠργίζοντο, καὶ ἀτιμίαν τῷ ὄντι ἐνόμιζον τῆς Ἑλλάδος τὸ γεγονός· οἱ δέ τινες ἤλπιζον ὠφεληθήσεσθαι ἀπὸ τῆς στρατιᾶς [4]. δόξα γὰρ ἦν τῶν ἐν τῇ Ἀσίᾳ πραγμάτων ὡς μεγάλων [5]), καὶ πλούτῳ ὑπερβάλλοντος. εἰ μὲν ἓν ἡττήθησαν ὑπὸ τοῦ Μενέλεω μνηστεύοντος τὴν Ἑλένην, ἐκ ἂν ἐφρόντισαν, ἀλλὰ τἀναντίον ἐφήδεσθαι ἔμελλον αὐτῷ. νῦν δὲ τὸν Ἀλέξανδρον ἐμίσουν ἅπαντες, αὐτὸς ἕκαστος ἠγέμε-

2) συγκαλεῖ et ἔφη bene constare posse putem; variant auctores saepe in temporibus, et desiliunt ab alio ad aliud. alias facile hic sit συνεκάλει corrigere, vt paulo post παρεκάλει.

3) τρυφῆς] sic codex regius, Ven. et edit. Rhodom. τροφῆς Mor.

4) στρατιᾶς] imo vero στρατείας, et sic quoque paulo post.

5) f. ὡς μεγάλων ὄντων, καὶ πλ.

γούμενος ἀφῃρῆσθαι τοῦ γάμου[6]). οὕτω δὲ τῆς στρατιᾶς γενομένης, πέμψας ὁ Ἀγαμέμνων ἀπῄτει τὴν Ἑλένην. προσῆκε γὰρ αὐτὴν, Ἑλληνίδα οὖσαν, γαμηθῆναί τινα[7]) τῶν Ἑλλήνων. ταῦτα δὲ ἀκούσαντες οἱ Τρῷες, ἠγανάκτουν, καὶ ὁ Πρίαμος, καὶ πάντων μάλιστα ὁ Ἕκτωρ, ὅτι, νόμῳ τοῦ Ἀλεξάνδρου λαβόντος παρὰ τοῦ πατρὸς, καὶ τῆς Ἑλένης βουλομένης ἐκείνῳ συνοικεῖν, οἱ δὲ οὕτως ἀναίσχυντον ἐτόλμων λέγειν λόγον· καὶ ἔφασαν γινώσκειν, ὅτι ζητοῖεν πολέμου πρόφασιν· αὐτοὶ δὲ μὴ ἄρχειν πολέμου, κρείττους ὄντες, ἀμύνεσθαι δὲ ἐπιχειροῦντας. καὶ διὰ ταῦτα ὑπέμενον οἱ Τρῷες πολὺν χρόνον πολεμούμενοι, καὶ πολλὰ πάσχοντες, οὐχ ὅσα Ὅμηρός φησιν· ὅμως δὲ καὶ τῆς γῆς αὐτῶν φθειρομένης, καὶ πολλῶν ἀποθνησκόντων ἀνθρώπων, ὅτι ἠπίστοντο ἀδικοῦντας τοὺς Ἀχαιοὺς, καὶ τὸν Ἀλέξανδρον οὐθὲν ἄτοπον πράξαντα. εἰ δὲ μὴ, τίς ἂν ἠνέσχετο αὐτῶν, ἢ τῶν ἀδελφῶν, ἢ ὁ πατὴρ, ἢ τῶν ἄλλων πολιτῶν, ἀπολλυμένων, πάντως γὰρ κινδυνευούσης[8]) ἀναστάτου γενέσθαι τῆς πόλεως διὰ τὴν ἐκείνου παρανομίαν, ἐξὸν ἀποδόντας τὴν Ἑλένην, σῶσαι αὐτούς. οἱ δὲ καὶ ὕστερον, ὥς φασιν, Ἀλεξάνδρου ἀποθανόντος, κατεῖχον αὐτὴν, καὶ Δηϊφόβῳ συνῴκιζον. ὡς μέγιστον ἀγαθὸν ἔχοντες ἐν τῇ πόλει, καὶ φοβούμενοι, μὴ καταλίποι αὐτούς. καίτοι εἰ πρότερον ἐρῶσα τοῦ Ἀλεξάνδρου ἔμενεν, πῶς ἔτι ἐβούλετο μένειν, εἰ μὴ καὶ Δηϊφόβου αὐτὴν ἐρασθῆναι λέγουσιν; εἰκὸς γὰρ ἦν πεῖσαι τοὺς Τρῷας ἀποδοῦναι

6) f. ἡγούμενος ὑπ' αὐτοῦ ἀφῃρῆσθαι τὸν γάμον.

7) aut πρός τινα leg. aut τινὶ.

8) malim sic legi: ἢ ὁ πατὴρ, ἢ τῶν ἄλλων πολιτῶν, ἀπόλλυσθαι πάντας, κινδυνευούσης. Veneta dat: ἀπολλυμένων. πάντες γὰρ κινδυνευούσης. facile apparet in γὰρ esse correctionem τας pro τες in proximo πάντες.

δοῦναι αὐτὴν, ἑτοίμους ὄντας. εἰ δὲ ἐφοβεῖτο τοὺς Ἀχαιοὺς, διαλύσεις πρότερον εὑρέσθαι χρῆν· καὶ γὰρ ἐκεῖνοι[9] ἀγαπητῶς ἂν ἀπηλλάγησαν τοῦ πολέμου, πλείστων καὶ ἀρίστων τεθνηκότων. οὐ γὰρ ἦν ἀληθὲς τὸ[10] τῆς ἁρπαγῆς, οὐδὲ παρέσχον αἰτίαν τοῦ πολέμου οἱ Τρῶες, ὅθεν εὐέλπιδες ἦσαν περιγενέσθαι. οἱ γὰρ ἄνθρωποι, ἐν οἷς ἂν ἀδικῶνται, μέχρις ἐσχάτου ὑπομένουσιν ἀμυνόμενοι. ταῦτα μὲν μὴ ἄλλως νόμιζε πραχθῆναι, ἢ ὡς ἐγὼ λέγω. πολὺ γὰρ πιστότερον, ἑκόντα Τυνδάρεων κηδεῦσαι βασιλεῦσι τῆς Ἀσίας, καὶ Μενέλεων τῆς μνηστείας ἐκπεσόντα[11] βαρέως ἐνεγκεῖν· Ἀγαμέμνονά τε φοβηθῆναι τοὺς Πριαμίδας, μὴ κατάσχωσι τὴν Ἑλλάδα, ἀκούοντα καὶ Πέλοπα, τὸν αὐτοῦ πρόγονον, ἐκ τῆς αὐτῆς ὄντα χώρας, διὰ τὸ κῆδος τοῦ Οἰνομάου τὴν Πελοπόνησον κατασχεῖν, καὶ τοὺς ἄλλους ἡγεμόνας συνάρασθαι τοῦ πολέμου, μνησικακοῦντας, ὅτι αὐτὸς ἕκατος οὐκ ἔγημεν· ἢ ἐρασθῆναι μὲν Ἀλέξανδρον ἧς ἠγνόει γυναικὸς, ἐπιτρέψαι δὲ αὐτῷ τὸν πατέρα πλεῦσαι τοιαύτης ἕνεκα πράξεως· καὶ ταῦτα, ὥς φασιν, οὐ πάλαι τῆς Τροίας ἁλούσης ὑπὸ Ἑλλήνων, καὶ τοῦ πατρὸς αὐτοῦ Λαομέδοντος ἀποθανόντος· ὕστερον δὲ πολεμουμένους καὶ τοσαῦτα κακὰ πάσχοντας μὴ θέλειν ἐκδοῦναι, μήτε ζῶντος Ἀλεξάνδρου, μήτε ἀποθανόντος, οὐδεμίαν ἐλπίδα ἔχοντας τῆς σωτηρίας· τὴν δὲ Ἑλένην ἐρασθῆναι μὲν ξένου ἀνδρὸς, ᾧ τὴν ἀρχὴν οὐκ εἰκὸς αὐτὴν ἐν ὁμιλίᾳ γενέσθαι, καταλιποῦσαν δὲ τὴν πατρίδα, καὶ τοὺς οἰκείους, καὶ τὸν ἄνδρα,

9) ἐκεῖνοι] nam et illi ipsi, graeci puta.

10) sic recte Veneta, Mor. omittit τὸ.

11) ἐκπεσόντα] in Ven. est Μενέλαον τῆς μνηστείας ὑπελπίσαντα, pro quo vir doctus recte adscripsit ἀπελπίσαντα. quo accedit etiam codex regius, in quo, teste Morello, est Μενελάω — ἀπελπίσαντι. textum Rhodom. dat ὑπελπίζοντα, sed in emend. ἀπελπίζοντα est.

ἄνδρος, μετ' αἰσχύνης ἐλθεῖν εἰς αὐθρώπους μιαίνουσαν. πάντως δὲ ταῦτα γίνομενος, μηδένος κωλύοντος, μήτε ἐξιέσαν [12]) αὐτὴν, καὶ ταῦτα περὶ ἕως θατ-
30. λάττης, μήτε ἐκπλεύσασαν διώκειν· συναίρεσθαι δὲ τῷ τόλμᾳ τὴν Θησέως μητέρα πρεσβυτέραν [13]), καὶ δῆλον ὅτι μισοῦσαν τὴν Ἑλένην. ὑπερον δὲ Ἄλεξάνδρου τελευτήσαντος, ἃ λέγεται ἐρεῖν, Δηϊφόβῳ
35. συνεῖναι, καθάπερ αἵμαγ καινείαν τῆς Ἀφροδίτης ἀποσχομένης, καὶ μήτε αὐτὴν ἐθέλειν ἀπιέναι παρὰ τὸν αὐτῆς ἄνδρα, μήτε τὸν Τρῶας ἀποδοῦναι τὴν
40. Ἑλένην, μέχρις ἀλῶναι τὴν πόλιν βίᾳ. τούτων δὲ δὴν εἰκὸς, οὐδὲ δυνατόν. ἔτι δὲ [14]) καὶ τόδε πρὸς τοῖς εἰρημένοις. τὸν μὲν ἄλλους ἅπαντας Ἀχαιοὺς φησὶν Ὅμηρος κοινωνῆσαι, οἷς ἦπτον ἔμελε, τῆς δυ-
45. νάμεως [15]). Κάστορα δὲ καὶ Πολυδεύκην μόνους μὴ ἀφικέσθαι, τοὺς μάλιστα ὑβριαμένους. ταύτην δὲ τὴν ἄγνοιαν κρύπτων Ὅμηρος, πεποίηκε θαυμάζουσαν τὴν Ἑλένην· ἔπειτα αὐτὸς ἀπελαγήσατο, εἰπὼν, ὅτι τεθνήκασι πρότερον. ἀκὴν τό γε [16]) ζώντων αὐτὴν οὐ προσθῆναι, δῆλόν ἐστιν. ἔπειτα Ἀχαιοὶ μένοντας περιέμενον δέκα ἔτη διατρίβοντας, καὶ συναγαγόντας στρατιάν· ἀλλ' ἐκ εὐθὺς ἔσωσαν τὴν ἀδελ-
10. φὴν, μάλιστα μὲν εἰ κατὰ πλῆν ἦλθοιεν· εἰ δ' ὑχὶ, ὡς πολεμήσοντες μετὰ τῆς αὐτῶν δυνάμεως [17]); ἢ γοῦν

12) f. καὶ μήτε ἐξιέσαν.

13) f. πρεσβυτέραν ἔσαν.

14) Ven. et Mor. dant γε, sed sententia postulat δὲ, et sic quoque interpres. *Praeterea vero hoc quoque est in rebus abhorrentibus, et iis, quae fieri nequeunt.*

15) τῆς δυνάμεως] malim τῆς στρατείας. potest δύναμις pro στρατιὰ *exercitu* dici, non autem pro στρατεία *expeditione militari*, quam loci huius sententia postulat.

16) τό γε] sic melius codex regius, τότε Ven. et Mor.

17) locus principio corruptus videatur, obscurus certe est; neque miror Casaubonum in eo haesitasse, tametsi ipse sese tandem colligit, et veram sententiam sic satis bene asse-

γὰρ ἐπὶ Θησέα μὲν ἦλθον εὐθὺς, ἄνδρα Ἕλληνα καὶ τῶν ἄλλων ἄριστον, ἔτι δὲ, αὐτόν τε παλῶν ἄρχοντα καὶ Ἡρακλέους ἑταῖρον, καὶ Πειρίθῳ, καὶ Θεσταλοῖς καὶ Βοιωτοῖς ἔχοντα συμμάχους; ἐπὶ δὲ Ἀλέξανδρον οὐκ ἂν ἦλθον, ἀλλὰ τοὺς Ἀτρείδας περιέμενον δῆκα ἔτη συλλέγοντας τὴν δύναμιν; ἴσως γὰρ εἰκὸς ἦν καὶ αὐτὸν ἀμφισβητεῖσθαι τὸν Τυνδάρεων, καὶ μηδὲν αὐτὸν κωλῦσαι τὴν ἡλικίαν· ὁ γὰρ δὴ Νέσσος παλαιότερος ἦν, οὐδὲ Φοίνικος· οὐδὲ μᾶλλον ἐκείνους [18]) προσῆκον ἦν ἀγωνιστεῖν, ἢ τὸν πατέρα αὐτόν. ἀλλ' ὅτε αὐτὸς, ὅτε οἱ παῖδες ἦκον, ὅτε ἦν αὐτοῖς βουλομένοις τὰ τῆς στρατείας. ἑκόντες γὰρ αὐτοὶ τὴν Ἑλένην ἐξέδωκαν, προκρίναντες τῶν ἄλλων μνηστήρων τὸν Ἀλέξανδρον διὰ μέγεθος τῆς ἀρχῆς, καὶ ἀνδρείαν. οὐδενὸς γὰρ ἦν χείρων τὴν ψυχήν. ὅτε δ' ἐν ἐπεῶνται ἀμφίκοντο πολεμήσοντες, ὅτε Λακεδαιμονίων ὠθεῖς· ἀλλὰ καὶ τοῦτο ψευδός ἐστιν, ὅτι Μενέλεως ἦγε Λακεδαιμονίους, καὶ τῆς Σπάρτης ἐβασίλευε, Τυνδάρεω ζῶντος ἔτι. καὶ γὰρ ἦν δεινὸν, εἰ Νέσσῳ μὲν, μήτε πρότερον, μήτε ὕστερον ἐλθὼν αὐτὸς Ἰλίῳ παρεχώρησε τοῖς υἱοῖς τῆς βασιλείας καὶ τῆς ἀρχῆς διὰ γῆρας· Τυνδάρεως δὲ Μενελάῳ ἐξέτη; φαίνεται γὰρ καὶ ταῦτα παῖδα ἀπορίαν ἔχοντα. ἐπεὶ δ' ἦν ἦλθον οἱ Ἀχαιοὶ, τὰ μὲν πρῶτα εἴργοντο τῆς γῆς, καὶ Πρωτεσίλαός γε ἀπεθνήσκει βια-

assequitur, quam tamen Morellus planius et pluribus exposuit. κατὰ πλῆν ἔχεσθαι est cum totis Graeciae copiis conscriptis, instructaque cum classe venire. μετὰ τῆς αὐτῶν δυνάμεως, cum iis solummodo copiis, quantum ipsi essent compotes. Bene itaque locus hic habet. Quod Morellus, sed improbans ille, e regio codice affert, ἔγνωσαν, pro ἔσωσαν, idem est etiam in Ven. item εἰ δ' ἐν ὡς πολ. quod Morellus in marg. suae edit. dedit.

18) ἐκείνους] ἐκεῖνον Ven. et textum Rhodom. sed emend. Rhodom. ἐκείνῳ vel ἐκείνας. forte voluit ἐκείνων τινὰ.

45. βιαζόμενος ἀποβῆναι, καὶ πολλοὶ τῶν ἄλλων, ὥστε διέπλευσαν εἰς τὴν Χερρόνησον, ὑποσπόνδους τὰς νεκρὰς ἀνελόμενοι, κἀκεῖ θάπτουσι τὸν Πρωτεσίλαον ἔπεσι περιπλέοντες κατέβαινον [19]) εἰς τὴν χώραν, καὶ τῶν πολισμάτων τινὰς ἐπόρθουν. ὁ δὲ Ἀλέξανδρος μετὰ τῶν Ἑκτορος τὸν μὲν ὄχλον σύνηγεν ἅπαντα ἀπὸ τῆς χώρας [20]) εἰς τὰ ἄστυ· τὰς δὲ μικρὰς πόλεις εἴων πρὸς τῇ θαλάττῃ, διὰ τὸ μὴ δύνασθαι παντα χῇ βοηθεῖν. πάλιν δὲ καταπλεύσαντες εἰς τὸν Ἀχαιῶν λιμένα νυκτὸς, ἔλαθον ἀποβάντες [21]), καὶ ναύσταθμον περιεβάλοντο [22]), καὶ τάφρον ὤρυξαν φοβούμενοι τὸν Ἕκτορα καὶ τοὺς Τρῶας, καὶ μάλιστα ὡς αὐτοὶ πολιορκηθησόμενοι [23]) παρεσκευάζοντο. οἱ δὲ [24]) τὰ μὲν ἄλλα συγχωρῆσαι Ὁμήρῳ· τὸ δὲ τεῖχος ἃ φασιν αὐτὸν γενόμενον λέγειν, ὅτι πεποίηκεν ὕστερον Ἀπόλλωνα καὶ Ποσειδῶνα τοὺς ποταμοὺς ἀφέντας ἐπ' αὐτὸ, καὶ ἀφανίσαντας· ὃ πάντων ἀπιθανώτατόν ἐστι, κατακλυσθῆναι τὰ θεμέλια τοῦ τείχους. ἔτι γὰρ καὶ νῦν οἱ ποταμοὶ λιμνάζουσι τὸν τόπον, καὶ πολὺ τῆς θαλάττης προκεχωρήκασι [25]). τὸν δὲ λοιπὸν χρόνον, τὰ μὲν ἐποίουν

19) ἀνέβαινον Ven.

20) in Ven. et in codice regio est ἅπαντα μετὰ τῆς χώρας. in V. L. Venetae τὸν αὐτῆς χώρας, sed qui varietatem istam lectionum collegit, non satis attequebatur manum sui librarii; dederat ille recte τὸν ἀπὸ τῆς χώρας.

21) ἀποβάντες] sic Ven. et codex regius. ἀποβαίνοντες Mor.

22) Ven. περιεβάλοντο.

23) Ven. et regius πολιορκησόμενοι.

24) οἱ δὲ] scil. Aegyptii.

25) Casaubonus interpretem h. l. ab auctoris sententia aberrasse affirmat, ego vero contra miror acumen interpretis, qui in veram auctoris sententiam, ὑπανακεχωρήκασι, inciderit, eamque reddiderit. Rhodam. coni. προσηκεχώκασι.

ἐποίουν κακῶς, τὰ δ' ἔπασχον, καὶ μάχαι μὲν ἐ πολλαὶ ἐγίνοντο ἐκ παρατάξεων· ἐ γὰρ ἐθάρρουν προσιέναι πρὸς τὴν πόλιν, διὰ τὸ πλῆθος καὶ τὴν ἀνδρείαν τῶν ἔνδοθεν· ἀκροβολισμοὶ δὲ καὶ κλοπεῖαι [26]) τῶν Ἑλλήνων· καὶ Τρωίλός τε ἔτως ἀπεθνήσκει παῖς ὢν ἔτι, καὶ Μνήσωρ, καὶ ἄλλοι πλείους. ἦν γὰρ ὁ Ἀχιλλεὺς ἐνεδρεῦσαι δεινότατος, καὶ νυκτὸς ἐπιθέσθαι. ὅθεν Αἰνείαν τε ἔτως ἐπελθὼν ὀλίγου ἀπέκτεινεν ἐν τῇ Ἴδῃ, καὶ πολλοὺς ἄλλους κατὰ τὴν χώρειν, καὶ τῶν Φρυγίων ἥρει τὰ κακῶς φυλασσόμενα· οὐδὲ γὰρ τῆς γῆς ἐπεκράτουν οἱ Ἀχαιοὶ, ἀλλ' ἢ μόνον τῷ στρατοπέδῳ. τεκμήριον δὲ, ὅ γὰρ ἂν ποτε Τρωίλος ἔξω τοῦ τείχους ἐγυμνάζετο, καὶ ταῦτα μακρὰν ἀπὸ τῆς πόλεως· οὐδ' ἂν ἐγεώργουν τὴν Χερρόνησον, ὡς ὁμολογοῦσι πάντες, εἴπερ ἐκράτουν τῆς Τρῳάδος, οὐδ' ἂν ἐκ Λήμνου οἶνος ἐκομίζετο αὐτοῖς. κακῶς δὲ φερομένων τῶν Ἀχαιῶν ἐν τῷ πολέμῳ, καὶ μηδενὸς ἀποβαίνοντος ὧν ἤλπισαν, ἀλλὰ συμμάχων ἐπιῤῥεόντων ἀεὶ τοῖς Τρωσὶ πλειόνων, λοιμός τε καὶ λιμὸς αὐτοὺς ἔπιεσε, καὶ στάσις ἐγένετο τῶν ἡγεμόνων, ὥσπερ εἰωθὲν, ὡς τὸ πολὺ γίνεσθαι τοῖς κακῶς πράττουσιν, ἢ τοῖς κρατοῦσιν. ὁμολογεῖ δὲ ταῦτα καὶ Ὅμηρος· ἐδὲ γὰρ ἐδύνατο πάντα τἀληθῆ ἀποκρύψασθαι· ἐν οἷς φησι τὸν Ἀγαμέμνονα ἐκκλησίαν συναγαγεῖν τῶν Ἑλλήνων, ὡς ἀπάξοντα τὸ στράτευμα, δηλονότι τοῦ πλήθους χαλεπῶς φέροντος, καὶ ἀπιέναι βουλομένου, καὶ τὸν ὅχλον ὁρμῆσαι πρὸς τὰς ναῦς· τὸν δὲ Νέστορα καὶ τὸν Ὀδυσσέα κατασχεῖν μόλις, μαντείαν τινὰ προβαλλομένους, καὶ ὀλίγον εἶναι χρόνον φάσκοντας, ὃν ἐδέοντο αὐτῶν ὑπομεῖναι. τὸν δὲ μάντιν τοῦτον Ἀγαμέμνων ἐν τοῖς ἄνω ἔπεσί φησι

26) κλωπεῖαι] sic recte Veneta, κλοπεῖαι Mor.

σι μηθὲν πώποτε ἀληθὲς μαντεύεσθαι [27]). μέχρι μὲν ἔν τέτων ἐφεξῆς ὁ πάνυ φαίνεται τῶν ἀνθρώ-
25. πων καταφρονῶν Ὅμηρος· ἀλλά τρόπον τινὰ ἔχεσθαι τἀληθές· εἰ μή γε τὰ περὶ τὴν ἁρπαγὴν, ὡς αὐτὸς ὡς γενόμενα διηγέμενος, ἀλλ' Ἕκτορα πομπὰς ὀνειδίζοντα Ἀλέξανδρον [28]), καὶ Ἑλένην οὐρομένην
30. πρὸς Πρίαμον, καὶ αὐτὸν Ἀλέξανδρον μεμνημένον ἐν τῇ συνεσίᾳ τῇ πρὸς τὴν Ἑλένην, ὃ πάντων σαφέσατα εἴδει ῥηθῆναι καὶ μετὰ πλείσης ἀπειδῆς· ἔτι δὲ καὶ τὰ περὶ τὴν μονομαχίαν· ὁ γὰρ δυνάμενος
35. εἰπεῖν, ὡς ἀπέκτεινε τὸν Ἀλέξανδρον ὁ Μενέλεως, ὡς [29]) κενὰς αὐτῷ χαρίζεται χάριτας καὶ νίκην γελοίαν, ὡς τῷ ξίφει καταχθέντος [30]). ὁ γὰρ ἦν τῷ τῷ Ἀλεξάνδρε χρήσασθαι, τοσῦτόν γε κρείτ-
40. τονα ὄντα, ὡς ἕλκειν αὐτὸν εἰς τὲς Ἀχαιὲς ζῶντα μετὰ τῶν ὅπλων; ἀλλ' ἀπάγχειν ἔδει τῷ ἱμάντι. ψευδὴς δὲ ἡ τῦ Αἴαντος [31]) καὶ ἡ τῦ Ἕκτορος μονομαχία, καὶ πάνυ εὐήθης ἡ διάλυσις [32])· πάλιν

27) f. μαντεύσασθαι.

28) malim Ἀλεξάνδρῳ. *exprobrantem Alexandro.*

29) potest ὡς accipi pro *o quam vanas!* malim tamen aut ὡς plane deleri, aut cum ὅμως *nihilominus* permutari.

30) vir doctus Venetae meae adscripsit κατεσχθέντος: dubito, an satis recte. in aoristo secundo noui ἐάγην vsurpari, in primo, ni fallor, est ἤχθην, κατήχθην, non κατεάχθην, itaque etiam κατεχθείς, non κατεσχθείς.

31) f. ψευδὴς δὲ καὶ ἡ τῦ Αἴαντος καὶ τῦ Ἕκτορος μον.

32) In Veneta sic est: ἡ διάλυσις πάλιν ἐκείνε, αἰχντος νικῶντος. πέρας δὲ ἔδει. et sic quoque in regio testatur esse Morellus. vere, ni fallor; modo Αἴαντος deleatur, quod videtur scholium vocabuli ἐκείνε esse, et sic interpungatur: ἡ διάλυσις πάλιν, ἐκείνε νικῶντος, πέρας δὲ ἔδει, quod idem est, atque πρὸς ἔδει δὲ πέρας, ad nullam rem, nullum effectum; vt nil quicquam post et per eam victoriam profectum esset magis, quam ante fuerat. πέρας etiam est in ed. Rhodom. v. ad h. l. Casaub. et Morell.

ἐκεῖνον Αἴαντος νικῶντος, πρὸς δὲ ὀδὸν, καὶ δῶρα δόντων ἀλλήλοις, ὥσπερ φίλων. μετὰ δὲ ταῦτα ἤδη ταλῃθῆ λέγει, τὴν τῶν Ἀχαιῶν ἧτταν καὶ τροπὴν, καὶ τὰς τοῦ Ἕκτορος ἀριστείας, καὶ τὸ πλῆθος τῶν ἀπολλυμένων, ὥσπερ ὑπέσχετο ἐρεῖν, τρόπον τινὰ ἄκων, καὶ ἀναφέρων εἰς τιμὴν τοῦ Ἀχιλλέως. καίτοι θεοφιλῆ γε εἶναι τὴν πόλιν φησὶ, καὶ Διὸς ἀντικρυς πεποίηκε λέγοντα, πασῶν τῶν ὑπὸ τὸν ἥλιον πόλεων τὸ Ἴλιον μάλιστα ἀγαπῆσαι, καὶ τὸν Πρίαμον καὶ τὸν λαὸν αὐτοῦ. ἔπειτα, ὀψὲ καὶ μεταπεσόντος, φασὶν, τοσοῦτο μετέβαλεν, ὥστε οἴκτισαι ἀνελεῖν τὴν ἀπασῶν προσφιλεστάτην, δι' ἑνὸς ἀνδρὸς ἁμαρτίαν, εἴπερ ἥμαρτεν. ὅμως δὲ οὐκ οἷός τε ἐστὶν ἀποκρύψαι τὰ τοῦ Ἕκτορος ἔργα νικῶντος καὶ διώκοντος τοὺς Ἀχαιοὺς μέχρι τῶν νεῶν, καὶ πάντων [33]) αὐτὸν ἐκπεπληγμένων τῶν ἀρίστων· ὁτὲ μὲν Ἄρει παραβάλλων αὐτόν· ὁτὲ δὲ Φλογὶ λέγων τὴν ἀλκὴν ὅμοιον εἶναι, μηδενὸς δὲ ἁπλῶς ὑπομένοντος αὐτὸν, τοῦ τε Ἀπόλλωνος αὐτῷ παρισαμένου, καὶ τοῦ Διὸς ἄνωθεν ἐπισημαίνοντος ἀνέμῳ καὶ βροντῇ· ταῦτα γὰρ ὁ βουλόμενος εἰπεῖν ἔτως ἐναργῶς· ὅμως ἐπεὶ ταλῃθῆ ἦν, ἀρξάμενος αὐτῶν, ὁ δύναται ἀποσῆναι· τήν τε νύκτα [34]) ἐκείνην τὴν χαλεπὴν, καὶ τὴν ἐν τῷ στρατοπέδῳ κατήφειαν, καὶ τὴν τοῦ Ἀγαμέμνονος ἔκπληξιν, καὶ τὰς οἰμωγὰς, ἔτι δὲ τὴν νυκτερινὴν ἐκκλησίαν βουλευομένων, ὅπως φύγοιεν, καὶ τὰς δεήσεις τὰς τοῦ Ἀχιλλέως, εἴ τι [35]) δύναιτο ἐκεῖνος ἆρα ὠφελῆσαι. τῇ δ' ὑστεραίᾳ τῷ μὲν Ἀγα-

33) verba καὶ πάντων — τῶν ἀρίστων melius starent post ὅμοιον εἶναι.

34) τήν τε νύκτα] subaudi a communi οἷός τ' ἐστὶν ἀποκρύψαι, v. 13.

35) εἴ τι] sic recte Ven. et Rhodam. ἔτι Mor.

Ἀγαμέμνονι χαρίζεταί τινα ἀρισεῖαν ἀνόητον [36]),
35. καὶ τῷ Διομήδει, καὶ τῷ Ὀδυσσεῖ καὶ Εὐρυπύλῳ,
καὶ τὸν Αἴαντα, φησὶ, μάχεσθαι προθύμως, εὐ-
θὺς δὲ τοὺς Τρῶας ἐπικρατῆσαι, καὶ τὸν Ἕκτορα
ἐλαύνειν ἐπὶ τὸ τεῖχος τῶν Ἀχαιῶν, καὶ τὰς ναῦς.
40. καὶ ταῦτα μὲν λέγων, δῆλόν ἐστιν, ὅτι ἀληθῆ λέγει,
καὶ τὰ γενόμενα, ὑπ' αὐτῶν τῶν πραγμάτων προ-
αγόμενος· ὅταν δὲ αὖξῃ τοὺς Ἀχαιοὺς, πολλῆς ἀπο-
ρίας μεστός ἐστι, καὶ πᾶσι φανερὸς, ὅτι ψεύδεται·
45. τὸν μὲν Αἴαντα δὶς κρατῆσαι τοῦ Ἕκτορος λέγων [37]),
ὁτὲ μὲν τῇ μονομαχίᾳ, πάλιν δὲ τῷ λίθῳ· τὸν
δὲ Διομήδην, τοῦ Αἰνείου καὶ μηδὲ τότε μηδὲν πρά-
ξαντος, ἀλλὰ τοὺς ἵππους μόνον λαβόντος, ὅπερ ἦν
ἀνεξέλεγκτον. ἐκ ἔχων δὲ, ὅ, τι αὐτοῖς χαρίσηται,
5. τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην φησὶ τρωθῆναι ὑπὸ τοῦ
Διομήδους. ἐν οἷς ἅπασι δῆλός ἐστιν, εὔνους μὲν ὢν
ἐκείνοις, καὶ βελόμενος αὐτοὺς θαυμάζειν· ἐκ ἔχων
δὲ καὶ [38], ὅ, τι εἴπῃ ἀληθὲς, διὰ τὴν ἀπορίαν εἰς
10. ἀδύνατα ἐμπίπτων καὶ ἀσεβῆ πράγματα· ὃ πά-
σχουσιν ὡς τὸ πολὺ πάντες, ὅσοι τῇ ἀληθείᾳ μάχον-
ται. ἀλλ' ὁ περὶ τοῦ Ἕκτορος ὁμοίως ἀπορεῖ ὅ, τι
εἴπῃ μέγα καὶ θαυμαστόν; ὡς γε, οἶμαι, τὰ γενό-
15. μενα διηγούμενος· ἀλλὰ φεύγοντας μὲν προτρε-
πάδην ἅπαντας, καὶ κατ' ὄνομα τοὺς ἀρίστους, ὅταν
φησὶν, μήτε Ἰδομενέα μένειν, μήτε Ἀγαμέμνονα,
μήτε τοὺς δύο Αἴαντας· ἀλλὰ Νέστορα μόνον ὑπ'
20. ἀναγκης, καὶ τοῦτον ἀλῶναι παρ' ὀλίγον· ἐπιβοη-
θήσαντα δὴ τὸν Διομήδην, καὶ πρὸς ὀλίγον θρασυ-
νόμενον, ἔπειτα εὐθὺς ἀποστραφέντα φεύγειν, ὡς

36) ἀνόητον] sic recte Valesius Emendat. p. 52. ἀνόητον Ven. et Mor.

37) pro λέγων est in Cod. regio et Ven. μάτην, pro quo vir doctus μάχην adscripsit. Morellus vult vtrumque iungi, μάτην λέγων.

38) καὶ videtur delendum.

κεραυνῶν ὅθεν εἰργόντων αὐτόν· τέλος δὲ τὴν τάφρον διαβαινομένην, καὶ τὸν ναύσταθμον πολιορκούμενον, καὶ ῥηγνυμένας ὑπὸ τοῦ Ἕκτορος τὰς πύλας, καὶ τὰς Ἀχαιὰς εἰς τὰς ναῦς ἤδη κατειλημένας [39]), καὶ περὶ τὰς σκηνὰς πάντα τὸν πόλεμον, καὶ τὸν Αἴαντα ἄνωθεν μαχόμενον ἀπὸ τῶν νεῶν· καὶ τέλος, ἐκβληθέντα ὑπὸ τοῦ Ἕκτορος, καὶ ἀναχωρήσαντα, καὶ τῶν νεῶν τινας ἐμπρησθείσας. ἐν ταὐτῷ γὰρ ἓν ἔστιν Αἰνείας ὑπὸ Ἀφροδίτης ἁρπαζόμενος, ὅδε Ἄρης ὑπὸ ἀνδρὸς τιτρωσκόμενος, ὅδε ἄλλο τοιοῦτον ὅθεν ἀπίθανον, ἀλλὰ πράγματα ἀληθῆ, καὶ ὅμοια γεγονόσιν. μεθ' ἣν ἦτταν ἐκέτι ἦν ἀναμάχεσθαι δυνατόν, ὅδε θαῤῥῆσαί ποτε, τὸς ἔτως ἀπειρηκότας, ὡς μήτε ὑπὸ τῆς τάφρου, μήτε ὑπὸ τοῦ ἐρύματος ὠφεληθῆναι μηδὲν, μήτε αὐτὰς διαφυλάξαι τὰς ναῦς. ποία γὰρ ἔτι τηλικαύτη δύναμις, ἢ τίς ἔτως ἀνὴρ ἄμαχος καὶ θεοῦ ῥώμην ἔχων, ὃς ἐπιφανεὶς ἠδύνατο σῶσαι τὰς ἀπολωλότας ἤδη; τὸ γὰρ τῶν Μυρμιδόνων πλῆθος πόσον τι πρὸς τὴν σύμπασαν ἦν στρατιάν; ἢ τὸ τοῦ Ἀχιλλέως [40]), ὃ δήπου τότε πρῶτον μέλλοντος μάχεσθαι, πολλάκις δὲ ἐν πολλοῖς τοῖς ἔμπροσθεν ἔτεσιν εἰς χεῖρας ἐλθόντος, καὶ μήτε τὸν Ἕκτορα ἀποκτείναντος, μήτε ἄλλο μηδὲν εἰργασμένου μέγα, εἰ μὴ Τρῴλον [41]), παῖδα ἔτι ὄντα τὴν ἡλικίαν, ἐλόντος; ἐνταῦθα δὲ γενόμενος Ὅμηρος, οὐδὲν ὅ, τι ταλήθες [42]) ἐφρόντισεν· ἀλλ' εἰς ἅπαν ἦκεν ἀναισχυντίας, καὶ πάντα τὰ πράγματα ἁπλῶς ἀνέτρεψεν, καὶ μετέτησεν εἰς τἐναντίον· καταπεφρονηκὼς μὲν τῶν ἀνθρώπων, ὅτι

39) κατειλημένας a verbo κατειλέω *concludo, compingo in angustum, contorqueo.* κατειλημμένας Ven. et Mor.

40) τὸ τοῦ Ἀχιλλ.] scil. κράτος.

41) Veneta et codex regius, μέγα, μήτε τρῴλον. forte voluerunt librarii μέγα, εἰ μὴ γε τρῴλον.

42) malim οὐδὲν ἔτι ταλήθες. pro ὅ, τι est in Ven. ὅτι.

ἔτι καὶ τἄλλα ἑώρα πάνυ ῥᾳδίως πειθομένους αὐτοὺς, καὶ τὰ περὶ τῶν θεῶν· οὐκ ὄντων δὲ ἑτέρων ποιητῶν, οὐδὲ συγγραφέων, παρ' οἷς ἐλέγετο τἀληθές· ἀλλ' αὐτὸς πρῶτος ἐπιθέμενος ὑπὲρ τούτων γράφειν, γενεαῖς δὲ ὕστερον ξυνθεὶς πολλαῖς, τῶν εἰδότων αὐτὰ ἠφανισμένων, καὶ τῶν ἐξ ἐκείνων ἔτι 43), ἀμαυρᾶς τε καὶ ἀσθενοῦς ἔτι φήμης ἀπολειπομένης, ὡς εἰκὸς, περὶ τῶν σφόδρα παλαιῶν· ἔτι δὲ πρὸς τοὺς πολλοὺς καὶ ἰδιώτας μέλλων διηγεῖσθαι τὰ ἔπη, καὶ ταῦτα βελτίω ποιεῖν τὰ τῶν Ἑλλήνων, ὡς μηδὲ τοὺς γινώσκοντας ἐξελέγχειν. οὕτω δὴ ἐτόλμησε τὰ ἐναντία τοῖς γενομένοις ποιῆσαι· τοῦ γὰρ Ἀχιλλέως ἐπιβοηθήσαντος ἐν τῇ καταλήψει τῶν νεῶν ὑπ' ἀνάγκης τὸ πλέον, καὶ τῆς αὐτοῦ σωτηρίας ἕνεκα, τροπὴν μέν τινα γενέσθαι τῶν Τρῴων, καὶ ἀναχωρῆσαι παραχρῆμα ἀπὸ τῶν νεῶν αὐτοὺς, καὶ σβεσθῆναι τὸ πῦρ· ἅτε ἐξαπίνης ἐπιπεσόντος τοῦ Ἀχιλλέως, καὶ τοὺς τε ἄλλους ἀποχωρεῖν, καὶ τὸν Ἕκτορα ὑπάγειν αὐτὸν ἔξω τῆς τάφρου καὶ τῆς περὶ τὸ στρατόπεδον στενοχωρίας, σχεδὸν δὲ 44) καὶ ἐφιστάμενον, ὥσπερ αὐτός φησιν Ὅμηρος. συμπεσόντων δὲ καὶ μαχομένων πάλιν, τὸν Ἀχιλλέα κάλλιστα ἀγωνίσασθαι

43) ἔτι in breuissimo spatio ter iteratum haud placet; quare primum malim abesse. pro τε dat Ven. et Rhodom. δὲ vnde sic corrigo locum: καὶ τῶν ἐξ ἐκείνων, dudum e medio sublatis illis, qui ista norant, nec non eorum posteris, ἀμαυρᾶς δὲ καὶ ἀσθ.

44) σχεδὸν δὲ] subaudi ὑπάγειν, se subduxisse in locum, vbi propinquus esset Achilli et graecis, καὶ ὑφιστάμενον, et sic, vt cessim se subduceret, saepe insistens, experiendi gratia, num quis hostium secum dimicare audeat. Non videtur Casaubonus h. l. Dionis sententiam cepisse. ἐφίστασθαι hic loci est, aut insistere ceruicibus alicuius, imminere, aut gradum sistere, vestigio suo insistere, vt p. 344, vlt. ὁτὲ μὲν περιμένων, ὁτὲ δὲ ἀποφεύγων.

σασθαι μετὰ τῶν αὐτοῦ, καὶ πολλοὺς ἀποκτεῖναι τῶν Τρώων καὶ τῶν ἐπικούρων, ἄλλως τε[45]) καὶ τὸν Σαρπηδόνα, τὸν τοῦ Διὸς εἶναι λεγόμενον υἱὸν, βασιλέα Λυκίων, καὶ περὶ τὴν τοῦ ποταμοῦ διάβασιν ἀποχωροῦντα[46]) γενέσθαι φόνον πολύν· οὐ μέντοι προτροπάδην φεύγειν αὐτοὺς, ἀλλὰ πολλὰς ἑκάστοτε ὑποστροφὰς γίνεσθαι. τὸν δὲ Ἕκτορα ἐν τούτῳ παραφυλάττειν, ἐμπειρότατον ὄντα καιρὸν μάχης ξυνεῖναι· καὶ μέχρι μὲν ἤκμαζεν ὁ Ἀχιλλεὺς, καὶ νεαλὴς ὢν ἐμάχετο, μὴ ξυμφέρεσθαι αὐτῷ, μόνον δὲ τοὺς ἄλλους παρακαλεῖν· ἐπεὶ δ' ᾐσθάνετο κάμνοντα ἤδη, καὶ πολὺ τῆς πρότερον ὑφεικότα ὁρμῆς, ἅτε οὐδὲν[47]) οὐ ταμιευσάμενον ἐν τῷ ἀγῶνι, καὶ ὑπὸ τοῦ ποταμοῦ κοπωθέντα μείζονος ἐῤῥυηκότος, καὶ ἀπείρως διαβαίνοντα, καὶ ὑπό τε Ἀστεροπαίου τοῦ Παίονος ἑώρα τετρωμένον, Αἰνείαν τε συστάντα αὐτῷ, καὶ μαχεσάμενον ἐπιπλέον, ὁπότε δὲ ἐβουλήθη ἀσφαλῶς ἀποχωρήσαντα, Ἀντήνορα δὲ οὐ καταλαβόντα, ὁρμήσαντα διώκειν· καίτοι τούτῳ μάλιστα προεῖχεν ὁ Ἀχιλλεὺς, ὅτι ἐδόκει τάχιστος εἶναι. καταφανὴς οὖν ἐγεγόνει[48]) αὐτῷ διὰ τούτων ἁπάντων εὐάλωτος ὤν· ἅτε δεινῷ τὴν πολεμικὴν τέχνην ὄντι· ὥστε θαῤῥῶν ἀπήντησεν αὐτῷ κατὰ μέσον τὸ πεδίον. καὶ τὸ μὲν πρῶτον ἐνέκλινεν ὡς φεύγων ἀποπειρώμενος αὐτοῦ, ἅμα δὲ καὶ κοπῶσαι βουλόμενος, ὁτὲ μὲν περιμένων, ὁτὲ δὲ ἀποφεύγων·

ὡς

45) f. ἄλλους τε.

46) ἀποχωρούντων emendat Rhodom. ἀποχωρούντων τρώων V. D. in Veneta mea.

47) οὐδὲν abest a Ven. et regio. de verbo ταμιεύεσθαι egit, praeter Casaubonum h. l. etiam Wesseling T. I. Diodori Siculi p. 257, 17.

48) praetuli ἐγεγόνει e Ven. et regio, pro ἐδόκει Morell. quod perperam videtur iteratum.

ὡς[49]) δὲ ἑώρα βραδὺν ὄντα καὶ ἀπολειπόμενον, οὕτως ὑποστρέψας αὐτὸς ἧκεν ἐπ' αὐτὸν, οὐδὲ τὰ ὅπλα φέρειν ἔτι δυνάμενον, καὶ συλλαβὼν ἀπέκτεινε, καὶ τῶν ὅπλων ἐκράτησεν, ὡς καὶ τοῦτο[50]) Ὅμηρος εἴρηκε. τοὺς δὲ ἵππους διῶξαι μέν φησι τὸν Ἕκτορα· οὐ λαβεῖν δὲ, κἀκείνων ἁλόντων. τὸ μὲν οὖν σῶμα μόλις διέσωσαν ἐπὶ τὰς ναῦς οἱ Δίαντες. οἱ γὰρ Τρῶες ἤδη θαρροῦντες καὶ νικᾶν νομίζοντες, μαλακώτερον ἐφείποντο· ὁ δὲ Ἕκτωρ, ἐνδυσάμενος τὰ τοῦ Ἀχιλλέως ὅπλα ἐπίσημα ὄντα, ἔκτεινέ τε καὶ ἐδίωκε μέχρι τῆς θαλάττης, ὡς ὁμολογεῖ ταῦτα Ὅμηρος. νὺξ δὲ ἐπιγενομένη ἀφείλετο μὴ πάσας ἐμπρῆσαι τὰς ναῦς. τούτων δὲ οὕτως γενομένων, οὐκ ἔχων, ὅπως κρύψαι τἀληθὲς, Πάτροκλον εἶναί φησι τὸν ἐπεξελθόντα μετὰ τῶν Μυρμιδόνων, ἀναλαβόντα τὰ τοῦ Ἀχιλλέως ὅπλα, καὶ τοῦτον ὑπὸ τοῦ Ἕκτορος ἀποθανεῖν, καὶ τὸν Ἕκτορα τῶν ὅπλων οὕτω κρατῆσαι. καίτοι, πῶς ἂν ὁ Ἀχιλλεὺς ἐν τοσούτῳ κινδύνῳ τοῦ στρατοπέδου ὄντος, καὶ τῶν νεῶν ἤδη καιομένων, καὶ ὅσον οὔπω ἐπ' αὐτὸν ἥκοντος τοῦ δανοῦ, καὶ τὸν Ἕκτορα ἀκούων, ὅτι φησὶν μηδένα αὐτῷ ἀξιόμαχον εἶναι, καὶ τὸν Δία βοηθεῖν αὐτῷ, καὶ δεξιὰ σημεῖα φαίνειν· εἴ γε ἐβούλετο σῶσαι τοὺς Ἀχαιοὺς, αὐτὸς μὲν ἔμενεν ἐν τῇ σκηνῇ ἄριστος ὢν μάχεσθαι, τὸν δὲ πολὺ χείρονα αὐτοῦ ἔπεμπε; καὶ ἅμα μὲν παρήγγελλεν ἐμπεσεῖν ἰσχυρῶς, καὶ ἀμύνεσθαι τοὺς Τρῶας[51]), ἅμα δὲ τῷ Ἕκτορι μὴ μάχεσθαι; οὐδὲ γὰρ ἐπ' ἐκείνῳ ἦν, οἶμαι, προελθόντι ἅπαξ[52]), οὕτως ὡς ἐβούλετο μάχεσθαι. οὕτω δὲ

 ὑπο-

49) ὡς] in Ven. est ὑπὸ: voluit editor ἐπεὶ dare, quod est in regio.

50) τοῦτο] malim αὐτὸς.

51) ἀμύνειν τοῖς τρωσὶ V. L. Ven. et margo Morell.

52) regius προελθόντι γε ἅπαξ, ornatius, Morello indice.

ὑποκαταφρονῶν[53]) τοῦ Πατρόκλου, καὶ ἀπιστῶν αὐτῷ, τὴν δύναμιν ἐπιτρέπει ἐκείνῳ, καὶ τὰ ὅπλα αὐτοῦ καὶ τοὺς ἵππους, ὡς ἂν κάκιστά[54]) τις βουλεύσαιτο περὶ τῶν[55]) αὐτοῦ, πάντα ἀπολέσαι βουλόμενος. ἔπειτα ηὔχετο τῷ Διὶ ὑποστρέψαι τὸν Πάτροκλον μετὰ τῶν ὅπλων ἁπάντων καὶ τῶν ἑταίρων, οὕτως ἀνοήτως πέμπων αὐτὸν πρὸς ἄνδρα κρείττονα· ᾧ προκαλουμένῳ τοὺς ἀρίστους, οὐδεὶς ὑπακοῦσαι δῆθελεν. ὁ ἐ Ἀγαμέμνων ἄντικρυς ἔφη καὶ τὸν Ἀχιλλέα φοβεῖσθαι, καὶ μὴ βούλεσθαι συμβαλεῖν ἐκείνῳ. τοιγαροῦν οὕτω βουλευσάμενον αὐτὸν, λέγειν[56]) τοῦ τε ἑταίρου στερηθῆναι καὶ πολλῶν ἑτέρων, ὀλίγου δὲ καὶ τῶν ἵππων, καὶ ἄνοπλον γενέσθαι; ἃ οὐδέποτ' ἂν ἐποίησεν Ἀχιλλεὺς, μὴ ἀπόπληκτος ὤν· εἰ δὲ μὴ, πάντως ἂν αὐτὸν ἐκώλυσε Φοίνιξ. ἀλλ' οὐ γὰρ ἐβούλετο, φησὶ, ταχέως ἀπαλλάξαι τοῦ κινδύνου τοὺς Ἀχαιοὺς, ἕως ἂν λάβῃ τὰ δῶρα, καὶ ἅμα οὐδέπω τῆς ὀργῆς ἐπέπαυτο. καὶ τί ἦν ἐμπόδιον, αὐτὸν προελθόντα ἐφ' ὅσον ἐβούλετο, πάλιν μηνίειν; ξυνεὶς δὲ τῆς τοιαύτης ἀλογίας, αἰνίττεται δι' ἀπόῤῥησίν τινα μένειν αὐτὸν, εἰ ἐξῄει[57]), πάντως ἀποθανούμενον, ἄντικρυς αὐτοῦ κατηγορῶν δειλίαν. καίτοι ἐξῆν αὐτῷ διὰ ταύτην τὴν ἀπόῤῥησιν ἀποπλεῦσαι διενεχθέντα πρὸς τὸν Ἀγαμέμνονα. οὐ μέντοι ἀλλὰ καὶ περὶ Πατρόκλου ἐτύγχανεν ἀκηκοὼς τῆς μητρὸς, ὅν φησιν ἴσον[58]) τῇ ἑαυτοῦ κεφαλῇ

53) ὑποκαταφρονῶν vitiosa lectio nata e gemina, quae in libris olim est versata, alia ὑπερφρονῶν, alia καταφρονῶν. alterutra optanda est.

54) f. ὡς ἂν εἰ κάκιστα.

55) codex regius omittit τῶν, recte mea quidem sententia.

56) probo Angli λέγει.

57) f. εἰ ἐξίη.

58) ἴσον] V. L. Venetae dat ἐν ἴσῳ.

λῇ τιμᾶν, καὶ μηδὲ αὐτὸς[59]) ἔτι βούλεσθαι ζῆν, ἐκείνου ἀποθανόντος. ὡς δὲ ἑώρα αὐτὸν οὐ δυνάμενον βαστάσαι τὸ δόρυ, τὰ ἄλλα ἐδίδου, δηλονότι προσεοικότα τῷ δόρατι, καὶ οὐκ ἐφοβεῖτο, μὴ οὐ δύνηται φέρειν αὐτά· ὥσπερ οὖν καὶ φησὶ συμβῆναι περὶ τὰς μάχας. ἀλλὰ γὰρ, εἴ τις ἅπαντα ἐλέγχοι, πολὺ ἔργον ἂν εἴη. τὸ γὰρ ψεῦδος ἐξ αὐτοῦ φανερώτερόν ἐστι τοῖς προσέχουσιν· ὥστε οὐδενὶ ἄδηλον καὶ τῶν ὀλίγων νοῦν ἐχόντων, ὅτι σχεδὸν ὑπόβλητός ἐστιν ὁ Πάτροκλος, καὶ τοῦτον[60]) ἀπήλεγξεν Ὅμηρος διὰ τοῦ Ἀχιλλέως, βουλόμενος τὸ κατ' ἐκεῖνον κρύψαι. ὑφορώμενος δὲ, μή τις ἄρα καὶ τοῦ Πατρόκλου ζητοῖ τάφον· ὥσπερ οἶμαι καὶ τῶν ἄλλων ἀριστέων τῶν ἀποθανόντων ἐν Τροίᾳ φανεροί εἰσιν οἱ τάφοι· διὰ τοῦτο προκαταλαμβάνων, οὐκ ἔφη τάφον αὐτοῦ γενέσθαι καθ' αὑτὸν, ἀλλὰ μετὰ τοῦ Ἀχιλλέως τεθῆναι. καὶ Νέστωρ μὲν οὐκ ἠξίωσε μετ' Ἀντιλόχου ταφῆναι, δι' αὐτὸν ἀποθανόντος, οἴκαδε τὰ ὀστᾶ κομίσας· τὰ δὲ τοῦ Ἀχιλλέως ὀστᾶ ἀνεμίχθη τοῖς τοῦ Πατρόκλου; μάλιστα μὲν οὖν ἐβούλετο Ὅμηρος ἀφανίσαι[61]) τὴν τοῦ Ἀχιλλέως τελευτὴν ὡς οὐκ ἀποθανόντος ἐν Ἰλίῳ. τοῦτο δὲ ἐπεὶ ἀδύνατον ἑώρα, τῆς φήμης ἐπικρατούσης, καὶ τοῦ τάφου δεικνυμένου, τό, τε[62]) ὑφ' Ἕκτορος αὐτὸν ἀποθανεῖν ἀφείλετο, καὶ τοὐναντίον, ἐκεῖνον ὑπὸ τοῦ Ἀχιλλέως ἀναιρεθῆναί φησιν, ὃς τοσοῦτον ὑπερεῖχε τῶν ἀνθρώπων ἁπάντων, καὶ προσέτι αἰκισθῆναι τὸν νεκρὸν

59) αὐτὸς] sic recte Ven. αὐτὸν Rhodom. αὐτὸ Morell.

60) τοῦτο mauult Anglus; ne sic quidem bonam sententiam colligo; quae potius sic flagitare videtur: καὶ τὸν Ἀχιλλέα ἀπήλεγξεν Ὅμηρος διὰ τούτου *et Achillis ignaviam castigauit atque traduxit Homerus sub huius* (Patrocli) *nomine.*

61) ἀφανίσαι] in Ven. est ἐφανίσαι, deinde ei deest ὡς.

62) τε] l. γε.

νεκρὸν αὐτῷ καὶ συρῆναι μέχρι τῶν τειχῶν. πάλιν δὲ εἰδὼς τάφον ὄντα τῷ Ἕκτορος, καὶ τιμώμενον αὐτὸν [63]) ὑπὸ τῶν πολιτῶν, ἀποδοθῆναι αὐτὸν λέγει, κελεύσαντος τοῦ Διὸς, λύτρων δοθέντων. πῶς δὲ τὴν Ἀφροδίτην ἐπιμεληθῆναι καὶ τὸν Ἀπόλλω, τῷ διαμεῖναι τὸν νεκρόν. ἐκ ἔχων δὲ, ὅ, τι ποιήσει τὸν Ἀχιλλέα, ἐπεὶ εἶδες αὐτὸν ὑπὸ τῶν Τρώων τινὸς ἀνῃρῆσθαι· (ἐ γὰρ δὴ καὶ τοῦτον ἔμελλεν, ὥσπερ καὶ τὸν Αἴαντα, ὑφ' ἑαυτῷ ἀποθανόντα ποιεῖν, Φθονῶν τῆς δόξης τῷ ἀνελόντι·) τὸν Ἀλέξανδρόν φησιν ἀποκτεῖναι αὐτὸν, ὃν πεποίηκε τῶν Τρώων κάκιστον καὶ δειλότατον, καὶ ὑπὸ τοῦ Μενέλεω μικρῷ δεῖν ζωγρηθέντα, ὃν λοιδορούμενον ἀεὶ πεποίηκεν, ὡς [64]) μαλθακὸν αἰχμητὴν, καὶ ἐπονείδιστον ἐν τοῖς Ἕλλησι. καὶ, ἵνα δὴ τοῦ Ἕκτορος τὴν δόξαν ἀφέλοιτο, καὶ τὸν Ἀχιλλέα φαίνεται καθῃρηκὼς, καὶ πολὺ χείρω καὶ ἀδοξότερον αὐτοῦ ποιήσας τὸν θάνατον. τέλος δὲ προάγει ἤδη τεθνηξόμενον [65]) τὸν Ἀχιλλέα, καὶ ποιεῖ μαχόμενον· ἐκ ὄντων δὲ ὅπλων, ἀλλὰ τοῦ Ἕκτορος ἔχοντος, ἐν τούτῳ ἔλαθεν αὐτὸν ἔν τι τῶν ἀληθῶν ῥηθέν· καὶ γὰρ ἐκ τοῦ ἱερεῖ φησι νομίσαι τὴν Θέτιν ὑπὸ τοῦ Ἡφαίστου γενόμενα ὅπλα, καὶ ἔτω δὴ γελοίως τὸν Ἀχιλλέα μέγον τρεπόμενον τοὺς Τρῶας, τῶν δὲ ἄλλων Ἀχαιῶν, ὥσπερ ἀδένος παρόντος, ἁπάντων ἐπελάθετο· ἅπαξ δὲ τολμήσας τοῦτο ψεύσασθαι, πάντα συνέχεε. καὶ τοὺς θεοὺς ἐνταῦθα ποιεῖ μαχομένους ἀλλήλοις, σχεδὸν ὁμολογῶν, ὅτι ἀδὲν αὐτῷ μέλει ἀληθείας.

πάνυ

63) αὐτὸν] scil. Hectorem, non sepulcrum eius.

64) ὡς] Ven. et codex regius dant ἕτως. ὃν redit ad Menelaum.

65) τεθνηξόμενον] probo Angli τεθνηκότα, *iam dudum mortuum*. idem quoque videtur recte obseruasse v. 23. deesse ποιεῖ *fingit*, *comminiscitur*. quod idem etiam versui 1. p. 349. accidisse suspicor.

πάνυ δὲ αἰσθενῶς καὶ ἀπιθάνως τὴν ἀρετείαν διελθών, ὁτὲ μὲν ποταμῷ μαχόμενον αὐτὸν, ὁτὲ δὲ ἀπειλοῦντα Ἀπόλλωνι, καὶ διώκοντα αὐτόν. ἐξ ὧν ἀπαίνων ἰδεῖν ἐστι τὴν ἀπορίαν αὐτῷ σχεδόν. ὁ γὰρ ἐστιν ἐν τοῖς ἀληθέσιν ὅτως ἀπίθανος, οὐδὲ αἰδής. μόλις δέ ποτε τῶν Τρώων εἰς τὴν πόλιν φευγόντων, τὸν Ἕκτορα πεποίηκε πρὸ τῶ τείχους ἀνδρειόταται ὑπομένοντα αὐτὸν, καὶ μήτε τῷ πατρὶ δεομένῳ, μήτε τῇ μητρὶ πειθόμενον ἔπειτα φεύγοντα κύκλῳ τῆς πόλεως, ἐξὸν εἰσελθεῖν· καὶ τὸν Ἀχιλλέα, ταχίστω ἀνθρώπων ἀεί ποτε ὑπ' αὐτῶ λεγόμενον, ὑποφεύγοντα καταλαβεῖν. τὸς δὲ Ἀχαιὸς ὡρᾶν ἄπρακτους ὥσπερ ἐπὶ θέαν παρόντας, καὶ μηδένα βοηθεῖν τῷ Ἀχιλλεῖ, τοιαῦτα πεπονθότας ὑπὸ τῶ Ἕκτορος, καὶ μισθὸν αὐτὸν, ὥστε καὶ νεκρὸν τετρώσκειν ἔπειτα Δηΐφοβον ἐξελθόντα τῶ τείχους, μᾶλλον δὲ Ἀθηνᾶν παραλογίσασθαι [66]) αὐτὸν, εἰκασθεῖσαν Δηΐφόβῳ, καὶ τὸ δόρυ κλέψαι τὸ τῶ Ἕκτορος ἐν τῇ μάχῃ, ἐδὲ ὅπως ἀποκτείνῃ τὸν Ἕκτορα εὑρίσκειν [67]), ἰλιγγιῶν περὶ τὸ ψεῦδος, καὶ τῷ ὄντι ὡς ἐν ὀνείρατι μάχην διηγέμενος. μάλιστα γᾶν προσοίκε τοῖς αὐτόποις ἐνυπνίοις τὰ περὶ τὴν μάχην ἐκείνην. εἰς τοῦτο δὲ προελθὼν, ἀπεῖπε λοιπὸν, ἐκ ἔχων ὅ, τι χρήσηται τῇ ποιήσει, καὶ τοῖς ψεύσμασι δυσχεραίνων, ἀγῶνα τινὰ προθεὶς ἐπιτάφιον, καὶ τοῦτο [68]) πάνυ γελοίως,

66) sic recte Ven. et Rhodom. a παραλογίζομαι. Mor. dat παραλογήσασθαι.

67) εὑρίσκειν] non medetur loco, neque εὑρίσκει Rhodomanni, neque εὑρίσκειν τρόπον τινὰ, ἰλιγγιῶν — quod Morellus e regio attulit. accipio tamen quod hic dat, et sic locum refingo: ἔτως ἐκ ἐδύνατο, ἐδὲ ὅπως ἀποκτ. τὸν Ἕκτορα, εὑρίσκειν τρόπον τινὰ. adeo non poterat Homerus reperire vllam rationem, qua Hectorem vel occideret.

68) malim τοῦτον, vt ad ἀγῶνα redeat.

γελοίως, καὶ τῷ Πριάμῳ βασιλέως εἰς τὸ στρατόπεδον ἀφῖξιν παρὰ τὸν Ἀχιλλέα, μηδενὸς αἰσθανομένου τῶν Ἀχαιῶν, καὶ τὰ λύτρα [69]) κομίσαι τῷ Ἕκτορος. καὶ ἔτε τὴν τοῦ Μέμνονος βοήθειαν, ἔτε τὴν τῶν Ἀμαζόνων, οὕτω θαυμαστὰ καὶ μεγάλα, ἐτόλμησεν εἰπεῖν, οὔτε τὸν τοῦ Ἀχιλλέως θάνατον, ἔτε τὴν ἅλωσιν τῆς Τροίας. οὐδὲ γὰρ ὑπέμενεν, οἶμαι, παλαὶ τεθνηκότα τὸν Ἀχιλλέα παιᾶν πάλιν ἀναιρόμενον, οὐδὲ νικῶντας, τοὺς ἡττηθέντας καὶ φεύγοντας, οὐδὲ τὴν κρατήσασαν πόλιν, ταύτην [70]) πορθουμένην. οἱ δὲ ὕστερον, ὅτε ἐξηπατημένοι, καὶ τοῦ ψεύδους ἰσχύοντος, ἤδη θαῤῥοῦντες ἔγραφον. τὰ δὲ πράγματα ἔτως ἔσχεν. Ἀχιλλέως τελευτήσαντος ὑπὸ Ἕκτορος ἐν τῇ βοηθείᾳ τῶν νεῶν, οἱ μὲν Τρῶες, ὥσπερ καὶ πρότερον, ἐπηυλίσθησαν ἐγγὺς τῶν νεῶν, ὡς φυλάξοντες τοὺς Ἀχαιούς· ὑπώπτευον γὰρ αὐτοὺς ἀποδρᾶσαι τῆς νυκτός· ὁ δὲ Ἕκτωρ ἀνεχώρησεν εἰς τὴν πόλιν παρά τε τοὺς γονέας, καὶ τὴν γυναῖκα, χαίρων τοῖς πεπραγμένοις, ἐπὶ τῷ στρατεύματος καταλιπὼν Πάριν. ὁ δ' αὐτός τε καὶ τῶν Τρώων τὸ πλῆθος ἐκάθευδεν, ὡς εἰκὸς ἦν κεκοπωμένους, καὶ μηδὲν προσδεχομένους κακόν, ἔτι δὲ παντελῶς εὐπραγίας ὄσης· ἐν τούτῳ δὴ Ἀγαμέμνων, μετὰ Νέστορος καὶ Ὀδυσσέως καὶ Διομήδους βουλευσάμενος, σιωπῇ καθείλκυσαν τῶν νεῶν τὰς πολλὰς, ὁρῶντες, ὅτι καὶ τῇ προτεραίᾳ μικρᾷ διεφθάρησαν, ὡς μηδὲ φυγεῖν ἔτι εἶναι, καὶ μέρος ἐκ ὀλίγου ἦν ἐμπεπρησμένον αὐτῶν, ἀλλ' ἐ μία ναῦς ἡ Πρωτεσιλάου· ταῦτα

69) καὶ τὰ λύτρα, [scil. προθεὶς, quod est subaudiendum] ἃ φησι κομίσαι [scil. τὸν Πρίαμον] *et postquam exposuisset de pretio redimendi Hectoris, quod Homerus ait Priamum ad Achillem attulisse.*

70) ταύτην] f. αὖθις, aut τὴν αὐτὴν.

τὰ δὲ πολλάκις ἀπέπλευσαν εἰς τὴν Χερρόνησον, τῶν αἰχμαλώτων πολλὰ καταλιπόντες, καὶ τῶν ἄλλων κτημάτων οὐκ ὀλίγα. ἅμα δὲ τῇ ἡμέρᾳ φανερᾷ γενομένῃ τὸ πρᾶγματος, ὁ μὲν Ἕκτωρ ἠγανάκτει, καὶ βαρέως ἔφερε, καὶ τὸν Ἀλέξανδρον ἐλοιδόρει· τὰς γὰρ πολεμίους αὐτὸν ἐκ τῶν χειρῶν ἀφεῖναι· τὰς δὲ σκηνὰς ἐνέπρησαν οἱ Τρῶες, καὶ διήρπαζον τὰ καταλειφθέντα. τοῖς δὲ Ἀχαιοῖς ἐν τῷ ἀσφαλεῖ βεβλευμένοις· ἐ γὰρ εἶχον οἱ περὶ τὸν Ἕκτορα ναυτικὸν ἔταιμον, ὥστε διαβαίνειν ἐπ' αὐτούς· ἐδοκει μὲν ἀπιέναι πᾶσι, πολλὴ πλήθυς ἀπολωλότες, καὶ τῶν ἀρίστων ἀνδρῶν. κίνδυνος δὲ ἦν, μὴ ναῦς ποιησάμενοι [71]), παραχρῆμα ἐπιπλεύσωσιν ἐπὶ τὴν Ἑλλάδα. διὰ τοῦτο ἦν ἀναγκαῖον μένειν [72]) ὥσπερ καταρχὰς λῃσεύοντας, εἴ πως τῷ Πάριδι κάμνοντι διαλλάξειαν αὐτούς, καὶ πρὸς Φιλίαν πράξαντες ἀπέλθοιεν [73]). οὓς δὲ ἔκρινον ταῦτα, καὶ ἐκείνην μένοντες, κἀνταῦθα [74]) τοῖς Τρωσὶν ἐπῆλθον, ἐκ μὲν Λιθιοπίας Μέμνων, οἱ δὲ Ἀμαζόνες ἐκ τοῦ Πόντου, βοηθοὶ, καὶ ἄλλο πλῆθος ἐπικούρων, οἳ εὐτυχοῦντας ἐπυνθάνοντο τὸν Πρίαμον καὶ τὸν Ἕκτορα, καὶ τοὺς Ἀχαιοὺς ὅσον ἔπω διεφθαρμένους πάντας· οἱ μέν τινες κατ' εὔνοιαν, οἱ δὲ καὶ φόβῳ τῆς δυνάμεως· ἐ γὰρ τοῖς ἡττημένοις, οὐδὲ τοῖς κακῶς πράττουσιν, ἅμα τοῖς νικῶσι καὶ τοῖς περιγενομένοις

71) post ποιησάμενοι excidisse videtur οἱ τρῶες, aut certe subaudiendum est, quod tamen durius.

72) μένειν αὐτοὺς ἦν est in regio, quo non valde est opus.

ζώων καὶ ὀργάνων, τοῦτο μὲν θηρίων, τοῦτο δὲ ὀρνίθων, τοῦτο δὲ αὐλῶν τε καὶ συρίγγων· καναχάς τε, καὶ βόμβους, καὶ κτύπον, καὶ δοῦπον, καὶ ἄραβον, πρῶτος ἐξευρὼν, καὶ ὀνομάσας ποταμούς τε μορμύροντας, καὶ βέλη κλάζοντα, καὶ βοῶντα κύματα, καὶ χαλεπαίνοντας ἀνέμους, καὶ ἄλλα τοιαῦτα δεινὰ καὶ ἄτοπα τῷ ὄντι θαύματα, πολλὴν ἐμβάλλοντα τῇ γνώμῃ ταραχὴν καὶ θόρυβον. ὥστε οὐκ ἦν αὐτῷ ἀπορία φανερῶν[97]) ὀνομάτων καὶ ἡδέων, ἔτι δὲ λείων καὶ τραχέων, καὶ μυρίας ἄλλας ἐχόντων διαφορὰς, ἔν τε τοῖς ἤχοις καὶ τοῖς διανοήμασιν· ὑφ' ἧς ἐποποιίας δυνατὸς ἦν, ὁποῖον ἐβούλετο, ἐμποιῆσαι τῇ ψυχῇ πάθος. τὸ δὲ ἡμέτερον αὖ γένος, τὸ χειρωνακτικὸν καὶ δημιουργικὸν, οὐδαμῆ ἐφικνεῖται τῆς τοιαύτης ἐλευθερίας· ἀλλὰ πρώτης μὲν ὕλης προσδεόμεθα, ἀσφαλοῦς μὲν, ὥστε διαμεῖναι, πολὺν δὲ ἐχούσης κάματον, πορισθῆναί τε οὐ ῥᾳδίας· ἔτι δὲ οὐκ ὀλίγων συνεργῶν. πρὸς δὲ αὖ τούτοις ἓν σχῆμα ἑκάστης εἰκόνος ἀνάγκη εἰργάσθαι· καὶ τοῦτο ἀκίνητον καὶ μένον, ὥστε τὴν πᾶσαν ἐν αὐτῷ τοῦ θεοῦ ξυλλαβεῖν φύσιν καὶ δύναμιν[98]). τοῖς δὲ ποιηταῖς πολλάς τινας μορφὰς καὶ παντοδαπὰ εἴδη[99]) περιλαβεῖν τῇ ποιήσει ῥᾴδιον, κινήσεις τε καὶ ἡσυχίας προστιθέντας αὐτοῖς, ὅπως ἂν ἑκάστοτε πρέπειν ἡγῶνται, καὶ ἔργα καὶ λόγους, καὶ προσέτι, οἶμαι, τὸ τῆς ἀπάτης καὶ τὸ τοῦ χρόνου[100]). μιᾷ γὰρ ἐπινοίᾳ

97) Φανερῶν suspectum; debet esse vocabulum significans id, quod suaui, iucundo sit contrarium. opponitur enim τῷ ἡδεῖ; num Φοβερῶν *horribilium?*

98) post δύναμιν videtur ἀδύνατον deesse.

99) παντοδαπὰ εἴδη] sic recte Casaubonus. Anglus, qui nescio an Casaubono sublegerit, minus placet, corrigens παντοδαπὰ δὲ εἴδη. Ven. et Mor. dant παντοδαπάς· ἐπειδὴ.

100) τὸ τῆς ἀπάτης et τὸ τοῦ χρόνου quid sit, quod poetae suae poesi adiungant, haud intelligo.

νοίᾳ [1]) καὶ ὁρμῇ τῆς ψυχῆς ἀναχθεὶς ὁ ποιητὴς, πολύ τι πλῆθος [2]) ἐπήρυσεν· ὥσπερ ἐκ πηγῆς ὕδατος ὑπερβλύσαντος, πρὶν ἐπιλιπεῖν αὐτὸν καὶ διαῤῥυῆναι τὸ φάντασμα καὶ τὴν ἐπίνοιαν, ἣν ἔλαβε. τὸ δέ γε ἡμέτερον τῆς τέχνης ἐπίπονον καὶ βραδὺ, μόλις καὶ ὀλίγον [3]) προβαῖνον, ἅτε οἶμαι πετρώδει καὶ τερεᾷ κάμνον [4]) ὕλῃ· τὸ δὲ πάντων χαλεπώτατον, ἀνάγκη παραμένειν τῷ δημιουργῷ τὴν εἰκόνα ἐν τῇ ψυχῇ τὴν αὐτὴν αἰεὶ, μέχρις ἂν ἐκτελέσῃ τὸ ἔργον, πολλάκις καὶ πολλοῖς ἔτεσι. καὶ δὴ τὸ λεγόμενον, ὡς ἔστιν ἀκοῆς πιστότερα ὄμματα, ἀληθὲς ἴσως [5]): πολύ γε μὴν δυσπιστότερα [6]) καὶ πλείονος δεόμενα ἐνεργείας [7]). ἡ μὲν γὰρ ὄψις αὐτοῖς [8]) ὁρωμένοις ξυμβάλλει, τὴν δὲ ἀκοὴν οὐκ ἀδύνατον ἀναπτερῶσαι καὶ παραλογίσασθαι, ῥήματα εἰσπέμποντα γεγοητευμένα μέτροις καὶ ἤχοις. καὶ μὴν τά γε ἡμέτερα τῆς τέχνης [9]), ἀναγκαῖα μέτρα, πλη-

1) ἐπινοίᾳ] Anglus vult ἐπιπνοίᾳ.

2) olim conieceram πλῆθος ἐπῶν ἐπήρυσεν. neque multum abludit Anglus, quem postea inspexi, πλῆθος ἐπέων ἤρυσεν corrigens.

3) f. μόλις καὶ κατ' ὀλίγον πρ. quod iam Anglus occupauit.

4) f. ἐγκάμνον, vel συγκάμνον.

5) f. ἀληθὲς μὲν ἴσως.

6) δυσπιστότερα] oculi hic dicuntur primum πιστότεροι τῆς ἀκοῆς, tum rursus δυσπιστότεροι, quae sibi videntur haud constare. sed bene constant. primo loco dicuntur oculi fideliores auribus, quia certius eorum testimonio, quam harum, fidi potest, sed rursus difficilius oculi, quam aures, credunt; de quo tamen dubito.

7) malim ἐναργείας, perspicuitatis, et luminis velut irradiantis. Vulgatae tamen patronum se fert cl. Koehlerus.

8) malim. αὐτοῖς τοῖς ὁρωμένοις. in ipsa incurrit ea, quae se conspectui offerunt.

9) τά γε ἡμέτερα τῆς τέχνης] scil. μέτρα. dubito, praestetne hoc, an, quod olim conieci, τά γε τῆς ἡμετέρας τέχνης.

πλήθους τε πέρι, καὶ μεγέθους· τοῖς δὲ ποιηταῖς ἔξεστι καὶ ταῦτα ἐφ' ὁποσονοῦν αὐξῆσαι. τοιγαροῦν Ὁμήρῳ μὲν ῥᾴδιον ἐγένετο[10]) εἰπεῖν τὸ μέγεθος τῆς ἔριδος, ὅτι

Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.

ἐμοὶ δὲ ἀγαπητὸν δήπουθεν, πληρῶσαι τὴν ὑπὸ Ἠλείων ἢ Ἀθηναίων[11]) ἀποδειχθέντα τόπον. σὺ μὲν οὖν φήσεις[12]), ὦ σοφώτατε τῶν ποιητῶν Ὅμηρε, πολὺ τῇ δυνάμει τῆς ποιήσεως καὶ τῷ χρόνῳ προέχων· σχεδὸν γὰρ πρῶτος ἐπέδειξας τοῖς Ἕλλησι τῶν τε ἄλλων ἁπάντων θεῶν, καὶ δὴ τοῦ μεγίστου θεῶν, πολλὰς καὶ καλὰς εἰκόνας, τὰς μέν τινας ἡμέρους, τὰς δὲ φοβερὰς καὶ δεινάς. ὁ δὲ ἡμέτερος, εἰρηνικὸς καὶ πανταχοῦ πρᾶος· οἷος ἀστασιάστου καὶ ὁμονοούσης τῆς Ἑλλάδος ἐπίσκοπος· ὃν ἐγὼ μετὰ τῆς ἐμαυτοῦ τέχνης καὶ τῆς Ἠλείων πόλεως σοφῆς καὶ ἀγαθῆς βουλευσάμενος, ἱδρυσάμην, ἥμερον καὶ σεμνὸν ἐν ἀλύπῳ σχήματι, καὶ βίου καὶ ζωῆς, καὶ ξυμπάντων δοτῆρα τῶν ἀγαθῶν, κοινὸν ἀνθρώπων καὶ πατέρα, καὶ σωτῆρα καὶ φύλακα, ὡς δυνατὸν ἦν θνητῷ διανοηθέντι, μιμήσασθαι τὴν θείαν καὶ ἀμήχανον ψυχήν. σκόπει δὲ, εἰ μὴ πάσαις ταῖς ἐπωνυμίαις, ταῖς τοῦ θεοῦ πρέπουσαν εὑρήσεις τὴν εἰκόνα; Ζεὺς γὰρ μόνος θεῶν πατὴρ καὶ βασιλεὺς εἷς ὀνομάζεται, πολιεύς τε[13]) καὶ φίλιος

καὶ

10) v. Luciani Contemplantes c. 4. p. 495, 8. ed. Wetsten.

11) de Phidiae Minerua in arce Athenis collocata, quis est, qui ignoret?

12) f. σὺ μὲν οὖν νικᾷν φήσεις. *aies tu quidem vincere*, ideo quod nobis et arte poetica, et vetustate temporis, praestes, aut alias participium προέχων cum infinitiuo προέχειν est mutandum.

13) post πολιεύς τε videtur ὁμόγνιος excidisse. id quod e p. 413. 6. colligitur. pari modo verosimile fit, versum 1. p. 413. e versu 11. sqq. ita esse integrandum: καὶ φύξιος, καὶ ξένιος, καὶ κτήσιος, καὶ ἐπικάρπιος.

καὶ ἑταιρεῖος, πρὸς δὲ αὐτοῖς, ἱκέσιός τε καὶ ξένιος, καὶ ἐπικάρπιος, καὶ μυρίας ἄλλας ἐπικλήσεις [14]) ἔχων, πάσας ἀγαθάς. Βασιλεὺς μὲν κατὰ τὴν ἀρχὴν καὶ δύναμιν ὠνομασμένος· πατὴρ δὲ, οἶμαι, διά τε κηδεμονίαν, καὶ τὸ πρᾶον· πολιεὺς δὲ, κατὰ τὸν νόμον [15]) καὶ τὸ κοινὸν ὄφελος· ὁμόγνιος δὲ, διὰ τὴν τῶ γένους κοινωνίαν θεοῖς καὶ ἀνθρώποις· φίλιος δὲ καὶ ἑταιρεῖος, ὅτι πάντας ἀνθρώπους ξυνάγει καὶ βέλεται φίλους εἶναι ἀλλήλοις, ἐχθρὸν δὲ ἡ πολέμιον, ἀδένα ἀδενός· ἱκέσιος δὲ, ὡς ἂν ἐπήκοός τε καὶ ἵλεως [16]) τοῖς δεομένοις· φύξιος δὲ, διὰ τὴν τῶν κακῶν ἀποφυξιν· ξένιος δὲ, ὅτι δεῖ μηδὲ τῶν ξένων ἀμελεῖν, μηδὲ ἀλλότριον ἡγεῖσθαι ἀνθρώπων μηδένα· κτήσιος δὲ καὶ ἐπικάρπιος, ἅτε τῶν καρπῶν αἴτιος, καὶ δοτὴρ πλούτου καὶ δυνάμεως· ὅσα δὲ ἐπιδεῖξαι ταῦτα μὴ φθεγγόμενον [17]). ἆρα ἐχ ἱκανῶς ἔχει κατὰ τὴν τέχνην; τὴν μὲν γὰρ ἀρχὴν καὶ τὸν βασιλέα βέλεται δηλῶν, τὸ ἰσχυρὸν τῶ εἴδους, καὶ τὸ μεγαλοπρεπές· τὸν δὲ πατέρα καὶ

14) post ἐπικλήσεις deesse videtur φαίνεται, aut pro ἔχων leg. est ἔχει.

15) recte Veneta τὸν νόμον. sed deinde quoque leg. τὸ κοινὸν, et nescio, an post πολιεὺς δὲ etiam addendum sit καὶ νόμιος. Mor. dat τὸ νόμον et τὸν κοινὸν.

16) verba καὶ ἵλεως a texto Venetae absunt, sed varietas lectionis ea refert.

17) ὅσα δὲ — φθεγγόμενον] Apparet verba corrupta et mutila esse. neque multum iuuat, in Veneta post δὲ adhuc ἦν legi. sententia satis est perspicua, sed verba ipsa haud reperio. sententia haec est: ὅτα δὲ ἦν ἄγαλμα ἐπιδεῖξαι πάντα ταῦτα δηλῶν, μὴ φθεγγόμενον, ἆρα ἐχ ἱκανῶς ἔχει κατὰ τὴν τέχνην; *cuius itaque fuit ostendere* (h. e. qui artifex potuit repraesentare, exhibere) *simulacrum, quod cum non loquatur, tamen ista omnia vultu atque habitu ipso significet; ille artifex*, (aut *illud simulacrum*) *necesse est, vt sic satis fit ad artis rationem probabilis* (aut *probabile.*)

καὶ τὴν κηδεμονίαν, τὸ πρᾷον καὶ προσφιλές· τὸν δὲ πολιέα καὶ νόμιμον [18]), ἥ τε σεμνότης καὶ τὸ αὐςηρόν· τὴν δὲ ἀνθρώπων καὶ θεῶν ξυγγένειαν, αὐτό πȣ τὸ τῆς μορφῆς ὅμοιον, ἐν εἴδει συμβόλȣ· τὸν δὲ φίλιον καὶ ἱκέσιον, καὶ ξένιον καὶ φύξιον, καὶ πάντα τὰ τοιαῦτα ἁπλῶς φιλανθρωπία καὶ τὸ πρᾷον καὶ τὸ χρηςὸν ἐμφαινόμενον. προσομοιοῖ δὲ τὸν κτήσιον καὶ τὸν ἐπικάρπιον ἥ τε ἁπλότης καὶ ἡ μεγαλοφροσύνη, δηλȣμένη διὰ τῆς μορφῆς· ἀτεχνῶς γὰρ διδόντι καὶ χαριζομένῳ μάλιςα προσέοικε τἀγαθά. ταῦτα μὲν ȣ̃ν, ὡς οἷόν τε ἦν, ἐμιμησάμην, ἅτε ȣ̓κ ἔχων ὀνομάσαι· συνεχῶς δὲ ἀςράπτοντα [19]) ἐπὶ πολέμῳ καὶ φθορᾷ πλήθȣς, ἢ ὄμβρων ὑπερβολὴν, χαλάζης [20]) ἢ χιόνος· ἢ τανύοντα κυανῆν ἶριν, καὶ [21]) τȣ̃ πολέτȣ ξύμβολον, ἢ ἀςέρα πέμποντα ξυνεχεῖς σπινθῆρας· ἢ ἐπιβάλλοντα δεινὸν τέρας ναύταις, ἢ ςρατιώτῃ ἐπιπέμποντα ἔριν ἀργαλέαν [22])· Ἕλλησι καὶ βαρβάροις ἔρωτα ἐμβάλλει πολέμȣ καὶ μάχης ἄπαυςον, κάμνȣσιν ἀνθρώποις καὶ ἀπειρηκόσιν· ȣ̓δέ γε ἱςάντα ἐπὶ πλάςιγγος ἀνθρώπων ἢ ἡμιθέων κῆρας, ἢ ςρατοπέδων

18) νόμιμον] imo vero νόμιον. *praesidem, tutorem, vindicem legum.*

19) ἀςράπτοντα etc.] hi omnes accusatiui redeunt ad verbum ȣ̓κ ἦν διὰ τῆς τέχνης μιμήσασθαι p. 415, v. 1.

20) f. ἢ ὄμβρων ὑπερβολὴν ἐφιέντα, ἢ χαλάζης — aut *immanes immittentem imbres grandinesue.*

21) καὶ ex hoc versu in inferiorem deducam: ἶριν, τȣ̃ πολέμȣ σύμβολον, ἢ ἀςέρα πέμποντα καὶ συνεχεῖς σπινθῆρας. aut extendentem cyaneam irin, belli nunciam et indicem, aut stellam immittentem et continentes scintillas (figura est ἓν διὰ δυοῖν dicta) h. e. stellam iugiter scintillas spargentem.

22) post ἀργαλέαν desideratur ἢ. quae *Eris*, vel *Discordia.*

δων ὅλων [23]), αὐτομάτῳ ῥοπῇ κρινομένας, ἐκ ἣν διὰ τῆς τέχνης μιμεῖσθαι· ὃ μὴν οὐδὲ, παρὸν, ἠθέλησεν ἄν ποτε. βροντᾶς γὰρ εἴδωλον ἄφθογγον, ἢ ἀστραπῆς, ἢ κεραυνὸς εἴκασμα ἀλαμπὲς, ἐκ τῶν τῇδε ἐπιγείων μεταλλευμάτων, ποῖον ἄν τι καὶ γένοιτο; ἔτι δὲ γῆν σειομένην καὶ κινέμενον Ὄλυμπον ὑπο νεύματι βραχεῖ τῶν ὀφρύων, ἢ τινας νέφους περὶ τῇ κεφαλῇ σέφανον· Ὁμήρῳ μὲν εἰπεῖν εὐμαρὲς, καὶ πολλὴ πρὸς τὸ τοιαῦτα ἅπαντα ἐλευθερία. τῇ δέ γε ἡμετέρᾳ τέχνῃ παντελῶς ἄπορον, ἐγγύθεν ἐχέσῃ καὶ σαφῆ τὸν ἔλεγχον τῆς ὄψεως. εἰ δ' αὖ τὸ τῆς ὕλης ἀσημότερον ἡγεῖταί τις, ἢ κατὰ τὴν ἀξίαν τοῦ θεοῦ, τοῦτο μὲν ἀληθές τε καὶ ὀρθόν· ἀλλ' ὅτε τοὺς δόντας, οὐδὲ τὸν ἑλόμενον καὶ δοκιμάσαντα, ἐν δίκῃ μέμφοιτ' ἄν· ὃ γὰρ ἦν ἑτέρα φύσις ἀμείνων, οὐδὲ λαμπροτέρα πρὸς ὄψιν, ἣν δυνατὸν ἐς χεῖρας ἀνθρώπων ἀφικέσθαι καὶ μεταλαβεῖν δημιουργίας. ἀέρα γὰρ ἢ πῦρ ἐργάσασθαι [24]), καὶ τὴν ἄφθονον πηγὴν

23) ἀνθρώπων ἢ [vel καὶ] ἡμιθέων κῆρας, ἢ σρατοπέδων ὅλων [scil. κῆρας, aut si mauis τύχας addi, adde]

24) Non male hoc de loco meritus est Anglus, cuius inventa quaedam vertentes in rem nostram, nostraque visa addentes, locum sic constituemus: ἀέρα γὰρ ἢ πῦρ [vel ἀέρα τε γὰρ καὶ πῦρ] ἐργάσασθαι *aerem enim et ignem efficere, iugiterque manantem aquarum fontem, per mortalia quaedam instrumenta, item illud clementium, quod in omnibus illis pro solido quodam fundamento est: non auri dico, neque saxi, sed vniuersam tenacem atque grauem materiam* ἐσίαν (vt recte obseruauit Anglus, non ἔσαν) *et ita quidem, vt, qui ista omnia faciat, cum seorsim vnumquodque dispescat, tum rursus in vnum commiscens veluti ciuium genus quodque animantiumque vegetantiumque*: ὃ δὲ θεοῖς πᾶσι δυνατὸν *ne diis quidem omnibus licet*, ἀλλ' ἢ μόνῳ τούτῳ σχεδὸν, ὃν πάνυ καλῶς — *sed illi soli fere datum est, quem alius quidam poeta* [praeter poetam sic excellenter dictum, Homerum; videtur ille Pindarus esse] *sic perquam praeclare alloquutus est.*

πηγὴν ὕδατος, ἔν τισι θνητοῖς ὀργάνοις; ὅσον τε ἐν ἅπασι τούτοις στερεὸν ἔργμα; λέγω δὲ οὐ χρυσοῦ καὶ λίθου, ταῦτα μὲν γὰρ μικρὰ καὶ φαῦλα, ἀλλὰ τὴν πᾶσαν ἰσχυρὰν καὶ βαρεῖαν οὐσίαν, ἰδίᾳ τε ἕκαστον διακρίνοντα, καὶ ἐμπλέκοντα εἰς ταυτὸ γένος ζώων καὶ φυτῶν· οὐδὲ θεοῖς πᾶσι δυνατὸν, ἢ μόνῳ τούτῳ σχεδὸν, ὃν πάνυ καλῶς ποιητὴς προσεῖπεν ἕτερος·

Δωδωναῖε μεγασθενὲς,
Ἀριστοτέχνα πάτερ.

οὗτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιουργὸς, χορηγὸν λαβὼν τῆς αὐτοῦ τέχνης, οὐ τὴν Ἠλείων πόλιν, ἀλλὰ τὴν πᾶσαν τοῦ παντὸς ὕλην. Φειδίαν δὲ, ἢ Πολύκλειτον, οὐκ ἂν εἰκότως [25]) ἀπαιτοῖτε πλέον οὐδέν· ἀλλὰ καὶ ταῦτα μείζω καὶ σεμνότερα τῆς ἡμετέρας χειρωναξίας. οὐδὲ γὰρ τὸν Ἥφαιστον Ὅμηρος ἐν τοῖς ἄλλοις πεποίηκεν ἐπιδεικνύμενον τὴν ἐμπειρίαν, ἀλλὰ τεχνίτην μὲν θεὸν εὐπόρησεν ἐπὶ τὸ τῆς ἀσπίδος ἔργον, ὕλην δὲ ἑτέραν οὐκ ἐφίκετο εὑρεῖν. φησὶ γὰρ οὕτω·

Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
Καὶ χρυσὸν τιμήεντα καὶ ἄργυρον.

ἀνθρώπων μὲν οὖν ἔγωγε οὐδενὶ παραχωρήσαιμι, κρείττονα ἐμοῦ ποτὲ γενέσθαι περὶ τὴν τέχνην, αὐτῷ δὲ τῷ Διὶ, δημιουργοῦντι τὸν ἅπαντα κόσμον [25b]), οὐ χρὴ ξυμβάλλειν οὐδένα θνητόν. ταῦτα οὖν εἰπόντα καὶ ἀπολογησάμενον τὸν Φειδίαν εἰκότως ἐμοὶ δοκοῦσιν οἱ Ἕλληνες στεφανῶσαι ἄν. ἴσως δὲ τοὺς πολλοὺς λέληθεν

est. ἔργμα est res omnis, aliam veluti vinculis quibusdam continens atque constringens custodiensque, ne dilabatur neu pereat. Ven. et Mor. dant ἆρά τε ἢ πῦρ — οὖσαν — οὐ δὴ θεοῖς — μόνον τοῦτο σχεδὸν, ὃ πάνυ. et margo Mor. ἕρμα.

25) εἰκότως] sic recte Veneta. εἰκότων Morell.

25 b) Ven. et margo Mor. dant χρόνον.

θεν ὁ λόγος, ὑπὲρ ὧν γέγονε. καὶ μάλα [26]), ἐμοὶ δοκεῖ [27]), φιλοσόφοις γε ἁρμόζον, ἢ πλήθει, ἀκοῦσαι. περί τε ἀγαλμάτων ἱδρύσεως, ὅπως ἄμεινον ἢ χεῖρον διανοοῦνται περὶ τῶν θεῶν· ἔτι δὲ περί τε [28]) πρώτης ἐπινοίας θεῶν, ποία τις καὶ τίνα τρόπον ἐν τοῖς ἀνθρώποις ἐγένετο; πολλὰ δὲ, οἶμαι, καὶ περὶ δυνάμεως ἐῤῥήθη τοῦ Διὸς καὶ τῶν ἐπωνυμιῶν [29]). εἰ δὲ μετ' εὐφημίας τοῦ γε [30]) ἀγάλματος καὶ τῶν ἱδρυσαμένων, πολὺ ἄμεινον. τῷ γὰρ ὄντι τοιοῦτος [31]) ἡμῖν προσορᾶν ἔοικε, πάνυ εὔνους καὶ κηδόμενος, ὥστ' ἔμοιγε μικροῦ φθέγγεσθαι δοκεῖ. τάδε μὲν οὗτος [32]). Ἠλεῖοι δὲ καὶ ἡ ξύμπασα Ἑλλὰς καλῶς καὶ προσηκόντως ἐπιτελεῖ, θυσίας τε θύουσα ἐκ τῶν παρόν-

των

26) malim μᾶλλον. mirum negat esse, orationis suae si plerisque finis obscurus sit. videri enim eam sibi, conuenire philosophis magis, quam plebeculae, vt eam audiant.

27) melius dat Veneta δοκεῖν. *quod mihi quidem videtur.* sed ne sic quidem expedita videntur omnia. melius procederet oratio ad hunc modum: *Videtur*, ait, *fugere vulgares homines, quo haec pertineat disputatio.* καὶ μάλα εἰκότως. *neque id mirum, sed vel maxime consentaneum est.* μᾶλλον, (ἐμοὶ δοκεῖν) φιλοσόφοις γε ἁρμόζον, ἢ πλήθει, ἀκοῦσαι περί τε ἀγ. *cum, mea quidem sententia, philosophis magis, quam plebeculae, conueniat audire disputantem de simulacrorum dedicationibus* — ἁρμόζον est participium simile illis, ἐξὸν, δέον, παρὸν, παρέχον — Ven. et Mor. dant ἁρμόζων, et margo Mor. ἁρμόττων.

28) τε] malim τῆς.

29) lectio marg. Morell. κατὰ τὰς ἐπωνυμίας affertur etiam in var. lect. Venetae.

30) γε] malim τε.

31) τοιοῦτος] scil. *Iupiter.*

32) οὗτος] sic recte Veneta, scil. *Iupiter*: et sic quidem Iupiter, scil. agit, aut patitur. haec est ratio Iouis. haec de eo possunt praedicari. referuntur haec ad ista τοῦ τε ἀγάλματος καὶ τῶν ἱδρυσαμένων. De simulacro hactenus; iam de Eleis, qui id dedicarant. Morell. dat οὕτως.

ἐστὴν ὕδατος, ἔν τισι θνητοῖς ἐργάνοις; ὅσον τε ἐν ἅπασι τούτοις σφρηδὸν ἔργμα; λέγω δὲ ὁ χρυσῦ καὶ λίθου, ταῦτα μὲν γὰρ μικρὰ καὶ φαῦλα, ἀλλὰ τὴν πᾶσαν ἰσχυραν καὶ βαρεῖαν ὑσίαν, ἰδίᾳ τε ἕκαστον διακρίνοντα, καὶ ἐμπλέκοντα εἰς ταυτὸ γένος ζώων καὶ φυτῶν· ὑδὲ θεοῖς πᾶσι δυνατὸν, ἢ μόνῳ τούτῳ σχεδὸν, ὃν πάνυ καλῶς ποιητὴς προσεῖπεν ἕτερος·

Δωδωναῖε μεγασθενές,
Ἀρισοτέχνα πάτερ.

ἕτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιεργὸς, χορηγὸν λαβὼν τῆς αὐτοῦ τέχνης, ὁ τὴν Ἠλείων πόλιν, ἀλλὰ τὴν πᾶσαν τοῦ παντὸς ὕλην. Φειδίαν δὲ, ἢ Πολύκλειτον, ὑκ ἂν εἰκότως [25]) ἀπαιτοῖτε πλέον ὑδὲν ἀλλὰ καὶ ταῦτα μείζω καὶ σεμνότερα τῆς ἡμετέρας χειρωναξίας. ὑδὲ γὰρ τὸν Ἥφαιστον Ὅμηρος ἐν τοῖς ἄλλοις πεποίηκεν ἐπιδεικνύμενον τὴν ἐμπειρίαν, ἀλλὰ τεχνίτην μὲν θεὸν εὑπόρησεν ἐπὶ τὸ τῆς ἀσπίδος ἔργον, ὕλην δὲ ἑτέραν ὑκ ἐφίκετο εὑρεῖν. φησὶ γὰρ ὅτω·

Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
Καὶ χρυσὸν τιμήεντα καὶ ἄργυρον.

εἰνθρώπων μὲν ἔν ἔγωγε ὑδενὶ παραχωρήσαιμι, κρείττονα ἐμοῦ ποτὲ γενέσθαι περὶ τὴν τέχνην, αὐτῷ δὲ τῷ Διὶ, δημιεργοῦντι τὸν ἅπαντα κόσμον [25b]), ὁ χρὴ ξυμβάλλειν ὑδένα θνητόν. ταῦτα ἔν εἰπόντα καὶ ἀπολογησάμενον τὸν Φειδίαν εἰκότως ἐμοὶ δοκοῦσιν οἱ Ἕλληνες σεφανῶσαι ἄν. ἴσως δὲ τὸς πολλὸς λέλη-

θεν

est. ἔργμα est res omnis, aliam veluti vinculis quibusdam continens atque constringens custodiensque, ne dilabatur neu pereat. Ven. et Mor. dant ἀρά τε ἡ πῦρ — ἔσαν — ὁ δὴ θεοῖς — μόσον τᾶτο σχεδὸν, ὁ πάνυ. et margo Mor. ἔρμα.

25) εἰκότως] sic recte Veneta. εἰκότων Morell.

25 b) Ven. et margo Mor. dant χρύσεον.

ἦν ἐ λόγος, ὑπὲρ ὧν γέγονα. καὶ μάλα [26]), ἐμοὶ δοκεῖ [27]), φιλοσόφοις γε ἁρμόζον, ἢ πλήθει, ἀκοῦσαι. περί τε ἀγαλμάτων ἱδρύσεως, ὅπως ἄμεινον ἢ χεῖρον διανοεῖσθαι περὶ τῶν θεῶν· ἔτι δὲ περί τε [28]) πρώτης ἐπινοίας θεῶν, ποῖα τις καὶ τίνα τρόπον ἐν τοῖς ἀνθρώποις ἐγένετο; πολλὰ δὲ, οἶμαι, καὶ περὶ δυνάμεως ἐρρήθη τοῦ Διὸς καὶ τῶν ἐπωνυμιῶν [29]). εἰ δὲ μετ' εὐφημίας τοῦ γε [30]) ἀγάλματος καὶ τῶν ἱδρυσαμένων, πολὺ ἄμεινον. τῷ γὰρ ὄντι τοιοῦτος [31]) ἡμῖν προσορᾶν ἔοικε, πάνυ εὐνοῦς καὶ ἡδόμενος, ὥς ἐμοιγε μηδὲν φθέγγεσθαι δοκεῖ. τάδε μὲν ἔτος [32]). Ἠλεῖοι δὲ καὶ ἡ ξύμπασα Ἑλλὰς καλῶς καὶ προσηκόντως ἐπιτελεῖ, θυσίας τε θύουσα ἐκ τῶν παρόντων

26) malim μᾶλλον. mirum negat esse, orationis suae si plerisque finis obscurus sit. videri enim eam sibi, convenire philosophis magis, quam plebeculae, vt eam audiant.

27) melius dat Veneta δοκεῖν. *quod mihi quidem videtur.* sed ne sic quidem expedita videntur omnia. melius procederet oratio ad hunc modum: *Videtur*, ait, *fugere vulgares homines, quo haec pertineat disputatio.* καὶ μάλα εἰκότως. *neque id mirum, sed vel maxime consentaneum est.* μᾶλλον, (ἐμοὶ δοκεῖν) φιλοσόφοις γε ἁρμόζον, ἢ πλήθει, ἀκοῦσαι περί τε ἀγ. *cum, mea quidem sententia, philosophis magis, quam plebeculae, conuenire audire disputantem de simulacrorum dedicationibus* — ἁρμόζον est participium simile illis, ἐξὸν, δέον, παρὸν, παρέχον — Ven. et Mor. dant ἁρμόζων, et margo Mor. ἁρμόττων.

28) τε] malim τῆς.

29) lectio marg. Morell. κατὰ τὰς ἐπωνυμίας affertur etiam in var. lect. Venetae.

30) γε] malim τε.

31) τοιοῦτος] scil. *Iupiter.*

32) ἔτος] sic recte Veneta, scil. *Iupiter*: et sic quidem Iupiter, scil. agit, aut patitur. haec est ratio Iouis. haec de eo possunt praedicari. referuntur haec ad ista τοῦ τε ἀγάλματος καὶ τῶν ἱδρυσαμένων. De simulacro hactenus; iam de Eleis, qui id dedicarant. Morell. dat ἔτως.

των μεγαλοπρεπῶς, καὶ δὴ τὸν 33) εὐπλεέστατον ἀγῶνα τιθεῖσα ἀπ' ἀρχῆς, εὐεξίας, καὶ ῥώμης καὶ τάχους· ὅσα τε ἑορτῶν καὶ μυστηρίων ἔθη λαβοῦσα διεφυλάττες. ἀλλὰ ἐκεῖνο 34) φροντίζων σκοπῶ, ὅτι

Αὐτόν σ' ἐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας
Λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, καὶ ἀεικέα ἕσσαι 35).

33) f. καὶ δὴ καὶ τὸν εὐκλ.

34) f. ἐκεῖνό γε φροντίζων σκοπῶ. Verum enim vero cogitanti mihi occurrunt ista homerica αὐτόν σ' ἐκ ἀγαθὴ — vt verear, ne sit, qui haec ipsa disputanti mihi exprobret sordes vestitus et deformitatem vniuersi habitus mei. ἐκεῖνο margo Mor. sed textum et Ven. ἐκεῖνος.

35) Veneta dat: σκοπῶ, ὅτι αὐτήν γε ἐκ ἀγαθὴ — αὐχμεῖν τε κακῶς. καὶ ἀεὶ καὶ * ἀεσ.

ΕΝ ΑΘΗΝΑΙΣ, ΠΕΡΙ ΦΥΓΗΣ.

ΛΟΓΟΣ ΙΓ.

Ὅτε Φεύγειν συνέβη με 1) Φιλίας ἕνεκεν λεγομένης ἀνδρὸς ἀ πονηρῦ, τῶν δὲ τότε εὐδαιμόνων τε καὶ ἀρχόντων ἐγγύτατα ὄντος· διεὶ ταῦτα δὲ καὶ ἀποθανόντος, δι' ἃ πολλοῖς καὶ σχεδὸν πᾶσιν ἐδόκει μακάριος, διὰ τὴν ἐκείνων οἰκειότητα καὶ ξυγγένειαν, ταύτης ἐνεχθείσης ἐπ' ἐμὲ τῆς αἰτίας, ὡς δὴ τἀνδρὶ φίλον ὄντα καὶ ξύμβουλον· ἔθος γάρ τι τῦτό ἐσι τῶν τυραννων, ὥσπερ ἐν Σκύθαις τοῖς βασιλεῦσι συνθάπτειν οἰνοχόους, καὶ μαγείρους καὶ παλλακάς· ὕτω τοῖς ὑπ' αὐτῶν ἀποθνήσκουσιν ἑταίρους προσιθέναι πλείους, ἀπ' εὐδαιμονίας αἰτίας, τότε δ' ἂν, ἐπεί με Φεύγειν ἔδοξεν 2), ἐσκόπουν, πότερον ὄντως χαλεπὸν

1) ὅτε Φεύγειν συνέβη με] apodosis est in verbis n. 2. τότε δ' ἂν ἐπεί με Φεύγειν ἔδοξε.

λεπόν τι καὶ δυςυχὲς εἴη τὸ τῆς φυγῆς, κατὰ τὴν τῶν πολλῶν δόξαν· ἢ πάντα τὰ τοιαῦτα ἕτερον πέπονθεν, ὁποῖον λεγόμενόν ἐςι[3]) περὶ τὴν μαντείαν τὴν τῶν γυναικῶν ἐν τοῖς ἱεροῖς[4]). ἐκεῖναι γὰρ βῶλόν[5]) τινα ἢ λίθον ἐπαίρουσαι, σκοποῦσιν ἐν τούτῳ περὶ τοῦ πράγματος, οὗ πυνθάνονται. καὶ δὴ ταῖς μὲν αὐτῶν φασι γίγνεσθαι κοῦφον, ταῖς δὲ βαρὺν, ὡς μηδὲ κινῆσαι δύνασθαι ῥᾳδίως. μὴ ἄρα καὶ τὸ φεύγειν, καὶ τὸ πένεσθαι, καὶ γῆρας δὴ καὶ νόσος καὶ πάντα τὰ τοιαῦτα[6]), τοῖς μὲν βαρέα φανεῖται καὶ χαλεπὰ, τοῖς δ' ἐλαφρά τε καὶ εὔκολα; ἐκεῖ μὲν ἴσως, κατὰ τὴν τοῦ πράγματος διαφορὰν, ἐλαφρύνοντος[7]) τοῦ δαιμονίου τὸ βάρος· ἐνταῦθα δὲ, οἶμαι, πρὸς τὴν τοῦ χρωμένου δύναμιν καὶ γνώμην· καὶ δὴ ἀνεμιμνησκόμην Ὀδυσσέος τε παρ' Ὁμήρῳ[8]), κατοδυρομένου πολλάκις αὐτὸν, ἀνδρὸς Ἥρωος οὐδαμῶς τε ἀδυνάτου καρτερεῖν πολλά· ὅμως ἀνάξια λέγοντος καὶ θρηνοῦντος ἑκάςοτε παρὰ τῇ θαλάττῃ, διὰ πόθον τῆς πατρίδος. τέλος δὲ, ὥς φησιν

 ὁ ποιη-

3) variis modis poteſt hic locus ſanari, aut legendo ἕτερόν τι πέπονθεν, — aut οὐχ ἕτερόν τι πέπονθεν, ἢ τὸ λεγ. aut denique ἕτερον πέπονθεν ὅμοιον τῷ λεγομένῳ περὶ τὴν.

4) f. ἐν τοῖς Ἀπόλλωνος ἱεροῖς. non enim aliis in templis, quam Apollinis, id fiebat.

5) βῶλον] coniecturam hanc meam confirmatam vidi ab Henr. Valeſio p. 53. βωμὸν Ven. et Mor.

6) πάντα τὰ τοιαῦτα] ſic Veneta, Morell. omittit τὰ.

7) ἐλαφρύνοντος] ſic recte Veneta. *ideo quod deus, ibi quidem*, in exemplo mulierum per ſaxa et glebas ſortes tentantium, *rem ſublatam, pro re nata alleuaret* magis minusue, *hic autem*, in cauſa hominum aduerſis oppreſſorum, calamitatem magis minusue *alleuaret, pro cuiusque ſiniſtra fortuna vtentis mente atque facultate.* Morell. dat ἠλαφρύνετο. neſcio tamen, an poſt ἐλαφρύνοντος τοῦ δαιμονίου deſint verba ἢ βαρύνοντος. *allevet aut gravet.*

8) παρ' ὁμήρῳ] παρ' ὁμήρου Ven. et Mor.

ὁ ποιητὴς, ἐπεθύμει καπνὸν ἰδεῖν ἀπὸ τῆς αὐτῆ γῆς ἀνιέντα [9]), εἰ καὶ δέοι παραχρῆμα ἀποθνήσκειν. καὶ ὅτε τὰ πρότερον ἔργα παρεμυθεῖτο αὐτὸν, ὅτε θεὸς καλὴ καὶ ἀγαθὴ, περὶ πολλῦ ποιεμένη, ὥϛε ὑποσχέσθαι ποήσειν αὐτὸν ἀθάνατον· ἀλλὰ πάντων τούτων κατίσχυεν ὁ τῆς πατρίδος πόθος τε καὶ ἔρως. πάλιν δ' αὖ παρ' ἑτέρω ποιητῆ τῶν ὕϛερον [10]), τὴν Ἠλέκτραν πυνθανομένην ὑπὲρ τῦ ἀδελφῦ λυπηρῶς, καὶ ἐλεῦσαν αὐτὸν τῆς φυγῆς, ὅτω πως ἐρωτῶσαν·

Πᾶ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχει;

καὶ τὸν ἐχ ἧττον ἐλεεινῶς ἀποκρινάμενον·

Οὐχ ἵνα νομίζων φθείρεται πόλεως τόπον.

τὴν δὲ αὖθις ἐρωτῶσαν·

Ἦπα σπανίζει τῦ καθ' ἡμέραν βίε;

κἀκεῖνον ὅτω λέγοντα·

Ἔχει μέν, ἀσθενῆ δὲ, ἅτε φεύγων ἀνήρ.

πρὸς δὴ τούτοις, μυρία δὴ τολμηθέντα τολμήματα, καὶ πολέμως πολεμηθέντας ὑπὸ φυγάδων, ὅπως οἴκαδε κατέλθοιεν, πρὸς δὲ [11]) τὲς δήμως καὶ τὲς τυράννως τὲς ἐξελάσαντας, παρὰ δύναμιν [12]), μέγα νομίζοντας, εἰ καὶ δέοι, τελευτᾶν μαχομένως ἐν

9) posſit ἀνιέντα, ſi quis contendat pertinacius, defendi, ſubaudiendo ἑαυτὸν. malim tamen ἀνιόντα, vt planius et vſitatius.

10) poſt ὕϛερον videtur ἑώρων vel tale quid deeſſe.

11) δὲ] lege τε. *bella geſta aduerſus populosque tyrannosque, a quibus exterminati eſſent.*

12) παρὰ δύναμιν] ſi nihil hic deeſt, referenda haec ſunt ad τολμηθέντα et πολεμηθέντας. ſed tum νομιζόντων item ſit legendum, ob praemiſſum Φυγάδων. ſuſpicor tamen pauca quaedam excidiſſe poſt ἐξελάσαντας, e. c. ad hunc modum: ὥϛε καὶ πολλὰς αὐτῶν τὰς μεγίϛας ὑποϛῆναι κινδύνως παρὰ δύναμιν, μέγα νομίζοντας, εἰ καὶ δέοι, τελευτᾶν μαχομένως.

ἐν τῇ αὐτῶν γῇ: σύμπαντα ταῦτά με ἠνάγκαζε καὶ ἐξέπληττε, δεινὸν ἡγεῖσθαι καὶ βαρὺ τὸ συμβεβηκός. ἐπεὶ δὲ ἐνεθυμούμην, ὅτι Κροίσῳ, τῷ Λυδῶν βασιλεῖ, συνεβούλευσεν ὁ Ἀπόλλων, συμβάντος τινὸς, φεύγειν ἑκόντα καταλιπόντα τὴν ἀρχὴν, καὶ μηδὲν αἰσχύνεσθαι τούτου ἕνεκεν, εἰ δόξει κακὸς εἶναι τοῖς ἀνθρώποις, οὕτω πως θεσπίσας

Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
Καὶ τότε, Λυδὲ πόδαβρε, πολυψηφίδα παρ' Ἕρμον
Φεύγειν, μηδὲ μένειν
μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

δηλονότι τὴν αἰδὼ νῦν ἀντὶ τῆς αἰσχύνης ὀνομάζων, ὥστε ἔθος ἐστὶ τοῖς ποιηταῖς, καὶ τὸ κακὸν εἶναι, ἀντὶ τῆς δόξης παρὰ τοῖς πολλοῖς [13]. ἐκ δὲ [14]) τούτου ἐνεθυμούμην, ὅτι οὐ πάντως ἡ φυγὴ βλαβερὸν οὐδὲ ἀσύμφορον, οὐδὲ τὸ μένειν ἀγαθὸν καὶ πολλοῦ ἄξιον. οὐ γὰρ ἂν τὸ μὲν [15]) αὐτῶν παρῄνει καὶ συνεβούλευεν ὁ Ἀπόλλων φεύγειν, τὸ δὲ μένειν ἄντικρυς ἀπηγόρευε, καὶ ταῦτα ἀνδρὶ θεσπίζων, ὃς ἦν ἐπιμελέστατος περὶ τὸ θεῖον, καὶ θυσίας τε πλείστας ἔθυε, καὶ μέγιστα ἀναθήματα ἐπεπόμφει, τῶν πώποτε ἀναθέντων εἰς Δελφούς. ταῦτα ἐνθυμουμένῳ μοι ἔδοξε καὶ αὐτὸν εἰς θεοῦ βαδίσαντα, χρήσασθαι συμβούλῳ ἱκανῷ, κατὰ τὸ παλαιὸν ἔθος τῶν Ἑλλήνων. οὐ γὰρ περὶ νόσου μὲν καὶ ἀπαιδίας [16]), εἴ τῳ μὴ γί-

 γνοιντο

13) ἀντὶ τῆς — πολλοῖς] id est ἀντὶ τοῦ κακὸς δοκεῖν τοῖς πολλοῖς.

14) perinde est δὲ serues, an δὴ adsciscas. illo modo erit δὲ repetitio illius δὲ, quod vers. 3. legitur. mihi nil movendum h. l. videtur.

15) τὸ μὲν — τὸ δὲ] τῷ μὲν — τῷ δὲ Morell. et Ven.

16) ἀπαιδίας] quia vocabulum ἀπαιδία etiam poterat pro genere vitae morumque illiberali et feroci haberi, ideo addit, quo significatu hoc loco vocabulum id vsurpet, acceptumque velit, scil. εἴ τῳ παῖδες μὴ γίγνοιντο: ne quis haec verba pro scholio habeat.

γνόιντό παῖδες, καὶ περὶ καρπῶν ἱκανῶς συμβαλεύειν αὐτὸν [17]), περὶ δὲ τοιούτε πράγματος ἧττον δυνήσεσθαι. καὶ δὴ χρωμένω μοι ἀνεῖλεν ἄτοπόν τινα χρησμὸν, καὶ ὃ ῥᾴδιον συμβαλεῖν. ἐκέλευε γάρ με αὐτὸ τοῦτο πράττειν, ἐν ᾧ εἰμὶ, πάσῃ προθυμίᾳ, ὡς καλήν τινα καὶ συμφέρουσαν πρᾶξιν ἕως ἂν, ἔφη, ἐπὶ τὸ ὕσατον ἀπέλθῃς τῆς γῆς. καίτοι χαλεπὸν καὶ κατ' ἀνθρώπους ψεύδεσθαι, μὴ ὅτι κατὰ θεόν [18]). ἐλογισάμην ἔν, ὅτι [19]) ὁ μὲν Ὀδυσσεὺς μετὰ τοσούτους πλάνους ἐκ ὤκνησεν ἐλᾶσθαι πάλιν κώπην φέρων, Τειρεσίᾳ συμβεβλεύσαντος, ἀνδρὸς τεθνηκότος, μέχρις ἂν ἀνθρώποις συμβάλῃ, μηδὲ ἁλοῒ γιγνώσκεσι θάλασσαν· ἐμοὶ δὲ ὁ ποιητέον τοῦτο [20]), τῷ θεῷ κελεύοντος; ἕτω δὴ παρακελευσάμενος ἐμαυτῷ, μήτε δεδιέναι, μήτε αἰσχύνεσθαι τὸ πρᾶγμα, σολὴν τε ταπεινὴν ἀναλαβὼν, καὶ τἄλλα κολάσας ἐμαυτὸν, ἠλώμην πανταχῇ. οἱ δὲ ἐντυγχάνοντες ἄνθρωποι ὁρῶντες, οἱ μὲν ἀλήτην, οἱ δὲ πτωχὸν ἐκάλεν, οἱ δέ τινες καὶ φιλόσοφον. ἐντεῦθεν ἐμοὶ συνέβη, κατ' ὀλί-

17) συμβαλεύειν αὐτὸν] scil. ᾠμην, vel ἐνόμιζον, vel tale quid; est enim oratio obliqua.

18) ἀνθρώπους — θεόν] sic recte Veneta et codex regius, unde colligitur, Dionem sic dedisse: καίτοι χαλεπὸν καὶ ἀνθρώπους ψεύδεσθαι, μὴ ὅτι γε θεόν. *atqui durum est turpe est, homines mentiri, nedum vt deus mentiatur.* Inferre vult, cum Apollo, qui deus sit, exsilium tamen vt rem bonam commendarit, fieri non posse, vt exsilium malum quid sit; quandoquidem deus mentiri nequeat. ψεύδεσθαι κατά τινος est falsa de aliquo perhibere, quasi egerit dixeritue, quae ille nunquam egisset dixisseve, quae sententia ab hoc loco est aliena. Morell. dat ἀνθρώπους — θεῷ.

19) ὅτι redundat h. l. nam ab ἐ μὲν incipit soliloquium Dionis secum.

20) ἐμοὶ δ' ἐ ποιητέον τοῦτο] *mihi vero hoc minus fit faciendum?* est interrogatio recusationis, indignationis, fastidii plena.

ἀλλήλων τε καὶ ὃ βελευσάμενον [21]) αὐτὸν, ἀλλ' ὑφ' ἑαυτῷ μέγας φρονήσαντας, τότε τῷ ὀνόματος τυχεῖν. οἱ μὲν γὰρ πολλοὶ τῶν καλλιμάχων φιλοσόφων αὐτὸς ἀνεκηρύττεσθαι, ὥσπερ οἱ Ὀλυμπιάσι κήρυκες· ἐγὼ δὲ, τῶν ἄλλων λεγόντων, ἐκ ἐδυνάμην ἀεὶ καὶ πᾶσι διαμάχεσθαι. τυχὸν δέ τι καὶ ἀπολαύσαι τῆς φήμης συνέβη μοι. πολλοὶ γὰρ ἠρώτων προστάντες, ὅτι Φαίνοιτο, ἀγαθὸν [22]) ἢ κακόν; ὥστε ἠναγκαζόμην φροντίζειν ὑπὲρ τούτων, ἵνα ἔχοιμι ἀποκρίνεσθαι τοῖς ἐρωτῶσι. πάλιν δὲ ἐπάλλευον λέγειν, μετασχόντα [23]) εἰς τὸ κοινόν. ἐκεῖνο καὶ τοῦτο ἀναγκαῖον ἐγίγνετο λέγειν περὶ τῶν προσηκόντων τοῖς ἀνθρώποις, καὶ ὑφ' ὧν ἔμελλον φιλεῖσθαι, τὰ ἐμοὶ φαινόμενα. ἐδόκουν δέ μοι πάντες ἄφρονες, ὡς ἔπος εἰπεῖν, καὶ ἀδεῖς ἀδέν, ὧν ἔδει, πράττειν, ἀλλὰ σκοπεῖν, ὅπως, ἀπαλλαγεὶς τῶν περόντων κακῶν καὶ πολλῆς [24]) ἐμπεδίας καὶ ταραχῆς, ἐπ' ἀκέραιον βιώσηται καὶ ἄμεινον. κυκώμενοι δὲ καὶ φερόμενοι πάντες ἐν ταὐτῷ, καὶ περὶ τὰ αὐτὰ σχεδὸν, περί τε χρήματα καὶ δόξας καὶ σωμάτων τινὰς ἡδονὰς, ἀδεῖς ἀπαλλαγῆναι [25]) τούτων δυνάμενος,

21) βελευσάμενον dubito damnem, an absolutam. sed hoc malo, quia βελεύεσθαι saepissime pro βέλεσθαι occurrit vsurpatum.

22) ὅτι Φαίνοιτο, ἀγαθὸν] tollendum esse comma, et ὅτι in duo vocabula ὁ τι dispescendum, dubio vacat. sed sententia loci dubia est; vel potius satis de ea constat. possint tamen verba ambigue accipi; nam possim etiam hoc significare: interrogabat me quisque accedens, quod ipse vellet, siue bonum et probabile id esset, quod interrogaret, siue malum et contemnendum. Verum tamen e nexu totius loci constat, hanc verbis inesse sententiam: *interrogabant me, quidnam mihi bonum, quidnam secus esse videretur.* Est ergo idem, ac si dixisset: ὅ, τι μοι Φαίνοιτο εἶναι ἀγαθὸν ἢ κακόν.

23) fort. λέγειν με καταζάντα — *horrabantur me*, vt in *medium progressus disputarem.*

24) imo vero καὶ τῆς πολλῆς.

25) malim ἀδεὶς δ' ἀπαλλαγῆναι.

μενος, ὡδὲ ἐλευθεροῦσθαι τὴν ἑαυτοῦ ψυχήν· καθάπερ, οἶμαι, τὰ ἐμπεσόντα εἰς τοὺς δίνας, αἰλούμενα καὶ περιστρεφόμενα, καὶ οὐκ οἷά τε [26]) γινόμενα ἀπαλλαγῆναι τῆς δινήσεως· ταῦτα καὶ τοιαῦτα [27]) τύς τε ἄλλους ἅπαντας, καὶ μάλιστα καὶ πρῶτον ἐμαυτὸν καταμεμφόμενος. ἐνίοτε δὲ ὑπὸ ἀπορίας ἐφερόμην [27 b.]) ἐπί τινα λόγον ἀρχαῖον, λεγόμενον ὑπὸ τινος Σωκράτους, ὃν ὠδέποτε ἐκεῖνος ἐπαύσατο λέγων· παντοχοῦ δὲ [28]) καὶ πρὸς ἅπαντας βοῶν καὶ διατεινόμενος ἐν ταῖς παλαίστραις, καὶ ἐν τῷ Λυκείῳ, καὶ ἐπὶ τῶν δικαστηρίων [29]), καὶ πάντ' ἀγωνιῶν, ὥσπερ ἀπὸ μηχανῆς θεὸς [30]), ὡς ἔφη τις. ὃ μέντοι προσεποιούμην ἐμὸν εἶναι τὸν λόγον, ἀλλ' ὅπερ ἦν· καὶ ἠξίουν, εἰ ἄρα μὴ δύναμαι ἀπομνημονεῦσαι ἀκριβῶς ἁπάντων τῶν ῥημάτων [31]), μηδὲ ὅλης τῆς διανοίας, ἀλλὰ πλέον ἢ ἔλαττον εἴπω τε, συγγνώμην ἔχειν· μηδὲ ὅτι ταῦτα λέγω, ἃ τυγχάνει

26) in regio esse Morellus testatur καὶ ἐκ οἷά τε δυνάμενα, postremam vocem scholium esse dictionis οἷά τε non male suspicans. quicquid est, ex eo coniectura Casauboni certissima confirmatur. οἷα τὰ Ven. et Mor.

27) post τοιαῦτα, aut post ἐμαυτὸν, aut post καταμεμφόμενος, deesse videtur aliquid, e. c. ἐκ ἐπαυόμην, aut delendum est δὲ post ἐνίοτε.

27 b) margo Mor. dat. ἀνῆμον.

28) aut δὲ cum τε est mutandum, aut post ἅπαντας addendum est διετέλει.

29) sic recte Veneta et codex regius. τῷ δικαστηρίῳ Morell.

30) f. θεὸν. redit enim ad τὸν λόγον versu 7. sententia est: vtebar ita Socratica illa disputatione, vt per eam e nodis plagisque, si in quas incidissem, me expedirem, sic vt scenicis suus e machina deus praesto est laborantibus.

31) Verbum ἀπομνημονεύειν, si bene memini, accusativum rei, genitiuum personae adiscisci. estne itaque ἅπαντα τὰ ῥήματα scribendum? et paulo post μηδὲ ὅλην τὴν διάνοιαν? an dicendum, deesse participium genitiuum regens, vt e. c. ἐχόμενος.

χάνει

χάνει πολλοῖς ἔτεσι πρότερον εἰρημένα, διὰ τοῦτο ἧττον προσέχων τὸν νοῦν. ὅσως γὰρ ἂν, ἔφην, οὕτω μάλιστα ὠφεληθείητε. οὐ γὰρ δή γε εἰκός ἐστι τοὺς παλαιοὺς λόγους, ὥσπερ φάρμακα παλαιὰ, διαπνεύσαντας ἀπολωλεκέναι 32) τὴν δύναμιν. ἐκεῖνος γὰρ, ὁπότ' ἴδοι πλείονας ἀνθρώπους ἐν τῷ αὐτῷ, σχετλιάζων καὶ ἐπιτιμῶν ἐβόα πάνυ ἀνδρείως τε καὶ ἀνυποστόλως· τοῖ φέρεσθε, ὦ ἄνθρωποι, καὶ ἀγνοεῖτε, μηδὲν τῶν δεόντων πράττοντες, χρημάτων μὲν ἐπιμελούμενοι, καὶ πορίζοντες πάντα τρόπον, ὅπως αὐτοί τε ἄφθονα ἔχετε, καὶ τοῖς παισὶν ἔτι πλείω παραδώσετε, αὐτῶν δὲ τῶν παίδων, καὶ πρότερον ὑμῶν τῶν πατέρων, ἠμελήκατε ὁμοίως ἅπαντες· οὐδεμίαν ὁρῶντες 33), οὔτε παίδευσιν, οὔτε ἄσκησιν ἱκανὴν, οὐδὲ ὠφέλιμον ἀνθρώποις, ἣν παιδευθέντες, δυνήσονται 34) τοῖς χρήμασι χρῆσθαι ὀρθῶς καὶ δικαίως, ἀλλὰ μὴ βλαβερῶς τε καὶ ἀδίκως, καὶ ὑμῖν αὐτοῖς ἐπιζημίως· ὃ σπουδαιότερον ἡγεῖσθαι τῶν χρημάτων ἐχρῆν, καὶ τοῖς υἱοῖς 35) καὶ

 θυγατρά-

32) ἀπολωλεκέναι recte dat codex regius, idemque dare voluit Veneta, tametsi typotheta paululum aberrauit, dans ἀπολωλεμέναι. Morell. dat ἀπολωλέναι.

33) ὁρῶντες equidem ausim defendere. *spectantes*, h. e. affectantes, exercentes. neque me multum inouet, quod Morellus ait, coniecturam suam εὑρόντες, margini adscriptam, a codice regio confirmari.

34) aut δυνήσεσθε legendum est, aut ὑμῖν paulo post delendum.

35) υἱοῖς] sic dudum conieceram leg. esse, quod nunc a Morello auctoritate codicis regii confirmatum video. sed et praeterea ex insequente κἀκείνους ὑμῖν (nam ita ibi leg. est) colligo, hoc versu ὑμᾶς deesse, vt sit χρημάτων ὑμᾶς ἐχρῆν, vt plena sit oppositio. tandem etiam articulus τοῖς delendus videtur; nam alias sequi par erat καὶ ταῖς θυγατράσι, et τοῖς ἀδελφοῖς. habet quidem codex regius ταῖς ante θυγατράσι, sed satius iudico h. l. articulos plane omitti. Ven. et Mor. dant τοῖς ἀνθρώποις καὶ θυγατρ. — κἀκεῖνοι; et Ven. deest ἐχρῆν.

θυγατράσι καὶ γυναιξὶ καὶ ἀδελφοῖς καὶ φίλοις, κἀκείνους ὑμῖν. ἀλλὰ οἱ [36]) κιθαρίζειν καὶ παλαίειν καὶ γράμματα μανθάνοντες ὑπὸ τῶν γονέων, καὶ τοὺς υἱεῖς διδάξαντες [37]), οἴεσθε σωφρονέστερον καὶ ἄμεινον οἰκήσειν τὴν πόλιν; καίτοι εἴ τις συναγαγὼν τούς τε κιθαριστὰς, καὶ τοὺς παιδοτρίβας, καὶ τοὺς γραμματιστὰς, τοὺς ἄριστα ἐπισταμένους ἕκαστα τούτων, πόλιν κατοικήσει [38]) ἐξ αὐτῶν ἢ καὶ ἔθνος, καθάπερ ὑμεῖς ποτε τὴν Ἰωνίαν· ποία τις ἂν ὑμῖν δοκεῖ γενέσθαι πόλις, καὶ τίνα οἰκεῖσθαι τρόπον οὐ πολὺ κάκιον καὶ αἴσχιον, τῆς ἐν Λιγύπτῳ καπήλων πόλεως; ὅπου πάντες κάπηλοι κατοικοῦσιν, ὁμοίως μὲν ἄνδρες, ὁμοίως δὲ γυναῖκες. οὐ πολὺ γελοιότερον οἰκήσουσιν οὗτοι, οὓς λέγω τοὺς ὑμετέρους καὶ τῶν παίδων διδασκάλους, οἱ παιδοτρίβαι καὶ κιθαρισταὶ καὶ γραμματισταὶ, προσλαβόντες τούς τε ῥαψῳδοὺς καὶ τοὺς ὑποκριτάς. καὶ γὰρ δὴ, ὅσα μανθάνουσιν οἱ ἄνθρωποι, τούτου ἕνεκα μανθάνουσιν, ὅπως, ἐπιδὴ ἡ χρεία ἐνστῇ, πρὸς ἣν ἐμάνθανεν ἕκαστος, ποιῇ τὸ κατὰ τὴν τέχνην [39])· οἷον ὁ μὲν κυβερνήτης ὅταν εἰς τὴν ναῦν ἐμβῇ, τῷ πηδαλίῳ κατιθύνων [40]). διὰ τοῦτο γὰρ ἐμάνθανεν κυβερνᾶν. ὁ δὲ ἰατρὸς ἐπειδὴ παραλάβῃ τὸν κάμνοντα, τοῖς φαρμάκοις καὶ τοῖς περὶ τὴν δίαιταν ἰώμενος, οὗ ἕνεκα ἐκτήσατο τὴν ἐμπαρίαν.

36) οἱ aut plane expungendum, aut cum γὰρ est mutandum.

37) ἀσκοῦντες margo Mor.

38) imo vero κατοικίσει, a verbo κατοικίζειν.

39) recte dat Veneta ποιῇ τὸ κατὰ τὴν τέχνην. *efficiat, peragat id, quod ars, quam didicit, secum fert.* ποιῇ κατὰ τὸ τὴν τ. Morell

40) Morell. dat. κατευθύνει. paulo correctius est κατευθύνῃ, quod dat Veneta; sed verum est κατιθύνων, ob insequens ἰώμενος. aptum est hoc participium e superiori ποιῇ τὸ — τέχνην. Repeto potius ab ἰθύνω, quam ab εὐθύνω; quamquam ne hoc quidem prorsus damnabo.

περείαν. ἐκεῖν᾽ ἀκούω ὑμᾶς, ἔφη, ἐπειδὴ δέη τι βουλεύεσθαι περὶ τῆς πόλεως, συνελθόντες εἰς τὴν ἐκκλησίαν, οἱ μὲν ὑμῶν κιθαρίζουσιν [41]) ἀναστάντες
15. οἱ δὲ τινες παλαίετε, ἄλλοι δὲ ἀναγιγνώσκετε τῶν Ὁμήρου τι λαβόντες ἢ τῶν Ἡσιόδου· ταῦτα γὰρ ἔξεστιν ἑτέρῳ· καὶ ἀπὸ τούτων εἶεσθε ἄνδρες ἀγαθοὶ ἔσεσθαι, καὶ δυνήσεσθαι τὰ τοιαῦτα πράττειν
20. ὀρθῶς, καὶ τὰ ἴδια. καὶ νῦν ἐπὶ ταύταις ταῖς ἐλπίσιν ὄντες τὴν πόλιν, καὶ τοὺς υἱέας παρασκευάζετε, ὡς δυνατοὺς ἐσομένους χρῆσθαι τοῖς τε αὐτῶν καὶ τοῖς δημοσίοις πράγμασιν, εἰς ἂν [42]) ἱκανῶς παι-
25. δαρίσωσιν ἡ Παλλὰς ἡ [43]) περσέπτολις Ἀθηνᾶ, ἢ τῷ ποδὶ [44]) βῶσι πρὸς τὴν λύραν· ὅπως δὲ γνώσεσθε [45]) τὰ συμφέροντα ὑμῖν αὐτοῖς καὶ τῇ πατρίδι, καὶ γονεῦσιν καὶ δικαίοις μᾶλλον ὁμονοίαις πο-
30. λιτεύσεσθε καὶ εὐκόσμως, μὴ ἀδικῶν ἄλλος ἄλλον [46]), μηδὲ ἐπιβουλεύων, τοῦτο δὲ εὐθέως ἐμάθετε, εὖ ἐμέλησεν ὑμῶν πώποτε, εὖ δὲ νῦν ἔτι φροντίζετε. καίτοι τραγῳδοὺς ἀκούοντε ὄψεσθε τοὺς Διονυσίοις, καὶ
35. ἀκούετε τὰ εὐτυχήματα τῶν ἐν ταῖς τραγῳδίαις ἀνθρώπων [47]) αὐλὸς ὑμῶν εὐθέως ἐνθυμήσεται, ὅτε ἐπὶ τοὺς ἀγραμμάτους, εὖ δὲ ἐπὶ τοὺς ἀπαιδεύτους, εὖ δὲ τοὺς ἐν εἰδόσιν παλαίειν, γίνεται τοῦ κακοῦ τοῦ-

τος

41) κιθαρίζουσιν] fic, an κιθαρίζετε, dederit auctor, in medio relinquo.

42) οἷς ἂν] aut primum vocabulum cum οἷον eſt mutandum, *exempli cauſa*, aut ambo vocabula in vnum ὅτων ſunt contrahenda.

43) idem eſt atque ἡ κιθαρίσωσι παλλάδα, quod ordinaria verborum collocatio poſtulabat. imitatus eſt Ariſtophanis Nub. v. 964.

44) τῷ ποδὶ] ſ. leg. αὐτάκτῳ ποδί.

45) malim γνώσησθε ob inſequentia.

46) ἄλλος ἄλλον recte dat Veneta, quomodo coniecerat Caſaubonus. Morell. omittit ἄλλος.

47) ἀνθρώπων haud placet.

τε, ὡς ὅτι πένης τις ἦν· ἐδόκει ἔμοιγε τοῦτο 48) τερατῳδίαν ἐπιδείξειν. τίνα γὰρ περὶ τῶν Ἀ- τρέως καὶ τῶν Ἀγαμέμνονος καὶ τῶν Οἰδιπόδου ἄλλος τις ἂν πώποτε τὰς τραγῳδίας 49), οἳ πλεῖστα ἐκέκτηντο χρήματα χρυσοῦ καὶ ἀργύρου καὶ γῆς καὶ βραχημάτων· καὶ δὴ τῷ δυσχεράστῳ αὐτῶν γνώμης σθαι φασὶ χρυσοῦν πρόβατον. καὶ μὴν ὁ Θαμυρίδης γε, εὖ μάλα ἐπιτεθαμένος κιθαρίζειν, καὶ πρὸς αὐτὰς τὰς Μούσας ἐρίζειν περὶ τῆς ἁρμονίας, ἐτυφλώθη διὰ τοῦτο, καὶ προσέτι ἀπέμαθε τὴν κιθαρισ- τικήν. καὶ τὸν Παλαμήδην δὲν ἄλλο ἔπεσεν αὐτὸν εὑρόντα καὶ γράμματα, πρὸς τὸ μὴ ἀδίκως ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν ὑπ' αὐτοῦ παιδευθέντων κατακλευσθέντα ἀ- ποθανεῖν· ἀλλ' ἔως μὲν ἦσαν ἀγράμματοι καὶ ἄμου- σοι τοῦτο τοῦ κτήματος, ζῆν αὐτὸν εἶων· ἐπειδὴ δὲ τούς τε ἄλλους ἐδίδαξε γράμματα, καὶ τοὺς Ἀτρέ- ως φησὶν, πρώτους, καὶ μετὰ τῶν γραμμάτων, τοὺς φρενώσεις ὅπως χρὴ ἀνέχειν, καὶ ἀριθμεῖν τὸ πλῆθος ἐπεὶ πρότερον ἐκ χειρὸς ἐδόκουν καὶ παλαιῶς ἀριθ- μεῖσθαι τὸν ὄχλον, ὥσπερ οἱ πολλοὶ τῶν βαρβάρων, τηνικαῦτα σοφωτέρους γενόμενοι καὶ ἀμείνους ἀπέ- φηναν αὐτόν. ὃ δὲ γε, ἔφη, τοὺς ῥήτορας οἴεσθε ἱκανοὺς εἶναι γράφειν τὸ βουλευτέον, καὶ τὴν ἐκείνων τέχνην ἄνδρας ἀγαθοὺς ποιεῖν θαυμάζω, ὅτι ἃ καὶ δικάζειν ἐκείνοις ἐπετρέψατε ὑπὲρ τῶν πραγμάτων, ἀλλ' ὑμῖν αὐτοῖς· καὶ ὅπως ἃ δικαιοτάτοις 50) καὶ ἀρίστοις ὑπειλήφατε, καὶ τὰ χρήματα ἐκείνοις ἐπε- τρέψατε διαχειρίζειν. ὑμῖν γοῦν ἂν ποιήσητε, ὥσπερ

48) malim τούτων, propter hos reos.

49) πάσας τὰς τραγ.] subaudi γιγνομένας, aut ζεφθομένας.

50) καὶ ὅπως ἃ δικ.] dudum ſuſpicabar deeſſe εἰ, qua in ſuſpicione confirmor a Veneta, in qua non ἃ, ſed ἂν eſt; ut legendum videatur καὶ ὅπως ἂν, εἰ δικ. et quare non etiam facultates veſtras iis adminiſtrandas permittatis, ſi honeſtiſſimos atque iuſtitiae ſtudioſiſſimos habeatis.

ὥσπερ εἰ κυβερνήτας καὶ ναυάρχας τῶν τριήρων ἀποδείξοιτε τοὺς τριηρήτας [51]), ἢ τοὺς κελευστάς. εἰ δέ τις δή τοι λέγοι τῶν πολιτικῶν τε καὶ ἑητόρων πρὸς αὐτὸν, ὅτι ταύτῃ μέντοι τῇ παιδεύσει χρώμενοι Ἀθηναῖοι, Περσῶν ἐπιστρατευσάντων τοσαύταις μυριάσιν ἐπὶ τὴν πόλιν δὶς ἐφεζῆς καὶ τὴν ἄλλην Ἑλλάδα, τὸ μὲν πρῶτον δύναμιν καὶ στρατηγοὺς ἀποστείλαντος τοῦ βασιλέως, ὕστερον δὲ αὐτοῦ Ξέρξου παραγενομένου, μετὰ παντὸς τοῦ πλήθους τοῦ κατὰ τὴν Ἀσίαν, ἅπαντας τούτους ἐνίκησαν, καὶ πανταχῇ περιῆσαν αὐτῶν, καὶ τῷ βουλεύεσθαι καὶ τῷ μάχεσθαι. καίτοι πῶς ἂν ἠδύναντο περιεῖναι τηλικαύτης παρασκευῆς καὶ τοσούτου πλήθους, μὴ διαφέροντες κατ' ἀρετήν; ἢ πῶς ἂν ἀρετῇ διέφερον, μὴ τῆς ἀρίστης παιδείας τυγχάνοντες, ἀλλὰ φαύλης καὶ ἀνωφελοῦς; πρὸς τὸν τοιαῦτα εἰπόντα ἔλεγεν, ὅτι οὐδὲ ἐκεῖνοι ἦλθον παιδείαν εὐδεμίαν πεπαιδευμένοι, οὐδὲ ἐπισάμενοι βουλεύεσθαι περὶ τῶν πραγμάτων· ἀλλὰ τοξεύειν τε καὶ ἱππεύειν καὶ θηρᾶν μεμελετηκότες, καὶ τὸ γυμνοῦσθαι τὸ σῶμα, εὐσχήμων αὐτοῖς ἐδόκει, καὶ τὸ ὑπὲν ἐν τῷ φανερῷ ταῦτα καὶ [52]) αὐτοὺς οὐδὲν ἔμελλεν ὀνήσειν· ὥστε οὐδ' ἦν στρατηγὸς ἐκείνων οὐδεὶς, οὐδὲ βασιλεύς· ἀλλὰ μυριάδες ἀνθρώπων ἀμύθητοι πάντων ἀφρόνων καὶ κακοδαιμόνων. εἰ [53]) δέ τις ἐν αὐτοῖς ὑπῆρχεν ὀρθὴν ἔχων τιάραν, καὶ ἐπὶ θρόνου χρυσοῦ καθίζων, ὑφ' ἓ πάντες ὥσπερ ὑπὸ δαίμονος ἠλαύνοντο πρὸς βίαν· οἱ μὲν εἰς τὴν θάλατταν, οἱ δὲ κατὰ τῶν ὀρῶν, καὶ μαστιγούμενοι καὶ δεδιότες καὶ ὠθούμενοι καὶ καταστρέμοντες [54]) ἠναγκάζοντο αὐτοθνήσκειν.

ὥσπερ

51) τριηρήτας] lege τριηρίτας. V. L. Ven. et margo Mor. dant τριηλάτας.
52) καὶ] malim δὲ.
53) εἰ] f. εἷς. unus.
54) f. τρέμοντες simplex.

ὥσπερ[55]) οὖν ἀ δύο ἀνθρώπω οὐκ ἀδότε παλαίοιεν[56]· ὁ γὰρ ἕτερος[57]) καταβάλλοι ἂν ἐνίοτε τὸν ἕτερον, οὐ δι' ἐμπειρίαν, ἀλλὰ διά τινα τύχην, πολλάκις δὲ καὶ δὶς ἐφεξῆς ὁ αὐτός· οὕτω καὶ Ἀθηναίοις Πέρσαι συμβαλόντες[58]), τοτὲ μὲν Ἀθηναῖοι περιῆσαν, τοτὲ δὲ Πέρσαι· ὥσπερ ὕστερον, ὅτε καὶ τὰ τείχη τῆς πόλεως κατέβαλλον μετὰ Λακεδαιμονίων πολεμοῦντες. ἐπεὶ ἔχοις ἄν μοι εἰπεῖν, εἴ ποτε[59]) Ἀθηναῖοι ἀμουσότεροι καὶ ἀγραμματότεροι γεγόνεσαν. ἔπειτα αὖθις ἐπὶ Κόνωνος, ὅτε ἐνίκησαν τῇ ναυμαχίᾳ τῇ περὶ Κνίδον, ἄμεινον ἐπάλαιον καὶ ᾖδον; οὕτως οὖν ἀπέφαινεν[60]) αὐτοὺς, οὐδεμιᾶς παιδείας χρηστῆς τυγχάνοντας. τοῦτο δὲ οὐ μόνον Ἀθηναίοις, ἀλλὰ καὶ σχεδόν τι πᾶσιν ἀνθρώποις, καὶ πρότερον καὶ νῦν συμβέβηκεν. καὶ μὴν τό γε ἀπαίδευτον εἶναι[61]), καὶ μηδὲν ἐπιστάμενον ἃ χρὴ[62]), μηδὲ ἱκανῶς παρεσκευασμένον πρὸς τὸν βίον, ζῆν τε καὶ πράττειν ἐπιχειρεῖν οὕτω μεγάλα πράγματα, μηδὲ αὐτοῖς ἐκείνοις ἀρέσκειν[63])· τοὺς γὰρ ἀμαθεῖς καὶ ἀπαιδεύτους, ψέγειν αὐτοὺς ὡς οὐ δυναμένους[64]) ζῆν ὀρθῶς· εἶναι δὲ ἀμαθεῖς, οὐχὶ τοὺς ὑφαίνειν ἢ σκυτο-

55) ὥσπερ] scil. γίγνεται, vel συμβαίνει.
56) παλαίοιεν] sic codex regius. παλαίειν Ven. et Morell.
57) ὁ γὰρ ἕτερος] sic recte Veneta, ὅτε ἕτερος Morell. et var. lect. Ven.
58) συμβαλόντες] sunt hic nominatiui absoluti, pro genitiuis consequentiae vsurpati.
59) εἴ ποτε] leg. esse εἰ τότε Casaubonus et Anglus viderunt,
60) ἀπέφαινεν] sic solebat Socrates demonstrare.
61) εἶναι] melius conueniret ὄντα.
62) ἃ χρὴ] malim ὧν χρὴ.
63) ἀρέσκειν] sic recte Veneta; est enim obliqua oratio, subauditur ἔφη Σωκράτης. ἀρέσκει Morell.
64) οὐ δυναμ.] sic codex regius, Casaubonus et Anglus, sed Morell. omittit οὐ.

ἑαυτοτομεῖν μὴ ἐπιστάμενους, οὐδὲ τοὺς ὀρχεῖσθαι οὐκ εἰδότας· ἀλλὰ τοὺς ἀγνοοῦντας, ἅ ἐστιν εἰδότα, καλὸν καὶ ἀγαθὸν ἄνδρα εἶναι. καὶ οὕτω δὴ παρεκάλει πρὸς τὸ ἐπιμελεῖσθαι, καὶ προσέχειν αὐτῷ τὸν νοῦν καὶ φιλοσοφεῖν. ᾔδει γὰρ, ὅτι τοῦτο ζητοῦντες [65]), οὐδὲν ἄλλο ποιήσουσιν, ἢ φιλοσοφήσουσι. τὸ γὰρ ζητεῖν [66]) καὶ φιλοτιμεῖσθαι, ὅπως τις ἔσται καλὸς καὶ ἀγαθὸς, οὐκ ἄλλο τι εἶναι, ἢ τὸ φιλοσοφεῖν. οὐ μέντοι πολλάκις οὕτως ὠνόμαζεν, ἀλλὰ μόνον ζητεῖν ἐκέλευεν, ὅπως ἄνδρες ἀγαθοὶ ἔσονται. ἀλλὰ πρός γε [67]) τοὺς ἄλλους σχεδόν τι τὰ αὐτὰ διελεγόμην ἀρχαῖα καὶ φαῦλα· καὶ ἐπειδὴ οὐκ εἴων ἐν αὐτῇ τῇ Ῥώμῃ γενόμενον ἡσυχίαν ἄγειν, ἴδιον [68]) μὲν οὐδένα ἐτόλμων διαλέγεσθαι λόγον, μὴ καταγέλαστός τε καὶ ἀνόητος δόξω φοβούμενος, ἅτε συνειδὼς αὐτῷ πολλὴν ἀρχαιότητα καὶ ἀμαθίαν. ἐνεθυμούμην δέ· φέρε, εἰ μιμούμενος τοιούτους τινὰς διαλέγωμαι λόγους, ἢ [69]) περὶ τῶν θαυμαζομένων παρ' αὐτοῖς, ὡς οὐδέν ἐστιν αὐτῶν ἀγαθὸν, καὶ περὶ τρυφῆς καὶ ἀκολασίας, καὶ ὅτι παιδείας πολλῆς τε καὶ ἀγαθῆς δέονται· τυχὸν οὐ καταγελάσουσί μου ταῦτα λέγοντος, οὐδὲ φήσουσιν ἀνόητον; εἰ δὲ μὴ, ἔξω λέγειν, ὅτι εἰσὶν οἱ λόγοι οὗτοι ἀνδρὸς, ὃν οἵ τε Ἕλληνες ἐθαύμασαν ἅπαντες ἐπὶ σοφίᾳ, καὶ δὴ καὶ ὁ Ἀπόλλων σοφὸν αὐτὸν ἡγήσατο, καὶ Ἀρχέλαος, Μακεδόνων βασιλεὺς, πολλὰ εἰδὼς, καὶ πολλοῖς

65) f. ὅτι οἱ τοῦτο ζητοῦντες. significat autem hoc τοῦτο, studium euadendi in virum bonum et probum.

66) ζητεῖν] sic codex regius ζητοῦν Morell. et Ven.

67) γε] malim μὲν, tametsi δὲ non sequatur; nam directa haec fuerat oratio ἐπειδὴ δὲ. Romanos enim opponit τοῖς ἄλλοις, incolis aliorum oppidorum, quae Dio adiit. ille vero maluit καὶ ἐπειδὴ dicere.

68) ἴδιον] ex ipso me natam, a me excogitatam.

69) ἢ dele.

λοῖς συγγεγονὼς τῶν σοφῶν ἐκέλευε αὐτὸν ἐπὶ δόξαις καὶ μισθοῖς, ὅπως ἀκούοι αὐτῷ διαλεγομένου τὰς λόγους τούτους. οὕτω δὴ κἀγὼ ἐπειρώμην διαλέγεσθαι Ῥωμαίοις, ἐπειδή με ἐκάλεσαν, καὶ λέγων ἠξίουν, ἃ κατὰ δύο καὶ τρεῖς ἀπολαμβάνων [70]) ἐν παλαίστραις καὶ περιπάτοις· ἃ γὰρ ἦν δυνατὸν οὕτως ἐν ἐκείνῃ τῇ πόλει ξυγχίνεσθαι· πολλοῖς δὲ ἀνθρώποις [71]) εἰς ταυτὸ συνιοῦσιν· ὅτι δέονται παιδείας κρείττονος καὶ ἐπιμελεστέρας, εἰ μέλλουσιν εὐδαίμονες ἔσεσθαι τῷ ὄντι, ἀλλὰ μὴ δόξῃ [72]) τῶν πολλῶν ἀνθρώπων. ὥσπερ νῦν ἄν [73]) τις αὐτοὺς μεταπείσαι καὶ διδάξει παραλαβών, ὅτι τούτων μὲν οὐδέν ἐστιν ἀγαθὸν, ὑπὲρ ὧν σπουδάζουσι καὶ πάσῃ προθυμίᾳ κτῶνται· καὶ νομίζουσιν, ὅσῳ ἂν πλείω κτήσωνται, τοσούτῳ ἄμεινον βιώσεσθαι καὶ μακαριώτερον· σωφροσύνην δὲ καὶ εὐδοξίαν καὶ δικαιοσύνην ἐάν [74]) πε-

70) ἀπολαμβάνων] bona haec est lectio, immerito sollicitata. Casaubonus ἀπολαμβάνοντες mallet; Morellus e suis codd. ἀπολαμβάνειν et ἀπολαμβάνοντα profert: vitiosa illa omnia. Aptus est ille nominat. sing. e superioribus ἐπειρώμην διαλέγεσθαι. sententia est haec: *non iam, vt antea aliis in oppidis Graeciae consueueram facere, Romae duos tresue adolescentulos a palaestra seorsim seducebam, quibuscum dissererem; sed in magnis coetibus verba facienda mihi erant.*

71) πολλοῖς δὲ ἀνθρώοις] repete a communi ἐπειρώμην διαλέγεσθαι. nisi aliquid deest, quod potius videtur, e. c. ἔλεγον, vel ἐπεδείκνυον.

72) ἀλλὰ μὴ δόξῃ] subaudi μόνον.

73) ὥσπερ νῦν ἄν (vel, vt Morellus e cod. reg. profert, εἰ nullo discrimine) τις —] Apodosis periodi huius perquam ambitiosae et perplexae videtur p. 228, 25. ed. Mor. esse in istis τότε γὰρ ἄν ἔφην. *Exempli causa, ἔφην, inquam, si quis nunc eos* (homines puta vulgares) *dedoceat, et a pristino errore deducat, planum faciendo — tum demum eris vestra verba magna.*

74) ἐὰν est iteratio superiorum ἄν (n. 73.) comma, quod ante ἐὰν Mor. habet, recte abest a Veneta.

πε-

πως ἐπιμελησόμεθα καὶ τῶν ψυχῶν ἀναλήψεται διδασκάλους πρῶτον τούτων εὑρόντες, καὶ τῶν ἄλλων ἁπάντων ἀμελήσαντες [75]), εἴτε Ἕλληνες [76]), εἴτε Ῥωμαίους, εἴτε τις παρὰ Σκύθας, ἢ παρ' Ἰνδοὺς ἀνὴρ ἔσι, διδάσκαλος ὢν εἶπον· ὥσπερ, οἶμαι, τοξικῆς τε καὶ ἱππικῆς, ἢ νὴ Δία [77]), ἰατρός τις θεραπεύειν ἐπιχειρήσας τὰ νοσήματα τῷ σώματος, ὅτως ἱκανὸς ὢν ἰᾶσθαι τὰς τῆς ψυχῆς νόσους· ὅσα τε ἀκολασίας καὶ πλεονεξίας καὶ τῶν τοιούτων ἀρρωστημάτων δυνήσεται ἀπαλλάξαι τὰς ὑπ' αὐτῶν κρατουμένας, τοῦτον παραλαβόντας [78]) καὶ ἀγαγόν-

75) Verba καὶ τῶν ἄλλων ἁπάντων ἀμελήσαντες sunt interiecta inter superiora et insequentia, quae inter se a lectore coniungi debent. Cohaerent enim διδασκάλους et ἕλληνας: ista, quae dixi transsilienda, veluti sunt in analysi. sententia est: *repertis, undecunde tandem, magistris (postequam inquisitioni huic reliqua omnia posthabuerint) sive Graeci sunt illi magistri, sive Romani.*

76) εἴτε ἕλληνας] admonui iam, quod dudum ante me fecit Casaubonus, hos accusatiuos ἕλληνας et ῥωμαίους, si seruantur, referendos esse ad superius διδασκάλους; sed Morellus iniicit scrupulum, testans, in codice regio fuisse a se repertum εἴτε παρ' ἕλληνας. fallor, an ibi scriptum fuit, quod ille perperam legit et parum fideliter reddidit, εἴτε παρ' ἕλλησιν, εἴτε ῥωμαίοις, *sive apud Graecos est eiusmodi magister, sive apud Romanos.* mihi verosimile sit Dionem dedisse: εἴτε ἕλλην, εἴτε ῥωμαῖος in nominatiuo sing.

77) ἢ νὴ Δία] sic recte Veneta et Casaubonus. Morell. omittit ἢ.

78) παραλαβόντας — cum reliquis casibus, et *infinitiuo* προαγορεῦσαι quo referam, non habeo. donec certiora in lucem prodeant, sarciendi quodammodo hiatus ergo, mutemus illos omnes accusatiuos nominatiuis et infinitivum coniunctiuo, legamusque sic: τοῦτον ἂν παραλαβόντες καὶ ἀγαγόντες λόγῳ πείσαντες — καταςήσαντές τε εἰς τὴν ἀκρόπολιν, ἐὰν προαγορεύσωσι τὰς νέας — *hunc itaque magistrum postequam in manus sum-*

γόντας, λόγῳ πείσαντας, ἢ φιλίᾳ· χρήμασι μὲν γὰρ ἐ δυνατὸν ἄνδρα πεισθῆναι τοιοῦτον, ἐδὲ ἄλλοις δώροις· καταστήσαντάς τε εἰς τὴν ἀκρόπολιν, νόμῳ προαγορεῦσαι, τὰς νέας ἅπαντας φοιτᾶν παρ' αὐτὸν, καὶ συνεῖναι καὶ μηδὲν ἧττον τὰς πρεσβυτέρας, ἕως ἂν σοφοὶ γενόμενοι ἅπαντες, καὶ δικαιοσύνης ἐρασθέντες, καταφρονήσαντες χρυσῦ, καὶ ἀργύρου, καὶ ἐλέφαντος, καὶ ὄψου δὴ καὶ μύρου καὶ ἀφροδισίων, εὐδαίμονες οἰκῶσιν τῷ ὄντι, καὶ ἄρχοντες, μάλιστα καὶ πρῶτον, αὐτῶν, ἔπειτα καὶ τῶν ἄλλων ἀνθρώπων· τότε γὰρ ἂν, ἔφην, ἔτι ὑμῶν ἡ πόλις μεγάλη, καὶ ἰσχυρὰ καὶ ἄρχουσα κατ' ἀλήθειαν· ὡς τό γε νῦν τὸ μέγεθος αὐτῆς ὕποπτον καὶ ἐ πάνυ ἀσφαλές. ὅσῳ γὰρ ἂν, ἔφην, πλείων ἡ τε ἀνδρεία καὶ ἡ δικαιοσύνη καὶ σωφροσύνη γίνεται παρ' ὑμῖν, τοσούτῳ ἐλάττων ἔσῃ τότε ἀργύρου, καὶ τὸ χρυσίον, καὶ τὰ ἐλεφάντινα σκεύη, καὶ τὰ ἡλέπτρινα, καὶ κρύσταλλος, καὶ θύσος [79]), καὶ ἔβενος, καὶ ὁ τῶν γυναικῶν κόσμος, καὶ τὰ ποικίλματα ταῦτα, καὶ αἱ βαφαὶ, καὶ ξύμπαντα ἁπλῶς τὰ νῦν ἐν τῇ πόλει τίμια καὶ περιμάχητα, ἐλαττόνων [80]) αὐτῶν δήσεσθε. ὅταν δὲ ἐληλυθότες ἦτε ἐπ' ἄκρον ἀρετῆς, ἐδενὸς τούτων δήσεσθε· ἀλλὰ καὶ οἰκίας μικροτέρας καὶ ἀμείνους οἰκήσετε, καὶ ἐ τοσοῦτον ὄχλον θρέψετε ἀνδραπόδων ἀργῶν, καὶ πρὸς ἐδὲν χρησίμων. τὸ δὴ [81]) πάντων παραδοξότατον.

ferint, et in oppidum ſuum adduxerint, (homines puta, qui nunc ſunt) *orationis blanditiis, gratiaue adductum, et in arce conſtituerint, legeque promulgata imperauerint iuuenibus omnibus, vt eum frequentent — tum demum erit vrbs veſtra magna.* At vel ſic tamen oratio manet dura et impedita.

79) θύσος] probo Caſauboni emendationem θύου. v. p. 399, 7.

80) malim καὶ ἐλαττόνων.

81) δὴ] l. δέ.

τον. ὅσῳ γὰρ ἂν εὐσεβέστεροι καὶ ὁσιώτεροι γένησθε,
45. τοσούτῳ ἐλάττων ἔσται παρ' ὑμῖν ὁ λιβανωτὸς, καὶ τὰ θυμιάματα, καὶ τὰ στεφανώματα· καὶ θύσετε ἐλάττους θυσίας, καὶ ἀπ' ἐλάττονος δαπάνης, καὶ τὸ πᾶν πλῆθος τὸ νῦν παρ' ὑμῖν τρεφόμενον, πολὺ ἔλαττον ἔσται· καὶ ἡ ξύμπασα πόλις, ὥσπερ ναῦς
5. κεφισθεῖσα, ἀναπύσεται τε, καὶ πολὺ ἔσται ἐλαφρὰ τέρα καὶ εὐσφαλεστέρα. ταῦτα δὲ [82]) ταῦτα καὶ Σίβυλλαν εὑρήσετε μαντευομένην ὑμῖν καὶ Βάκιν· εἴπερ ἀγαθῷ χρησμολόγῳ καὶ μάντει ἐγένεσθην. ὡς
10. δὲ νῦν τὰ παρόντα διάκειται, χρημάτων ἕνεκα καὶ πλήθους, οἷ πάντα πανταχόθεν εἰς ἕνα τοῦτον ἤθροισαν τὸν τόπον, τρυφῆς ἐπικρατέστης καὶ πλεονεξίας, ὁμοιόν ἐστιν, ὥσπερ ὁ τὴν τοῦ Πατρόκλου [83]) πυρὰν
15. κοσμήσας Ἀχιλλεύς, πολλῶν μὲν ξύλων, πολλῶν δὲ σωμάτων καὶ ἐσθῆτος, ἔτι δὲ πιμελῆς τε καὶ ἐλαίου· πρὸς τούτοις παρακαλεῖ τοὺς ἀνέμους, σπένδων, καὶ θυσίαν [84]) ὑπισχνούμενος, ἐλθόντας, ἐμπρῆσαί τε
20. καὶ ἀνάψαι. τὰ γὰρ τοιαῦτα οὐχ ἧττόν γε πέφυκεν ἐξάπτειν τὴν τῶν ἀνθρώπων ὕβριν τε καὶ ἀκολασίαν. ὁ μέντοι ἔλεγον, ὡς χαλεπὸν αὐτοῖς παιδευθῆναι· ἐπεὶ καὶ τἄλλα, ἔφην, ὑμεῖς βελτίους πρότερον ὄντες, ὅσα ἐβουλήθητε, ῥᾳδίως ἐμάθετε· λέγω
25. δὲ ἱππικὴν, καὶ τοξικὴν, καὶ ὁπλιτικήν [85]).

82) ταὐτὰ δὲ ταῦτα recte dat codex regius. ταῦτα ὅτ. Ven. et Morell.

83) malim ὥσπερ ὅταν τὴν Πατρόκλου. illud ὅταν cohaeret cum παρακαλεῖ paulo post.

84) θυσίας vult Morellus e regio.

85) in fine desunt non pauca, dubito, inchoata reliquerit Dio, an iniuria temporum hominumque reliqua perierint.

ΠΕΡΙ ΔΟΥΛΕΙΑΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑΣ ΠΡΩΤΟΣ.

ΛΟΓΟΣ ΙΑ'.

Οἱ ἄνθρωποι ἐπιθυμοῦσι μὲν ἐλεύθεροι εἶναι μάλιστα πάντων, καί φασι, τὴν ἐλευθερίαν μέγιστων τῶν ἀγαθῶν, τὴν δὲ δουλείαν αἴσχιστον καὶ δυστυχέστατον ὑπάρχειν· αὐτὸ δὲ τοῦτο, ὅ, τι ἐστὶ τὸ ἐλεύθερον[1] εἶναι, ἢ ὅ, τι τὸ δουλεύειν, ἐκ ὅτου σι καὶ τοίνυν οὐδὲ ποιοῦσιν οὐδὲν, ὡς ἔπος εἰπεῖν, ὅπως τὸ μὲν αἰσχρὸν καὶ χαλεπὸν ἐκφεύξονται, τὴν δουλείαν· ὃ δοκεῖ αὐτοῖς πολλοῦ ἄξιον εἶναι, κτήσονται, τὴν ἐλευθερίαν· ἀλλὰ τἀναντίον ταῦτα πράττουσιν, ἐξ ὧν ἀνάγκη τοὺς ἐπιτηδεύοντας διατελεῖν δουλεύοντας τὸν ἅπαντα χρόνον, καὶ μηδεπώποτε ἐλευθερίας ἐπιτυγχάνειν. πλὴν τοῦτος ἐκ ἄξιον ἴσως θαυμάσαι, ὅτι ἔστε ἑλεῖν ἔστε φυλάξασθαι δύναιτ' ἄν ὃ τυγχάνουσιν ἀγνοοῦντες. εἰ γὰρ ἐτύγχανον ἀγνοοῦντες πρόβατον καὶ λύκον, ὅ, τι ἐστὶν ἑκάτερον αὐτῶν, ὅμως[2] δὲ ἠγοῦντο, τὸ μὲν ὠφέλιμον καὶ κτήσασθαι ἀγαθὸν, τὸ δὲ βλαβερὸν καὶ ἀσύμφορον· ἐκ ἄρα θαυμαστὸν οὐδὲν, εἰ τὸ μὲν πρόβατον ἐφοβοῦντο καὶ ἔφευγον ἐνίοτε, ὡς λύκον· τὸν δὲ λύκον προσίεντο καὶ ὑπέμενον, νομίσαντες πρόβατον. ἡ γὰρ ἄγνοια τοιαῦτα ἐργάζεται τοὺς ἐκ εἰδότας, καὶ ἀναγκάζει τἀναντία φεύγειν καὶ διώκειν ὧν βέλονται, καὶ τῶν συμφερόντων. ἀλλὰ γὰρ φέρε δὴ σκεψώ-

1) ἐλεύθερον] sic recte codex regius, ἐλευθέριον Ven. et Mor.

2) ὅμως] sic recte Anglus. praeterea quoque constantiae ergo leg. ἠγοῦντο, ob praecedens ἐτύγχανον *verum tamen praeterea quoque opinentur.* ὅπως δὲ ἠγοῦντο Ven. et Mor.

σκεψώμεθα, εἰ ἄρα τε [3]) οἱ πολλοὶ ἐπίστανται περὶ ἐλευθερίας καὶ δουλείας σαφῶς. ἴσως γάρ τοι μάτην αὐτοὺς αἰτιάμεθα· οἱ δὲ παντὸς μᾶλλον ταῦτα ἴσασιν· εἰ οὖν ἔροιτό τις αὐτοὺς, ὅ, τι ἐστὶ τὸ ἐλεύθερον, φαῖεν ἂν ἴσως, τὸ μηδενὸς ὑπήκοον [4]), ἀλλὰ πράττειν ἁπλῶς τὰ δοκοῦντα ἑαυτῷ. τὸν δὲ τοῦτο ἀποκρινάμενον ἐάν τις ἐπερωτᾷ, εἰ ἐν χορῷ χορευτὴν ὄντα, μὴ προσέχειν τῷ κορυφαίῳ, μηδὲ ὑπήκοον εἶναι αὐτοῦ· ἀλλὰ ᾄδειν τε καὶ ἀπᾴδειν, ὅπως ἂν αὐτῷ ἐπίῃ· τοῦτο καλὸν οἴεται εἶναι καὶ ἐλευθέριον; τὸ δὲ ἐναντίον τούτου, τὸ προσέχειν τε καὶ πείθεσθαι τῷ ἡγεμόνι τοῦ χοροῦ, καὶ τότε ἄρχεσθαι καὶ παύεσθαι ᾄδοντα, ὁπόταν ἐκεῖνος κελεύῃ, αἰσχρὸν εἶναι καὶ δουλοπρεπές; οὐκ ἄν, οἶμαι, ὁμολογῇ. οὐδὲ εἴ τις ἐρωτήσειε, πλέοντα μὴ φροντίζειν τοῦ κυβερνήτου, μηδὲ ποιεῖν ἅττ' ἂν ἐκεῖνος εἴποι, εἰ τὸ τοιοῦτον ἐλευθέριον οἴοιτο; οἷον κελεύσαντος καθῆσθαι, ἑστάναι ἐν τῇ νηΐ, ἂν αὐτῷ μὴ ἐπίῃ· κελεύσῃ [5]) ἀντλεῖν ποτε, ἢ συνέλκειν τὰ ἱστία, μήτ' ἀντλῆσαι, μήθ' ἅψασθαι τῶν κάλων· οὐδὲ τοῦτον εἴποι ἂν ἐλεύθερον, οὐδὲ ζηλωτὸν, ὅτι πράττει τὰ δοκοῦντα αὐτῷ· καὶ μὴν, τούς γε στρατιώτας οὐκ ἂν φαίη δούλους εἶναι, δι' ὅτι ὑπήκοοί εἰσι τοῦ στρατηγοῦ, καὶ τότε ἀνίστανται, ὁπόταν ἐκεῖνος προστάξῃ· καὶ σῖτον αἱροῦνται, καὶ ὅπλα λαμβάνουσι, καὶ παρατάττονται καὶ ἐπίασι, καὶ ἀναχωροῦσιν οὐκ ἄλλως, ἢ τοῦ στρατηγοῦ κελεύσαντος· οὐδέ γε τοὺς κάμνοντας, ὅτι πείθονται τοῖς ἰατροῖς, οὐ διὰ τοῦτο φήσουσι δούλους εἶναι· καίτοι οὐ

 σμι-

3) τε] aut γε aut τι lege.

4) post ὑπήκοον excidit εἶναι, quod etiam interpreti latino visum fuit, viroque docto, qui id in margine Venetae annotauit, aut, si hoc nolumus, leg. erit πράττον in partic.

5) ante κελεύσῃ addendum esse κἂν e codice regio Morellus admonuit.

σμικρά γε οὐδὲ ῥᾴδια πείθονται αὐτοῖς· ἀλλὰ καὶ πεινῆν καὶ διψῆν ἐνίοτε προσάττουσιν· κἂν δόξῃ ποτὲ τῷ ἰατρῷ τὸν κάμνοντα δῆσαι, παρακρῆμα ἐδέθη, κἂν τεμεῖν, ἢ καῦσαι, καυθήσεται καὶ τμηθήσεται, ἐφ' ὅσον ἂν ἐκείνῳ δοκῇ. ἐὰν δὲ μὴ πείθηται, πάντες οἱ ἐν τῇ οἰκίᾳ τῷ ἰατρῷ συναγωνιῶνται, ἐ μένον οἱ ἐλεύθεροι, ἀλλὰ πολλάκις [6]) οἱ τὸ νοσοῦντος οἰκέται αὐτοὶ καταδοῦσι [7]) τὸν δεσπότην, καὶ πῦρ κομίζουσιν, ὅπως καυθήσεται, καὶ τἆλλα ὑπηρετοῦσι. μὴ ἂν ἐ φῇς ἐλεύθερον εἶναι [8]) τὸν ἄνδρα τοῦτον, ὅτι πολλὰ καὶ ἀηδῆ, ἑτέρου κελεύοντος, ὑπομένει; ἐ γὰρ δήπου τὸν Περσῶν βασιλέα Δαρεῖον ἐκ ἂν ἔφῃς ἐλεύθερον εἶναι, ἐπειδὴ κατατρεσὼν ἀπὸ τοῦ ἵππου ἐν κυνηγεσίοις, τῷ ἀσραγάλῳ ἐκχωρήσαντος, ὑπήκουε τοῖς ἰατροῖς ἕλκουσι καὶ σφυρὸν αὐτοῦ τὸν πόδα, ὅπως κατασήσεται αὐτοῦ τὸ ἄρθρον, καὶ ταῦτα Αἰγυπτίοις ἀνθρώποις ἐδ' οὗ ἔρξην [9]), ὁπηνίκα ἀναχωρῶν ἐκ τῆς Ἑλλάδος, καὶ χειμαζόμενος ἐν τῇ νηΐ, πάντα ἐπείθετο τῷ κυβερνήτῃ, καὶ παρὰ τὴν ἐκείνου γνώμην ἐκ ἐπέτρεπεν αὐτῷ, ἐδὲ πλεῦσαι,

6) f. ἀλλὰ καὶ πολλάκις.

7) malim καταδοῦσιν, vt vſitatius.

8) μὴ ἂν — εἶναι] idem eſt, ac ſi dixiſſet μὴ ἂν φήσεις εἶναι τὸν ἄνδρα τοῦτον ἐκ ἐλεύθερον. *tu itaque iam non affirmabis, hunc hominem eſſe non liberum*: vt ſtatim poſt: ἐ γὰρ δήπου — ἐλεύθερον εἶναι, idem eſt, ac ſi dixiſſet ἐ γὰρ δήπου ἔφης τὸν Δαρεῖον εἶναι ἐκ ἐλεύθερον. *non enim profecto auſis affirmare, Darium liberum haud eſſe.* quia tamen p. 439, 4. φήσουσιν et ἐρεῖσιν ſequitur, ideo malim hic quoque loci ἂν ἐ φήσουσιν, *non igitur iam negabunt*, (ii puta, ſi quos de ſeruitute et libertate interrogemus) *ideo quemquam liberum eſſe, quod moleſtias habeat perferendas.* nam optime reſpondet p. 439, 4. *neque rurſus aient eam eſſe libertatem, ſi quis, quicquid lubeat, id faciat.* Pari modo ἔφης v. 13. mutatum velim cum ἔφησαν. *non facile ſint affirmaturi.*

9) ξέρξην] ſic recte dat Veneta, ſcil. negabis liberum eſſe, Morell. dat ξέρξης.

νεῦσαι, οὐδὲ μεταβῆναι, δοκεῖντι μηδενὸς ἀνθρώπων
25. ὑπακούειν [10]). οὐδὲ τὸ πράττειν, ὅ, τι ἄν τις ἐθέλῃ, ἐλευθερίαν ἔτι φήσουσιν εἶναι. ἀλλ' ἴσως ἐροῦσιν, ὅτι ἔστι μὲν ἐπὶ τῶν αὐτῶν συμφέροντι ὑπακούσουσιν, ὡς οἱ πλέοντες τῷ κυβερνήτῃ, καὶ οἱ στρατιῶται τοῖς
30. στρατηγοῖς, καὶ οἱ κάμνοντες δὲ τῷ ἰατρῷ διὰ τοῦτο πείθονται. οὐδὲ γὰρ ἄλλ' ἅττα προστάττουσιν ἕτοι, ἢ τὰ συμφέροντα αὐτοῖς· οἱ δέ γε δεσπόται τοῖς δούλοις ἃ τὰ αὐτὰ [11]) ἐπιτάττουσιν, ἃ ἐκείνοις συν-
35. οίσει, ἀλλ' ὥσπερ αὐτοῖς οἴονται λυσιτελεῖν. τί δὲ δή; ἆρά γε [12]) συμφέρει τῷ δεσπότῃ τεθνάναι τὸν οἰκέτην, ἢ νοσεῖν, ἢ πονηρὸν εἶναι; οὐδεὶς ἂν εἴποι. ἀλλὰ τἀναντίον, οἶμαι, τό τε ζῆν καὶ ὑγιαίνειν
40. καὶ χρηστὸν εἶναι. τὰ αὐτὰ δὲ ταῦτα φανεῖται καὶ τῷ οἰκέτῃ συμφέροντα· ὥστε καὶ τῷ οἰκέτῃ ὁ δεσπότης, οὐδὲν ἧττον, ἅπερ ἔχει νῦν, τὰ συμφέροντα ἐκείνῳ προσάξει· ταῦτα γὰρ καὶ αὐτῷ φανήσεται ξυμφέρειν. ἀλλὰ ὑπὲρ ὅτου ἄν τις ἀργύριον
45. καταβεβλοι [13]), ἕτος ἐξ ἀνάγκης δοῦλός ἐστιν; ἐπεὶ πολλοὶ περὶ πολλῶν καὶ ἐλευθέρων [14])

10) forte simplex ἀκούειν hic melius conueniat, quia μηδενὸς praeceſſit. nam, ſi bene memini, ὑπακούειν ſolummodo cum dativo conſtruitur. In meo opuſculo Dioneo vocabulum δοκεῖντι mutaueram in ἐκ ἂν τὸ, et punctum commate; vt ſententia eſſet: *Itaque non amplius aiens libertatem hanc eſſe, vt nemo nemini obtemperet, neque hanc, vt quicquid quisque velit, id agat.* qua de coniectura iudicium penes lectorem eſto. v. p. 437, 5.

11) τὰ αὐτὰ] malim ταῦτα.

12) poſt ἆρά γε addunt Ven. et Mor. ἔν, quod recte abeſt a codice regio. aut eius loco ſubſtituatur οἷον *exempli cauſa.*

13) praeferam rurſus e regio καταβάλῃ.

14) in aliis eſt καὶ ἐπ' ἐλευθέρων. videtur vtraque lectio ſic componenda et reformanda eſſe: καὶ ἐλευθέρων ἐπ' ἐλευθερίᾳ καταβεβλήκασιν ἀργύριον. *multi pro multis iisque natu liberis aes dependerunt, quo amiſſam libertatem recuperarent.*

καταβεβλήκασιν ἀργύριον· οἱ μὲν πολεμίοις, οἱ δὲ λῃςαῖς λύτρα διδόντες; οἱ δέ τινες τὴν αὑτῶν τιμὴν καταβεβλήκασι τοῖς δεσπόταις· καὶ οὐ δήπου δοῦλοί εἰσιν οὗτοι αὐτῶν. ἀλλὰ μὴν, ὃν ἂν ἐξῇ ἑτέρῳ μαςιγῶσαι καὶ δῆσαι καὶ ἀνελεῖν καὶ ἄλλ', ὅ, τι ἂν βούληται, ἐργάσασθαι, οὗτος ἐκείνου δοῦλός ἐςι; τί δαί; οὐκ ἔξεςι τοῖς λῃςαῖς ταῦτα ποιεῖν τοὺς ληφθέντας; καὶ οὐδὲν μᾶλλον δοῦλοί εἰσι [15]). τί δέ; τοῖς δικαςαῖς οὐκ ἔξεςι τιμᾶν καὶ δεσμοῦ καὶ θανάτου καὶ ἄλλου, ὅτου ἂν βούλωνται πολλοῖς τῶν κρινομένων; καὶ οὐ δήπου δοῦλοί εἰσιν οὗτοι. εἰ δὲ μίαν ἡμέραν, ἐν ᾗ κρίνεται ἕκαςος, οὐδὲν τοῦτο [16])· καὶ γὰρ μίαν ἡμέραν ἤδη τις λέγει γενέσθαι δοῦλος. ἀλλὰ μὴν, ἑνὶ λόγῳ συλλαβόντα χρὴ ἀποφήνασθαι, ὡς, ὅτῳ μὲν ἔξεςιν ὃ βούλεται πράττειν, ἐλεύθερός ἐςιν· ὅτῳ δὲ μὴ ἔξεςι, δοῦλος. οὐδ' ἐπὶ [17]) τῶν πλεόντων, οὐδὲ τῶν καμνόντων, οὐδὲ τῶν ςρατευομένων, οὐδὲ τῶν μανθανόντων γράμματα, ἢ κιθαρίζειν, ἢ παλαίειν, ἢ ἄλλην τινὰ τέχνην, ἐρεῖς αὐτό· οὐ γὰρ ἔξεςι τούτοις πράττειν, ὡς αὐτοὶ ἐθέλουσιν, ἀλλ' ὡς ὅ, τε κυβερνήτης καὶ ἰατρὸς [18]) καὶ διδάσκαλος προστάττει [19]). οὐ τοί-

15) οὐδὲν μᾶλλον δοῦλοί εἰσι] sic recte Anglus. οὐδὲν ἧττον δοῦλοι — Ven. et Morell. Haud raro ista μᾶλλον et ἧττον inter se vitiose permutantur. exemplum est in annotat. Morelli ad p. 240, 32. ed. Mor. Casaubonus addit post δοῦλοι, οὐκ.

16) οὐδὲν τοῦτο] scil. πρὸς τὸ ἐρώτημα, vel πρὸς τὴν θέσιν. nihil hoc facit ad rem praesentem, non mutat quaestionem, non satisfacit ei.

17) fort. δοῦλος. ἀλλ' οὐδ' ἐπὶ.

18) post ἰατρὸς addendum esse καὶ ςρατηγὸς e superioribus constat (v. v. 17. οὐδὲ τῶν ςρατευομένων.)

19) προςάττει] sic dedi. vidit idem Anglus quoque et Valesius Emendat. p. 53. et res ipsa monstrat. Veneta et Morell. dant πράττει. Saepissime haec duo verba inter se permutantur ex errore in sigla commisso.

ἐ τοίνυν ἐδὲ τοῖς ἄλλοις ἔξεστιν ἃ ἐθέλουσι πρᾶξαι, ἀλλ' ἐάν τις παρὰ τὰς νόμους τὰς κειμένους πράττῃ, ζημιώσεται. ἐκεῖνο ὅσα μὴ ἀπείρηται [20]) ὑπὸ τῶν νόμων, μηδὲ προστέτακται, ὁ περὶ τούτων ἔχων αὐτὸς τὴν ἐξουσίαν τῷ πράττειν, ὡς βούλεται, ἢ μή, ἐλεύθερος, ὁ δὲ τἀναντία, ἀδύνατος [21]), δοῦλος. τί δαί; οἴει σοι ἐξεῖναι, ὅσα μὴ ἀπείρηται μὲν ὑπὸ τῶν νόμων ἐγγεγράφως, αἰσχρὰ δὲ ἄλλως δοκεῖ τοῖς ἀνθρώποις καὶ ἄτοπα· λέγω δὲ, οἷον τελωνεῖν, ἢ πορνοβοσκεῖν, ἢ ἄλλα ὅμοια πράττειν; ἐ μὰ Δία, φαίην [22]) ἂν, ἐδὲ τὰ τοιαῦτα ἐξεῖναι τοῖς ἐλευθέροις. καὶ γὰρ περὶ τούτων ἐπίκειται ζημία, τὸ μισεῖσθαι ἢ δυσχεραίνεσθαι ὑπὸ τῶν ἀνθρώπων. τί δαί; τοῖς ἀκολάστοις ἀνθρώποις, ὅσα ποιοῦσι διὰ τὴν ἀκολασίαν, καὶ τοῖς ἀνοήτοις, ὅσα διὰ τὴν ἄνοιαν, ἢ ἀσίοις ἀμελοῦντες, ἢ σώφροσι, ἢ ἀδίκως καὶ ἀγνωμόνως προσφερόμενοι ἀλλήλοις, ἐ πάντα ταῦτα ἐπιζήμια τοῖς ποιοῦσιν ἐστίν; ἢ γὰρ εἰς τὸ σῶμα, ἢ τὴν ἀσίαν, ἢ τὸ μέγιστον, τὴν ψυχὴν τὴν αὐτῶν βλάπτουσι. τοῦτο μὲν ἀληθὲς λέγεις. ἐκεῖνο ἐδὲ ταῦτα ἔξεστι πράττειν; ἐ γὰρ ἔν. ἐνὶ δὴ λόγῳ, τὰ μὲν φαῦλα καὶ ἄτοπα καὶ ἀσύμφορα ἐκ ἔξεστι πράττειν· τὰ δὲ δίκαια καὶ συμφέροντα καὶ ἀγαθὰ, χρὴ φάναι, ὅτι προσήκει τε καὶ ἔξεστιν; ἐμοὶ γοῦν δοκεῖ. ἐκεῖνο ἐδενὶ τά τε φαῦλα καὶ ἀσύμφορα ποιεῖν, ἀζήμιόν ἐστιν, ἔτε Ἕλληνι, ἔτε βαρβάρῳ, ἔτε ὑπὲρ ὅτου τις τιμὴν δέδωκεν ἀργύριον. ἃ γὰρ ἔν. τὰ δέ γε ἐναντία πᾶσιν ὁμοίως ἐφεῖται· καὶ οἱ μὲν τὰ ἐφειμένα [23]) πράττοντες, ἀζήμιοι διατελοῦσιν· οἱ δὲ τὰ κεκωλυμένα, ζημιοῦνται. ἄλλοι

20) malim μηδ' ἀπείρηται.

21) ἀδύνατος] scil. πράττειν ὃ βούλεται.

22) Φαίην] hic incipit dialogismus.

23) ἐφειμένα] sic codex regius et vir doctus in Veneta mea, sed Veneta et Morell. dant ἐφιεμένα.

ἂν δοκῶσί σοι πράττειν ἃ ἐξεῖναι, ἢ οἱ ἐπισάμενοι ταῦτα, καὶ ἄλλοι τοὐναντίον, ἢ οἱ ἀγνοοῦντες; ἀδαμῶς. ἐκεῖνοι οἱ φρόνιμοι[24]) ὅσα βέλονται πράττειν, ἔξεστιν αὐτοῖς· οἱ δὲ ἄφρονες, ἃ βέλονται, οὐκ ἔξον, ἐπιχειροῦσι πράττειν· ὥστε ἀνάγκη, τοὺς μὲν φρονίμους ἐλευθέρους τε εἶναι, καὶ ἐξεῖναι αὐτοῖς ποιεῖν, ὡς ἐθέλουσι· τοὺς δὲ ἀνοήτους δούλους τε εἶναι, καὶ ἃ μὴ ἔξεστιν αὐτοῖς, ταῦτα ποιεῖν; ἴσως. ἐκεῖνο καὶ τὴν ἐλευθερίαν χρὴ λέγειν ἐπιστήμην τῶν ἐφεμένων[25]) καὶ τῶν κεκωλυμένων, τὴν δὲ δουλείαν, ἄγνοιαν ὧν τε ἔξεστι καὶ ὧν μή. ἐκ δὲ τούτου τοῦ λόγου, εἰ δὲν ἂν κωλύοι, τὸν μέγαν βασιλέα, πάνυ μεγάλην τιμὴν ἐπὶ τῆς κεφαλῆς ἔχοντα, δοῦλον εἶναι, καὶ μὴ ἐξεῖναι αὐτῷ πράττειν μηδὲν ὧν ποιεῖ· πάντα γὰρ ἐπιζημίως καὶ ἀσυμφόρως πράττει· εὖλλον δέ τινας δοῦλον δοκοῦντα καὶ ὀνομαζόμενον, οὐχ ὕπαξ, ἀλλὰ πολλάκις, ἂν ἔτω τύχῃ, πεπραμένον, εἰ δὲ ἄρα τοῦτο[26]) συμβαίνοι, πέδας πάνυ παχείας ἔχοντα, μᾶλλον ἐλεύθερον εἶναι τοῦ μεγάλου βασιλέως. ἐμοὶ μὲν σφόδρα δοκεῖ ἄτοπον, εἰ πέδας ἔχων τις, ἢ ἐστιγμένος, ἢ ἐν μύλωνι ἀλῶν, ἐλεύθερος ἔστιν μᾶλλον τοῦ μεγάλου βασιλέως. τί δέ; ἐν Θρᾴκῃ γέγονας; ἔγωγε. ἑώρακας ἂν ἐκεῖ τὰς γυναῖκας τὰς ἐλευθέρους στιγμάτων μεστὰς, καὶ τοσούτῳ πλείονας ἐχούσας στίγματα καὶ ποικιλώτερα, ὅσῳ ἂν βελτίους καὶ ἐν βελτιόνων δοκῶσι; τί ἂν τοῦτο[27]); ὅτι βασίλισσαν, ὡς ἔοικεν, οὐδὲν κωλύει ἐστιγμένην εἶναι,

24) ἐκεῖνοι οἱ φρόνιμοι] sic codex regius. Ven. et Morell. omittunt οἱ.

25) ἐφεμένων] sic dedi. ἐφιεμένων Ven. et Mor.

26) malim εἰ δ' ἄρα καὶ τοῦτο συμβ. et (*si hoc quoque contingat*). pro συμβαίνοι dat var. lect. Venetae συμβαίνει.

27) Veneta dat ἂν δὴ τοῦτο, fine τι, quod vir doctus adscripsit.

εἶναι, βασιλέα δὲ οἴει κωλύειν [28]); σὺ τοίνυν οὐδὲ περὶ ἐκείνου τοῦ ἔθνους ἀκήκοας, παρ' οἷς ὁ βασιλεὺς ἐν πύργῳ πάνυ ὑψηλῷ φυλάττεται, καὶ οὐκ ἔξεστιν αὐτῷ καταβῆναι ἀπὸ τοῦ πύργου; εἰ δέ γε ἀκηκόεις, ἠπίστω ἄν, ὅτι καὶ δεδεμένον ἐστὶν εἶναι βασιλέα [29]) περιειργμένον. καὶ τυχὸν ἤκουες ἂν ἐκείνων τῶν ἀνθρώπων θαυμαζόντων, εἰ διηγοῦ σὺ περὶ τοῦ Περσῶν βασιλέως, καὶ ἀπιστούντων, ὅτι ἐστί τις βασιλεὺς, περιελαύνων ἐφ' ἅρματος, καὶ ὅποι βούληται ἀπιών. ἀλλὰ δεδεμένον οὐκ ἀποδείξεις βασιλέα; οὐ τῶν γε ἀνθρώπων τυχόν· ἐπεὶ ὅ γε τῶν θεῶν βασιλεὺς ὁ πρῶτος καὶ πρεσβύτατος δέδεται, ὥς φασιν· εἰ χρὴ πιστεύειν Ἡσιόδῳ τε καὶ Ὁμήρῳ, καὶ ἄλλοις σοφοῖς ἀνδράσιν, οἳ περὶ Κρόνου ταῦτα λέγουσι. καὶ μὰ Δία οὐχ ὑπ' ἐχθροῦ ἀδίκως παθόντα [30]) τοῦτο; ἀλλ' ὑπὸ τοῦ δικαιοτάτου καὶ φιλτάτου, δηλονότι ὡς βασιλικὰ καὶ συμφέροντα ἐκείνῳ δρῶντος. οἱ δὲ τοῦτο μὲν ἀγνοοῦσι [31]), καὶ οὐδέποτ' ἂν οἰηθεῖεν πτωχὸν ἢ δεσμώτην ἢ ἄδοξον γενέσθαι βασιλέα; καίτοι τὸν Ὀδυσσέα ἀκούοντες, ὅτι πτωχὸς ὤν, καὶ τοὺς μνηστῆρας αὐτῶν, οὐδὲν ἧττον βασιλεὺς ἦν, καὶ τῆς οἰκίας

28) f. οἴει τι κωλύειν, aut οἴει πολλὰ κωλύειν. vir doctus in Veneta mea adscripserat κωλύεσθαι.

29) f. ὅτι καὶ περιειργμένον ἐστὶν εἶναι βασιλέα, sine δεδεμένον. nam eo seruato, stultum esset opponere istud ἀλλὰ δεδεμένον οὐκ ἀποδείξεις βασιλέα. concedo, exemplum a te allatum esse regis intra moenia coerciti, et libertate eundi, quo velit, priuati, qui tamen rex, eoque liber sit nihilominus. At compedibus certe vinctum tu mihi regem nullum ostendes. respondet Dio: Forsitan fiat, vt exemplum regis hominis vincti nullum reperiam; at inter deos tamen est Saturnus —.

30) παθόντα si bene habet, e proximo subaudiri debet λέγουσι. ego vero nullus dubito h. l. φασὶ deesse; vt sit ἀδίκως φασὶ παθόντα τοῦτο.

31) f. οἱ δὲ πολλοὶ τοῦτο μὲν ἀγνοοῦσι.

οἰκίας κύριος· ὁ δὲ Ἀντίνοος καὶ ὁ Εὐρύμαχος, ὡς Ὅμηρος ὠνόμαζε βασιλέας, ἄθλιοι καὶ δυστυχεῖς. ἀλλὰ ταῦτα μὲν, ὡς ἔφην, ἀγνοοῦσι· σημεῖα δὲ αὐτοῖς περιτιθέασι τιάρας καὶ σκῆπτρα καὶ διαδήματα, μὴ λάθωσι βασιλεῖς ὄντες· ὥσπερ, οἶμαι, τοῖς βοσκήμασι χαρακτῆρας ἐπιβάλλουσιν οἱ δεσπόται, ὅπως ἐπίσημα ἔσται [32]). τοιγαροῦν ὁ Περσῶν βασιλεὺς, ὅπως μὲν ἔχει μάνης ὀρθὴν τὴν τιάραν, ἐφρόντιζεν· καὶ εἴ τις ἄλλος τοῦτο ἐποίησεν, εὐθὺς ἐτέλευτεν ἀποθνήσκων αὐτὸν, ὡς ἓν ἐνὸν, ἐδὲ συμφέρον, ἐν τοσαύταις μυριάσιν ἀνθρώπων δύο εἶναι φρονοῦντας τιάρας ὀρθάς [33]· ὅπως δὲ τὴν γνώμην ὀρθὴν ἕξει, καὶ μηδεὶς ἄλλος φρονήσει αὐτοῦ σοφώτερον [34]), ἐδὲν αὐτῷ ἔμελεν. μὴ ἓν [35]); ὥσπερ τῆς βασιλείας τῆς τότε τοιαῦτα ὑπῆρχε σημεῖα, καὶ νῦν δεῖ τῆς ἐλευθερίας τοιαῦτα ὑπάρχειν σύμβολα, καὶ βαδίζειν πῖλον ἔχοντα ἐπὶ τῆς κεφαλῆς, ἄλλως δὲ ἐ δυνησόμεθα γνῶναι τὸν ἐλεύθερον, ἢ τὸν δοῦλον.

32) ἔσαι] sic aut cum Anglo leg. est, aut εἴη. Ven. et Mor. dant ἐσι.

33) τιάρας ὀρθὰς] sic recte Casaubonus. Ven. et Mor. omittunt ὀρθὰς.

34) σοφώτερον] sic aut cum Veneta et codice regio leg. est, aut σοφώτερα in plur. σοφώτερος Morell.

35) μὴ ἓν] ergone? v. Morelli annotat. ad p. 438, 10.

ΠΕΡΙ

ΠΕΡΙ ΔΟΥΛΕΙΑΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑΣ, ΔΕΥΤΕΡΟΣ.

ΛΟΓΟΣ ΙΕ'.

Ἀλλὰ μὴν ἔναγχος παρεγενόμην τισὶ διαμφισβη-
5. τῆσι περὶ δουλείας καὶ ἐλευθερίας, ἐκ ἐπὶ δικαστῶν, ἀλλ' ἐν τῇ ἀγορᾷ, ὑτωσὶ δὲ κατ' οἰκίαν, ἐπὶ χρόνον πάμπολυν. καὶ παρῆσαν ἑκατέρῳ τοὶν ἀνδροῖν ὐκ ὀλίγοι σπουδάζοντες. ἐτύγχανον γὰρ ὑπὲρ ἄλλων πρότερόν ἀντιλέγοντες, ὡς ἐμοὶ δοκῆσιν· ἡττώμενος
10. δὲ ἐν τοῖς λόγοις ἕτερος καὶ διαπορῶν, εἰς λοιδορίαν ἐτράπετο· ὥσπερ εἰώθε τῆτο συμβαίνειν πολλάκις· καὶ ὠνείδισεν ὡς ἐλεύθερον [1]) ὄντα τὸν ἕτερον. καὶ ὃς πάνυ πραέως ἐμειδίασέ τε καὶ εἶπε· πόθεν
15. δὲ ἐσιν, ὦ ἄριστε, εἰδέναι, ὅσις δοῦλος, ἢ ὅσις ἐλεύθερος; ναὶ μὰ Δία, ἔφη. ἐπίσαμαι γὰρ ἐμαυτὸν μὲν ἐλεύθερον ὄντα καὶ τέτες ἅπαντας· σοὶ δὲ ὐδὲν προσῆκον ἐλευθερίας. καί τινες τῶν παρόντων
20. ἐγέλασαν. καὶ ὃς ὐδέν τι μᾶλλον ἠσχύνθη· ἀλλ' ὥσπερ οἱ ἀλεκτρυόνες πρὸς τὴν πληγὴν ἐπεγείροντα καὶ θαῤῥοῦσιν, κἀκεῖνος ἐπηγέρθη καὶ ἐθάῤῥησε πρὸς τὴν λοιδορίαν, καὶ ἤρετο αὐτὸν, ὁπόθεν τῆτο
25. ἐπίσατα, τὸ περί τε αὐτῆ [2]), καὶ περὶ ἐκείνε. ὅτι, ἔφη, τὸν μὲν ἐμαυτῆ πατέρα ἐπίσαμαι Ἀθηναῖον ὄντα, εἴπερ τις ἄλλος· τὸν δὲ σὸν, οἰκέτην τῆ δεῖνος, εἰπὼν τὸ ὄνομα. καὶ ὃς, τί ἂν, εἶπε, κατὰ
30. τῆτο κωλύει με, ἐν Κυνοσάργει ἀλείφεσθαι μετὰ τῶν νόθων, εἴπερ ἐκ μητρὸς ἐλευθέρας, ἴσως δὲ καὶ ἀσῆς τυγχάνω γεγονὼς, καὶ πατρὸς, ἃ σὺ φῄς; ἢ ἃ πολ-

1) f. ὠνείδισεν ὡς ἐκ ἐλεύθ. et sic Morellus quoque coniecit.
2) αὐτῆ redit ad eum, cui seruilis conditio exprobrabatur, ἐκείνε ad eum, qui conuicio hoc alterum petisset.

ἢ πολλαὶ αὐταὶ γυναῖκες δι' ἐρημίαν τε καὶ ἀπορίαν, αἱ μὲν ἐκ ξένων ἐκύησαν, αἱ δὲ ἐκ δούλων; τινὲς μὲν ἀγνοοῦσαι τοῦτο, τινὲς δὲ καὶ ἐπισάμεναι; καὶ οὐδεὶς δοῦλός ἐστιν, ἀλλὰ μονονὺ[3] Ἀθηναῖος, τῶν οὕτω γεννηθέντων. ἀλλ' ἐγώ σε, ἔφη, καὶ τὴν μητέρα ἐπίσαμαι ὁμόδουλον τοῦ πατρός. εἶεν, ἔφη, τὴν δὲ σαυτῆς οἶσθα; πάνυ μὲν οὖν· αὐτὴν ἐξ αὐτῶν, καὶ προῖκα ἱκανὴν ἐπενηνεγμένην. ἢ καὶ ἔχοις ἂν ὁμόσαι εἰπεῖν, ὡς, ἐξ ἧς φησιν ἐκείνη, ἐκ τούτου γέγονας; ὁ μὲν γὰρ Τηλέμαχος ἀπάνυ ἠξίου διατείνεσθαι ὑπὲρ Πηνελόπης τῆς Ἰκαρίου, σφόδρα σώφρονος δοκούσης γυναικὸς, ὅτι ἀληθῆ λέγει, τὸν Ὀδυσσέα ἀποφαίνουσα αὑτῇ πατέρα· σὺ δὲ ἃ μόνον ὑπὲρ σαυτῆς, ἀλλὰ καὶ[4] τῆς σῆς μητρὸς, ἐάν κελεύσῃ σέ τις, ὀμόσαι ἴσως ἔοικας. ἀλλὰ καὶ περὶ δούλης ἠσινοσῦν, ἐξ ὅτου ποτὲ ἐκύησεν, ὥσπερ ἣν λέγεις ἐμὴν μητέρα. ἀδύνατον γάρ σοι δοκεῖ εἶναι ἐξ ἄλλου ἀνδρὸς κυῆσαι ἐλευθέρου, ἢ καὶ τῆς αὐτῆς δεσπότου· ἃ πολλοὶ Ἀθηναίων συγγίνονται θεραπαίναις αὐτῶν, οἱ μέν τινες κρύφα, οἱ δὲ καὶ φανερῶς; ἃ γὰρ δήπου βέλτιόν εἰσι πάντες τοῦ Ἡρακλέους, ὃς οὐδὲ τῇ Ἰαρδάνου δούλῃ συγγενέσθαι ἀπηξίωσεν, ἐξ ἧς ἐγένοντο οἱ Σαρδέων βασιλεῖς. ἔτι δὲ ἃ δοκεῖ σοι, ὡς ἔοικε, Κλυταιμνήστρα, Τηνδάρεω μὲν θυγάτηρ, γυνὴ δὲ Ἀγαμέμνονος, μὴ μόνον Ἀγαμέμνονι συνεῖναι, τῷ αὐτῆς ἀνδρὶ, ἀλλὰ καὶ, ἀποδημήσαντος ἐκείνου, Αἰγίσθῳ συγγενέσθαι; καὶ Λερόπῃ, ἢ Ἀτρέως γυνὴ, τὴν Θυέστου προσδέξασθαι ὁμιλίαν; καὶ ἄλλαι πολλαὶ καὶ πάλαι καὶ νῦν ἐνδόξων καὶ πλουσίων ἀνδρῶν γυναῖκες, ἑτέροις συγγίνεσθαι, καὶ παῖδας ἐνίοτε ἐξ ἐκείνων

3) μονονὺ — ἐγώ σε] sic codex regius. μονονὺ — ἐγώ σοι Ven. et Morell.

4) σαυτῆς, ἀλλὰ καὶ] tria haec verba delenda videntur, vt aliena ab h. l. et sententiam interturbantia.

γων ποιεῖσθαι· ἢν δὲ σὺ λέγεις θεραπαινεν, ἔτω πάνυ ἀκριβῶς φυλάττειν τὰ πρὸς τὸν ἄνδρα τὸν αὑτῆς, ὥστε μὴ ἂν ἑτέρῳ συγγίνεσθαι; ἔτι δὲ καὶ περὶ σαυτῆ καὶ περὶ ἐμῆ διαβεβαιοῖς, ὡς ἑκάτερος ἡμῶν ἐστι τῆς δοκούσης καὶ λεγομένης μητρός; καίτοι παῖδες Ἀθηναίων ἔχοις ἂν εἰπεῖν καὶ τῶν πάνυ γνωρίμων, οἱ ἐφάνησαν ὕστερον, ὁ μόνον πατρὸς, ἀλλὰ καὶ μητρὸς, ὑφ' ἧς ἐλέγοντο, ὑποβολιμαῖοι ποθὲν τραφέντες. καὶ ταῦτα σὺ ἑκάστοτε ὁρᾷς δεικνύμενα καὶ λεγόμενα ὑπὸ τῶν κωμῳδιοδιδασκάλων, καὶ ἐν ταῖς τραγῳδίαις· καὶ ὅμως οὐδὲν ἧττον ἰσχυρίζῃ καὶ περὶ σαυτῆ καὶ περὶ ἐμῆ, ὡς εὖ οἶδας, ὅπως γεγόναμεν, καὶ ἐκ τίνων. ἐκ οἵσθα, ἔφη, ὅτι κατηγορίας [5]) δίδωσιν ὁ νόμος γράψασθαι τοῦτον, ὃς ἂν βλασφημῇ τινα, ἐκ ἔχων ἀποδεῖξαι, περὶ ὧν λέγει, σαφῆ οὐδέν; καὶ ὃς, ἐπίσαμαι γὰρ, ἔφη, ὅτι μὴ μὲν ἐλεύθεραι γυναῖκες ὑποβάλλουσι παῖδας διὰ ἀπαιδίαν, ὅταν μὴ δύνωνται αὐταὶ κυῆσαι· βουλόμενοι κατασχεῖν ἑκάστη τὸν ἄνδρα τὸν ἑαυτῆς, καὶ τὸν οἶκον, καὶ ἅμα ἐκ ἀπορρήσασι, ὅθεν τὰς παῖδας θρέψωσι. τὰς δὲ δούλας τοὐναντίον, τὰς μὲν, πρὸ τῆ τόκῳ διαφθειρούσας, τὰς δὲ ὕστερον, ἐὰν δύνωνται λαθεῖν, τὸ γινόμενον· ἔτι καὶ [6]) τῶν ἀνδρῶν συνειδότων, ὅπως μὴ πράγματα ἔχωσι, παιδοτροφεῖν ἀναγκαζόμενοι πρὸς τῇ δαλείᾳ. ναὶ μὰ Δία, ἔφη, πλὴν γέ τῆς Οἰνέως [7]) τῆ Πανδίωνος, ἔπη, νόθῃ παιδός. ὁ γὰρ ἐκείνῃ νομεὺς ὁ ἐν ταῖς Ἐλευθέραις, καὶ

5) κατηγορίας] imo vero καπηγορίας. res nota ex oratoribus graecis. v. Salmasii Observ. ad Ius Atticum p. 254.

6) f. ἔτι δὲ καὶ τ.

7) τῆς Οἰνέως] sic bene et feliciter emendauit Anglus, scil. δούλης. praeter ancillam Oenei, qui fuit filius nothus Pandionis. τῆς οἰήσεως Ven. et Mor. Morellus praeterea e codice regio Πανδίονος et Ἀμφίονα corrigit. ἐκείνῃ] Oenei puta.

καὶ ἡ γυνὴ ἡ τῦ νομέως, ἃ μόνον ἐκ ἐξετίθεσαν αὐτοὶ γεννήσαντες, ἀλλὰ καὶ ἀλλότρια εὑρόντες ἐν τῇ ἐδῶ παιδίᾳ [8]), ἐκ εἰδότες, ὅτε ποτὲ ἦσαν, ἀνελόμενοι ἔτρεφον, ὡς αὐτῶν, καὶ ἐδὲ ὕστερον ἐκόντες, ἐδὲ ποτε ὡμολόγησαν, ὅτι ἀλλότριοι ἦσαν. σὺ δὲ ἴσως καὶ τὸν Ζῆθον καὶ τὸν Ἀμφίονα ἐλοιδόρεις ἄν, πρὶν φανερὸς γενέσθαι, καὶ δωμύσο ὡς περὶ δήλων τῶν τῦ Διὸς υἱέων. καὶ ὃς γελάσας παίνυ εἰρωνικῶς· τὰς τραγῳδὰς, ἔφη, καλεῖς μαίστυρας οἷς γε πιστεύουσιν, ἔστιν, οἱ Ἕλληνες. ἐς γὰρ ἐκεῖνοι [9]) ἀποδεικνύουσιν ἥρωας, τούτοις Φαίνονται [10]) εἰσαγίζοντες ὡς ἥρωσι, καὶ τὰ ἱρὰ ἐκείνοις ὠκοδομημένα ἰδεῖν ἐστιν. ὅμως δὲ ἐννόησον, εἰ βέλει, καὶ τὴν Φρυγίαν τὴν Πριάμε δῆλην, ἢ τὸν Ἀλέξανδρον ἐν τῇ Ἰδῃ ἐξέθρεψεν ὡς αὐτῆς υἱέα, λαβοῦσα παρὰ τῦ ἀνδρὸς βυκόλε ὄντος, καὶ τὴν παιδοτροφίαν ἐ χαλεπῶς ἔφερεν. Τήλεφον δὲ, τὸν Αὔγης καὶ Ἡρακλέους, ἐχ ὑπὸ γυναικὸς, ἀλλ' ὑπὸ ἐλάφε, τραφῆναι λέγουσιν. ἢ δοκεῖ σοι ἔλαφος μᾶλλον ἐλεῆσαι ἂν βρέφος, καὶ ἐπιθυμῆσαι τρέφειν, ἢ ἄνθρωπος, ἐαν τύχῃ οὖσα; φέρε δὴ πρὸς θεῶν· εἰ δὲ δὴ προσομολογήσαιμί σοι τούτους εἶναί μου γονέας, οὓς σὺ φῂς, πόθεν οἶσθα περὶ τῆς ἐκείνων δουλείας; ἢ καὶ τὰς γονέας αὐτῶν ἤπίσω σαφῶς, καὶ ἕτοιμος εἶ καὶ περὶ ἐκείνων κατόμνυσθαι ἑκατέρε, ὅτι ἐξ ἀμφοῖν δούλοιν γεγόνασιν ἀμφότεροι, καὶ τὰς ἔτι πρότερον καὶ ἐξαρχῆς ἅπαντας; δῆλον γὰρ, ὡς, ἐάν περ ἐλεύθερος ᾖ τις τῶν ἐκ τῦ γένες, ἐκέτι οἷόν τε τὰς ἀπ' ἐκείνων [11]) δούλας ὀρθῶς νομίζεσθαι. τῦτο δὲ ἀ δυνατόν ἐστι, ὦ βέλτιστε, ὥς φασιν, ἐκ τῦ πάν-

8) παιδία] Zethum et Amphionem.
9) ἐκεῖνοι] poetae tragici.
10) Φαίνονται] reliqui graeci.
11) ἐκείνων] imo vero ἐκείνας.

παντὸς αἰῶνος, εἶναί τι γένος ἀνθρώπων, ἐν ᾧ ἢ ἅπαντες μὲν ἐλεύθεροι γεγόνασιν, οὐκ ἐλάττους δὲ τῶν οἱ δεδουλευκότες· καὶ νὴ Δία τύραννοι, καὶ βασιλεῖς, καὶ δεσμῶται, καὶ στιγματίαι, καὶ κάπηλοι, καὶ σκυτοτόμοι, καὶ τἆλλα ὅσα ἐν ἀνθρώποις ἐστίν, ἀπαύστους μὲν εὐεργεσίας [12]), ἀπαύστους δὲ βίους, ἀπαύστους δὲ τύχας καὶ ξυμφορὰς μεταλαχόντες. ἢ οὐκ οἶσθα τοῦτο ἕνεκεν [13]) τοὺς τῶν ἡρώων λεγομένων γένη, εὐθὺς εἰς θεοὺς οἱ ποιηταὶ ἀναφέρουσιν, ὥστε μηκέτι ἐξετάζεσθαι τὸ πρόσωπον [14]); καὶ τοὺς γε πλείονας αὐτῶν φασιν ἐκ Διὸς γεγονέναι, ἵνα μὴ αὐτοῖς οἵ τε βασιλεῖς καὶ οἱ οἰκισταὶ τῶν πόλεων καὶ ἐπώνυμοι, εἰς τοιαῦτα ἐμπίπτωσιν, ἃ δοκεῖ πᾶσι τοῖς ἀνθρώποις ἀνειδη εἶναι. ὥστε, εἴπερ ἔστιν ἔχειν τὰ τῶν ἀνθρώπων, ὡς ἡμεῖς τε καὶ ἄλλοι σοφοὶ φασιν, εὖ ἡμῶν φασιν, εἰδὲν ἂν μᾶλλόν σοι πρόσηκεν [15]) ἐλευθερίως κατὰ γένος, ἢ ὁτῳοῦν τῶν σοφῶν δοκούντων οἰκετῶν· εἰ μὴ ἄρα καὶ σὺ φθάσεις ἀναγαγὼν εἰς Δία, ἢ εἰς Ποσειδῶνα, ἢ Ἀπόλλωνα, τὸν σαυτοῦ πρόγονον, τὸν δέ γε ἐμὸν [16]) εἰς δάλυς. τὸ μὲν τοίνυν, ἔφη, τοῦ γένους [17]), καὶ τὸ τῶν προγόνων, ἐῶμεν· ἐπειδὴ ἔτι σοι δοκεῖ ἀσαφὲς εἶναι· ἴσως γάρ τοι ἀναφανήσῃ ὥσπερ Ἀμφίων καὶ Ζῆθος καὶ Ἀλέξανδρος ὁ Περιάμου γεγονώς. ἀλλὰ σέ γε αὐτὸν

12) εὐεργεσίας] imo vero ἐργασίας.
13) f. ἐκ οἶσθα, ὅτι τοῦτο ἕνεκα.
14) τὸ πρόσωπον] imo vero τὸ, vel τὰ πρόσω. *ulteriora, altiora*, quae antecesserunt ipsorum natales, id est patres et maiores.
15) malim προσήκοι, aut προσήκῃ.
16) ἐμοῦ] imo vero ἐμοῖς. In Veneta est τοῦ δέ γ' ἐμοὶ περὶ δουλείας. quod quid sibi velit haud video. in codice regio est ἐδέ γε ἐμοὶ περὶ δουλείας, vt in marg. Morell. repraesentatur.
17) τοῦ γένους] sic Veneta. Morell. dat γένος et omittit τοῦ.

τὸν πάντες ἐπιςάμεθα δουλεύοντα. τί δέ; εἶπε· δοκοῦσί σοι πάντες οἱ δουλεύοντες, δοῦλοι; ἀλλὰ οὐ πολλοὶ αὐτῶν ἐλεύθεροι ὄντες, καὶ ἀδίκως δουλεύοντες; ὧν τινες ἤδη καὶ εἰς δικαςήριον ἐλθόντες, ἀπέδειξαν ἐλευθέρους ὄντας ἑαυτούς [18]. οἱ δέ τινες καὶ ἀνέχονται [19] μέχρι παντὸς, οὐκ ἔχοντες ἀποδεῖξαι φανερῶς περὶ τῆς ἐλευθερίας, ἢ οἷς ἂν χαλεποὶ οὐκ ὦσιν [20]) οἱ λεγόμενοι αὐτῶν δεσπόται. ἐπεὶ φέρε, Εὔμαιος, ὁ Κτησίου τοῦ Ὀρμένου ἀνδρὸς πάνυ ἐλευθέρου καὶ πλουσίου παῖς, οὐκ ἐδούλευσεν ἐν Ἰθάκῃ παρ' Ὀδυσσεῖ καὶ Λαέρτῃ; καὶ ἐνὸν αὐτῷ ἀποπλεῦσαι πολλάκις οἴκαδε, εἰ ἐβούλετο, οὐδέποτε ἠξίωσε. τί δαί; Ἀθηναῖοι πολλοὶ τῶν ἐν Σικελίᾳ ληφθέντων οὐκ ἐδούλευον ἐν Σικελίᾳ καὶ ἐν Πελοποννήσῳ, ἐλεύθεροι ὄντες; καὶ ἐν ἄλλαις πολλαῖς μάχαις, οἱ ἀεὶ αἰχμάλωτοι γινόμενοι, οἱ μὲν χρόνον τινὰ, ἕως ἂν εὕρωσι τοὺς λυσομένους, οἱ δὲ μέχρι παντός. ὁπότε καὶ ὁ Καλλίου υἱὸς ἔδοξε δουλεῦσαι πολὺν χρόνον ἐπὶ Θρᾴκης, μετὰ τὴν μάχην, ἣν Ἀθηναῖοι περὶ Ἄκανθον ἡττήθησαν· ὥςε καὶ ὕςερον διαφυγὼν καὶ ἀφικόμενος, ἠμφισβήτει τοῦ κλήρου τοῦ Καλλίου, καὶ πολλὰ πράγματα παρεῖχε τοῖς ξυγγενέσιν. ἐκεῖνος μὲν, οἶμαι, ψευδόμενος· ἦν γὰρ οὐχ υἱὸς, ἀλλ' ἱπποκόμος Καλλίου, τὴν δὲ ὄψιν ὅμοιος τῷ τοῦ Καλλίου μειρακίῳ, ὃ ἔτυχεν ἐν τῇ μάχῃ τελευτῆσαν· ἔτι δὲ ἡλλήνιζεν ἀκριβῶς, καὶ γράμματα ἠπίςατο. ἀλλὰ ἕτεροί γε μυρίοι τοῦτο πεπόνθασιν· ἐπεὶ καὶ τῶν νῦν τῶν [21]) ἐνθάδε δουλευόν-

18) pro ἐλθόντες vult Morellus e codice regio εἰσελθόντες. — ἀπέδειξαν ἑαυτοὺς ἐλευθέρους] eoque ipsi semet in libertatem vindicarunt.

19) ἀνέχονται] scil. τὴν δουλείαν. manent serui, tolerant seruitutem vsque ad finem vitae.

20) χαλεποὶ οὐκ ὦσιν] sic recte Casaubonus. Veneta et Morell. omittunt οὐκ.

21) τῶν secundum delendum videtur.

30. λευόντων, ἐκ ἀπογινώσκω πολλὰς εἶναι ἐλευθέρας. ἐγὼ γὰρ, ἐὰν μὲν [22]) Ἀθηναίων τις αἰχμὰς κατὰ πόλεμον εἰς Πέρσας ἀπαχθῇ, καὶ νὴ Δία [23]), ἐὰν εἰς Θρᾴκην ἢ Σικελίαν ἀχθεὶς ἀπεμποληθῇ, φήσομεν ἐλευ-
35. θερον ὄντα δουλεύειν; ἐὰν δὲ Θρᾳκῶν τις, ἢ Περσῶν, μὴ μόνον ἐξ ἐλευθέρων γεγονὼς ἐκεῖ, δεῦρο ἀχθῇ, ἀλλὰ καὶ συνάσθ τινὸς ἢ βασιλέως υἱὸς, οὐχ ὁμολογήσομεν ἐλεύθερον εἶναι; ἐκ οἶσθα τὸν Ἀθήνησιν [24]),
40. ἔφη, νόμον, παρὰ πολλοῖς δὲ καὶ ἄλλοις, ὅτι τὸν φύσει δοῦλον γενόμενον ἐκ ἐᾷ μετέχειν τῆς πολιτείας; τὸν δὲ Καλλίᾳ υἱὸν, εἴπερ ὄντως ἐσώθη ποτὲ αἰχμὰς, αἰφικόμενον ἐκ Θρᾴκης, συχνὰ ἔτη γεγονότα
45. ἐκεῖ, καὶ πολλάκις μεμαστιγωμένον, ἐδεὶς ἂν ἠξίᾳ τῆς πολιτείας ἀπελαύνειν ἐνίοτε [25]). ὥσε καὶ ὁ νόμος ἔ φησι δοῦλος γεγονέναι τὸς ἀδίκως δουλεύσαντας. τί δὲ καὶ ποιοῦντά με ἐπίσασαι, πρὸς θεῶν, ἢ τί πάσχοντα, ὅτι με φῂς ἐπίσασθαι δουλεύοντα; τρεφόμενον ἔγωγε ὑπὸ τοῦ δεσπότου, καὶ ἀκολου-
5. θοῦντα ἐκείνῳ, καὶ ποιοῦντα ὅ, τι ποτ' ἐκεῖνος προστάττοι [26]). εἰ δὲ μὴ, παιόμενον. ἕτω μὲν, ἔφη, καὶ τὸς υἱὸς ἀποφαίνεις δούλος τῶν πατέρων. καὶ γὰρ ἀκολουθοῦσι πολλοῖς τῶν πενήτων [27]), καὶ εἰς
10. γυμνάσιον βαδίζουσι, καὶ ἐπὶ δεῖπνον, καὶ τρέφοντας πάντες ὑπὸ τῶν πατέρων, καὶ παίοντας πολλά-

22) ἐὰν μὲν] sic recte Casaubonus et Anglus. ἐὰν μὴ Ven. et Morell. vir autem doctus Venetae meae margini adscripsit ἐ γὰρ μὴ, ἐὰν ἀθην.

23) f. ἀπαχθῇ, ἢ καὶ νὴ Δ.

24) τὸν ἀθήνησιν] subaudi κείμενον.

25) ante ἐνίοτε deesse quaedam videntur. e. c. πρόδηλον ἔν, ὃ σὺ ἔοικας ἀγνοεῖν, τὸ τὲς δουλεύοντας ἐλευθέρες εἶναι ἐνίοτε.

26) προσάττῃ, aut προσάττοι.

27) significat moris fuisse, vt liberi pauperum patres suos, seu in gymnasium, seu ad epulas publicas euntes, assectarentur. ergo diuitum liberi non sic.

[illegible], καὶ πείθονται[28]) ὅ, τι ἂν ἐκεῖνοι [illegible] αὐτοῖς. καίτοι ἕνεκα τοῦ πείθεσθαι, [illegible] λαμβάνειν, καὶ τῶν γραμματιστῶν οἱ- [illegible] τοὺς παρ' αὐτοῖς μανθάνοντας; καὶ [illegible] παιδοτρίβας δεσπότας εἶναι τῶν μαθητῶν, ἢ [illegible] ἄλλο τι διδάσκοντας; καὶ γὰρ προστάττουσιν [illegible] τοῖς, καὶ τύπτουσι μὴ πειθομένους. νὴ Δί', ἔφη. ἀλλ' οὐκ ἔστι τοῖς παιδοτρίβαις, οὐδὲ τοῖς ἄλλοις διδασκάλοις δῆσαι τοὺς μαθητὰς, οὐδὲ ἀποδόσθαι, οὐδὲ γε εἰς μύλωνα ἐμβαλεῖν· τοῖς δέ γε δεσπόταις ἅπαντα[29]) ταῦτα ἐφειμένα ἐστίν. ἴσως γὰρ οὐκ οἶσθα, ὅτι παρὰ πολλοῖς καὶ σφόδρα εὐνομουμένοις ταῦτα, ἃ λέγεις, ἔξεστι τοῖς πατράσι περὶ τοὺς υἱέας, καὶ δεῖν, ἐὰν βούλωνται, καὶ ἀποδίδοσθαι, καὶ ὅ, τι τούτων χαλεπώτερον· ἐφεῖται γὰρ αὐτοῖς ἀποκτεῖναι, μήτε κρίναντας, μήτε ὅλως αἰτιασαμένους. ἀλλ' ὅμως οὐδὲν μᾶλλον δοῦλοί εἰσι τῶν πατέρων, ἀλλὰ υἱεῖς· εἰ δὲ δὴ ὅτι μάλιστα ἐδούλευον, καὶ δοῦλος[30]) ἐξαρχῆς ὑπῆρχον δικαίως, τί με, ἔφη, κωλύει νῦν ἐλεύθερον εἶναι μηδενὸς ἔλαττον· σὲ δὲ αὖ τοὐναντίον, εἰ καὶ σφόδρα ἐξ ἐλευθέρων ἦσθα, δοῦλον εἶναι παντὸς μᾶλλον; ἐγὼ μὲν, εἶπεν, οὐχ ὁρῶ, ὅπως, ἐλεύθερος ὤν, δοῦλος ἔσομαι· σὲ δὲ οὐκ ἀδύνατον ἐλεύθερον γενέσθαι, ἀφέντος τοῦ δεσπότου. τί δαὶ, ὦ λῷστε, ἔφη, οὐθεὶς ἂν γένοιτο ἐλεύθερος μὴ ὑπὸ τοῦ δεσπότου ἀφεθείς; πῶς γάρ; εἶπεν. ὅπως[31]) Ἀθη-

28) f. ὑπ' αὐτῶν, ἂν μὴ πείθωνται.

29) ἅπαντα] sic recte Veneta. ἅπαντας Mor.

30) δοῦλος] sic dedi; nam ὑπῆρχον est prima persona sing. *si vel aequissimo iure seruus fuerim.* Ven. et Mor. dant δοῦλοι.

31) ὅπως] subaudi οἱ πρότερον δοῦλοι ἐγένοντο ἂν ἐλεύθεροι. *eo modo, quo serui, qui ante fuerunt, libertate donati fuissent,* (si res successum habuisset) *Athenienſibus ſciſcentibus.*

Ἀθηναίων ψηφισαμένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην τοὺς συμπολεμήσαντας οἰκέτας ἐλευθέρους εἶναι. εἰ πρῶβη ὁ πόλεμος, ἀλλὰ μὴ διελύσατο θᾶττον ὁ Φίλιππος πρὸς αὐτοὺς, πολλοὶ ἂν τῶν Ἀθήνησιν οἰκετῶν, ἢ μικροῦ πάντες, ἐλεύθεροι ἦσαν, οὐχ ὑπὸ τοῦ δεσπότου ἕκαστος ἀφεθείς. ἔστω τοῦτό γε, εἰ δημοσίᾳ σε ἡ πόλις ἐλευθερώσει. τί δαί; ἐμαυτὸν οὐκ ἄν σοι δοκῶ ἐλευθερῶσαι; εἴ γε ἀργύριόν ποθεν καταβάλλοις τῷ δεσπότῃ, τοῦτόν φημι τὸν τρόπον· ἀλλὰ[32]) ὅνπερ Κῦρος οὐ μόνον ἑαυτὸν, ἀλλὰ καὶ Πέρσας ἅπαντας ἠλευθέρωσε, τοσοῦτον ὄχλον, οὔτε ἀργύριον οὐδενὶ καταβαλὼν, οὔτε ὑπὸ τοῦ δεσπότου ἀφεθείς. ἢ οὐκ οἶσθα, ὅτι λυχνοποιὸς ἦν ὁ Κῦρος Ἀστυάγου καὶ ὁπότε γε ἠδυνήθη, καὶ ἔδοξεν αὐτῷ, ἐλεύθερος ἅμα καὶ βασιλεὺς ἐγένετο τῆς Ἀσίας ἁπάσης; εἶεν· ἐμὲ δὲ πῶς ἂν φῂς δοῦλον γενέσθαι[33]); ὅτι μυρίοι δήπου ἀποδίδονται ἑαυτοὺς ἐλεύθεροι ὄντες, ὥστε δουλεύειν κατὰ συγγραφὴν ἐνίοτε, ἐπ' οὐδενὶ τῶν μετρίων, ἀλλ' ἐπὶ πᾶσι τοῖς χαλεπωτάτοις; τέως μὲν οὖν προσεῖχον τοῖς λόγοις οἱ παρόντες, ὡς οὐ μετὰ σπουδῆς λεγομένοις μᾶλλον, ἢ μετὰ παιδιᾶς· ὕστερον δὲ ἐφιλονείκουν καὶ ἐδόκει ἄτοπον εἶναι, εἰ μηδὲν ἔσται εἰπεῖν τεκμήριον, ᾧ τις ἀναμφιλόγως διακρίνει[34]) τὸν δοῦλον ἀπὸ τοῦ ἐλευθέρου, ἀλλ' εὐμαρὲς ἔσοιτο περὶ παντὸς ἀμφισβητεῖν καὶ ἀντιλέγειν. ἀφέντες οὖν ὑπὲρ ἐκείνου σκοπεῖν καὶ τῆς ἐκείνου δουλείας, ἐσκόπουν, ὅστις εἴη δοῦλος. καὶ

 ἐδόκει

32) ἀλλὰ] subaudi κατὰ τοῦτον τὸν τρόπον οὐ δοκῶ σοι ἐμαυτὸν ἂν ἐλευθερῶσαι. *verum tamen hoc quidem modo, quo Cyrus — non videor tibi ipsemet me in libertatem posse asserere?*

33) post γενέσθαι videntur aliqua deesse; nam insequentia non satis cohaerent cum superioribus.

34) f. διακρινεῖ, aut διακρίνῃ, aut διακρίνειε.

καὶ ὑπ' αὐτῶν, καὶ πείθονται[28]) ὅ, τι ἂν ἐκεῖνοι προστάττωσιν αὐτοῖς. καίτοι ἕνεκα τοῦ παιδεσθαι, καὶ πληγὰς λαμβάνειν, καὶ τῶν γραμματιστῶν οἱ- 15.
νέτας φήσεις τοὺς παρ' αὐτοῖς μανθάνοντας; καὶ σὺς παιδοτρίβας δεσπότας εἶναι τῶν μαθητῶν, ἢ σὺς ἄλλο τι διδάσκοντας; καὶ γὰρ προστάττουσιν αὐτοῖς, καὶ τύπτουσι μὴ πειθομένους. νὴ Δί', ἔφη. ἀλλ' ὅμως ἔστι τοῖς παιδοτρίβαις, οὐδὲ τοῖς ἄλλοις δι- 20.
δασκάλοις δῆσαι τοὺς μαθητὰς, οὐδὲ ἀποδόσθαι, οὐδὲ γε εἰς μίσθωσιν ἐμβαλεῖν· τοῖς δέ γε δεσπόταις ἅπαντα[29]) ταῦτα ἐξεστιν. ἴσως γὰρ ἐπ οἶσθα, ὅτι παρὰ πολλοῖς καὶ σφόδρα νενομισμένοις 25.
ταῦτα, ἃ λέγεις, ἔξεστι τοῖς πατράσι περὶ τοὺς υἱέας, καὶ δεῖν, ἐὰν βέλωνται, καὶ ἀποδίδοσθαι, καὶ ὅ, τι τούτων χαλεπώτερον· ἐφεῖται γὰρ αὐτοῖς ἀποκτεῖναι, μήτε κρίναντας, μήτε ὅλως αἰτιασαμένους. 30.
ἀλλ' ὅμως οὐδὲν μᾶλλον δοῦλοί εἰσι τῶν πατέρων, ἀλλὰ υἱεῖς· εἰ δὲ δὴ ὅτι μάλιστα ἐδούλευον, καὶ δοῦλος[30]) ἐξαρχῆς ὑπῆρχον δικαίως, τί με, ἔφη, κωλύει τῶν ἐλευθέρων εἶναι μηδενὸς ἧττον· σὲ δὲ 35.
αὖ τοὐναντίον, εἰ καὶ σφόδρα ἐξ ἐλευθέρων ἦσθα, δοῦλον εἶναι παντὸς μᾶλλον; ἐγὼ μὲν, εἶπεν, οὐχ ὁ-
ρῶ, ὅπως, ἐλεύθερος ὢν, δοῦλος ἔσομαι· σὲ δὲ οὐκ οἰόν- I
τε ἐλεύθερον γενέσθαι, ἀφέντος τοῦ δεσπότου. τί 40.
δαὶ, ὦ λῶστε, ἔφη, ἀθεὶς ἂν γένοιτο ἐλεύθερος μὴ ὑπὸ τοῦ δεσπότου ἀφεθείς; πῶς γάρ; εἶπεν. ὅπως[31])

Ἀθη-

28) f. ὑπ' αὐτῶν, ἂν μὴ πείθωνται.

29) ἅπαντα] sic recte Veneta. ἅπαντας Mor.

30) δοῦλος] sic dedi; nam ὑπῆρχον est prima persona sing. *si vel aequissimo iure servus fuerim.* Ven. et Mor. dant ἐδοῦλοι.

31) ὅπως] subaudi *οἱ πρότερον δοῦλοι ἐγένοντο ἂν ἐλεύθεροι. eo modo, quo servi, qui ante fuerunt, libertate donati fuissent,* (si res successum habuisset) *Athenienſibus ſciſcentibus.*

Ἀθηναίων ψηφισαμένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μά-
χην τὺς συμπολεμήσαντας οἰκέτας ἐλευθέρους εἶναι.
εἰ πρᾶξις ὁ πόλεμος, ἀλλὰ μὴ διελύσατο θᾶττον ὁ
Φίλιππος πρὸς αὐτούς, πολλοὶ ἂν τῶν Ἀθηναίων οἰ-
κετῶν, ἢ μικρᾷ πάντες, ἐλεύθεροι ἦσαν, οὐχ ὑπὸ
τῦ δεσπότου ἕκαστος ἀφεθείς. ἔγωγε τοῦτό γε, εἰ δη-
μοσίᾳ σε ἡ πόλις ἐλευθερώσει. τί δαί; ἐμαυτὸν οὐκ
ἄν σοι δοκῶ ἐλευθερῶσαι; εἰ γε ἀργύριον ποθεν κα-
ταβαίλοις τῷ δεσπότῃ, τοῦτόν φημι τὸν τρόπον.
ἀλλὰ[32]) ὅνπερ Κῦρος ὐ μόνον ἑαυτὸν, ἀλλὰ καὶ
Πέρσας ἅπαντας ἠλευθέρωσε, τοσοῦτον ὄχλον, ἔτε
ἀργύριον ὑδενὶ καταβαλὼν, ἔτε ὑπὸ τῦ δεσπότου
ἀφεθείς. ἢ οὐκ οἶσθα, ὅτι λυχνοποιὸς ἦν ὁ Κῦρος.
Ἀσυάγε, καὶ ὁπότε γε ἠδυνήθη, καὶ ἔδοξεν αὐτῷ,
ἐλεύθερος ἅμα καὶ βασιλεὺς ἐγένετο τῆς Ἀσίας ἁ-
πάσης; εἶεν. ἐμὲ δὲ πῶς ἂν φὴς δῆλον γενέσθαι[33]);
ὅτι μυρίοι δήπε ἀποδίδονται ἑαυτὺς ἐλεύθεροι ὄν-
τες, ὥστε δηλεύειν κατὰ συγγραφὴν ἐνίοτε, ἐπ' ἀ-
δηνεῖ τῶν μετρίων, ἀλλ' ἐπὶ πᾶσι τοῖς χαλεπωτά-
τοις; τέως μὲν ἔν πρόσεῖχον τοῖς λόγοις οἱ παρόν-
τες, ὡς ἐ μετὰ σπεδῆς λεγομένοις μᾶλλον, ἢ μετὰ
παιδιᾶς· ὕστερον δὲ ἐφιλονείκουν. καὶ ἐδόκει ἄτοπον
εἶναι, εἰ μηδὲν ἔσοι εἰπεῖν τεκμήριον, ᾧ τις ἀναμ-
φιλόγως διακρίνει[34]) τὸν δῆλον ἀπὸ τῦ ἐλευθέρε,
ἀλλ' εὐμαρὲς ἔσοιτο περὶ παντὸς ἀμφισβητεῖν καὶ
ἀντιλέγειν. ἀφέντες ἔν ὑπὲρ ἐκείνε σκοπεῖν καὶ
τῆς ἐκείνε δήλοσεως, ἐσκόπεν, εἰς εἴη δῆλος. καὶ

32) ἀλλὰ] ſubaudi κατὰ τοῦτον τὸν τρόπον ἐ δοκῶ σοι ἐμαυτὸν ἂν ἐλευθερῶσαι. verum tamen hoc quidem modo, quo Cyrus — non videor tibi ipſemet me in libertatem poſſe aſſerere?

33) poſt γενέσθαι videntur aliqua deeſſe; nam inſequentia non ſatis cohaerent cum ſuperioribus.

34) f. διακρινεῖ, aut διακρίνῃ, aut διακρίνοις.

ἐδόκει αὐτοῖς, ὃν ἄν τις κεκτημένος[35]) κυρίως, ὥσπερ
ἄλλο τι τῶν αὐτῷ χρημάτων ἢ βοσκημάτων, ὥστε
ἐξεῖναι αὐτῷ χρῆσθαι ὅ, τι βέλεται· ἔτος ὀρθῶς 35.
λέγεσθαί τε καὶ εἶναι δοῦλος τῷ κεκτημένῳ. πάλιν
δὲ ἠμφισβήτει ὁ περὶ τῆς δουλείας ἀντιλέγων, ὅ, τι
ποτὲ ἔστι τὸ κύριον τῆς κτήσεως. καὶ γὰρ οἰκίαν,
καὶ χωρίον, καὶ ἵππον, καὶ βοῦν πολλὰς ἤδη φανῆ- 40.
ναι[36]) τῶν κεκτημένων πολὺν χρόνον, ἃ δικαίως ἔ-
χοντας, ἐνίοτε δὲ καὶ παρὰ τῶν πατέρων παρειλη-
φότας[37]). ἔτι δὴ καὶ ἄνθρωπον εἶναι ἀδίκως κε-
κτῆσθαι· καὶ γὰρ δὴ τῶν κτωμένων εἶναι[38]) τὰς οἰ- 45.
κέτας, ὥσπερ καὶ τἄλλα ξυμπαντα· οἱ μὲν γὰρ
ἄλλως λαμβάνουσιν ἢ χρησάμενοι τινὸς[39]), ἢ κλήρο-
νομήσαντος, ἢ πριάμενοι· τινὲς δὲ ἐξ ἀρχῆς τὰς
παρὰ σφίσι γεννηθέντας, ἃς οἰκογενεῖς καλοῦσι. τρί-
τος δὲ κτήσεως τρόπος, ὅταν ἐν πολέμῳ λαβὼν 5.
αἰχμάλωτον, ἢ καὶ ληϊσάμενος, κατὰ τοῦτον τὸν
τρόπον ἔχῃ καταδουλωσάμενος, ὅσπερ, οἶμαι, πρε-
σβύτατος ἁπάντων ἐστί. τὰς γὰρ πρώτας γενομένας
δούλας ἐκ εἰκὸς ἐκ δούλων φῦναι τὴν ἀρχήν· ἀλλὰ 10.
ὑπὸ λῃστείας ἢ πολέμου κρατηθέντας, ἔτως ἀναγ-
κασθῆναι δουλεύειν τοῖς λαβοῦσιν. ἔκειν ἔτος ὁ πα-
λαιότατος τρόπος, ἐξ οὗ πάντες οἱ λοιποὶ ἤρτηνται,
σφόδρα ἀσθενὴς καὶ οὐδὲν ἔχων ἰσχυρόν· ὅταν γὰρ 15.
ποτε

35) f. ὃν ἄν τις ἔχῃ κεκτημένος.

36) Φανῆναι] sic vir doctus in marg. Venetae. Φανεῖναι Ven. et Mor.

37) *tametsi etiam ea, vt subinde fit, a patribus haereditate tradita accepissent.*

38) dele εἶναι, et paulo post pro γὰρ ἄλλως lege παρ' ἄλλων. *nam eorum, qui seruos adipiscuntur,* (vel *acquirunt sibi*, vel *possident*,) *vt reliqua omnia, sic et hos, aut ab aliis accipiunt* —

39) f. ἢ χαρισαμένου τινὸς, *siue quod alter*, prior dominus, *eos ipsis donauerit*, ἢ κληρονομήσαντες, *siue haereditate*, ἢ πριάμενοι; *siue emtione.*

ποτε δυνηθῶσιν ἐκεῖνοι πάλιν ἀποφυγεῖν, οὐδὲν κωλύει ἐλευθέρους εἶναι αὐτοὺς, ὡς ἀδίκως δουλεύοντας· ὥστε οὐδὲ πρότερόν ποτε δοῦλοι ἦσαν. ἐνίοτε δὲ οὐ μόνον αὐτοὶ ἀπέφυγον τὴν δουλείαν, ἀλλὰ καὶ τοὺς δεσπότας κατεδουλώσαντο. κἀνταῦθα ἤδη, φασὶν, ὀστράκου μεταπεσόντος, ἅπαν γίνεται τοὐναντίον τῶν πρότερον. εἶπεν οὖν τις τῶν παρόντων, ὅτι ἐκεῖνοι μὲν αὐτοὶ ἴσως οὐκ ἂν λέγοιντο δοῦλοι, τοῖς δὲ ἐξ αὐτῶν γεννωμένοις καὶ τοῖς δευτέροις καὶ τοῖς τρίτοις κυρίως ἂν ἤδη προσήκοι τοῦ ὀνόματος. καὶ πῶς; εἰ μὲν γὰρ τὸ ἁλῶναι ποιεῖ δουλεύειν αὐτοὺς, τοῖς ἑαλωκόσι[40]) μᾶλλον προσήκοι, ἂν ἢ τοῖς ἐξ ἐκείνων; εἰ δὲ τὸ ἐκ δούλων γεγονέναι, δηλονότι ἐξ ἐλευθέρων ὄντες τῶν ἑαλωκότων, οἱ μετ' αὐτοὺς οὐκ ἂν εἶεν οἰκέται· καὶ γὰρ δὴ ὁρῶμεν Μεσσηνίους ἐκείνους[41]), δι' ὅσων ἐτῶν, οὐ μόνον τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τὴν χώραν ἐκομίσαντο τὴν αὑτῶν. ἐπεὶ γὰρ ἡττήθησαν ἐν Λεύκτροις ὑπὸ Θηβαίων Λακεδαιμόνιοι, στρατεύσαντες εἰς Πελοπόννησον Θηβαῖοι μετὰ τῶν συμμάχων, ἠνάγκασαν τήν τε χώραν τὴν Μεσσηνίαν ἀποδοῦναι Λακεδαιμονίους, καὶ ὅσοι ἦσαν ἀπ' ἐκείνων γεγονότες. δουλεύοντες πρότερον γὰρ Λακεδαιμόνιοι, τοὺς[42]) Εἵλωτας λεγομένους κατῴκισαν πάλιν εἰς Μεσσήνην. καὶ ταῦτα οὐδείς φησιν ἀδίκως πεποιηκέναι τοὺς Θηβαίους· ἀλλὰ παγκάλως καὶ δικαίως. ὥστε, εἴπερ οὗτος ὁ τρόπος οὐ δίκαιός ἐστι τῆς κτήσεως, ἐξ οὗ πάντες οἱ λοιποὶ τὴν ἀρχὴν ἔχουσι, κινδυνεύει μηδὲ ἄλλος μηθεὶς εἶναι, μηδὲ τῷ ὄντι καὶ κατ' ἀλήθειαν δοῦλος λέγεσθαι. ἀλλὰ[43]) μὴ οὐχ οὗτος ᾖ λεγόμενος ἐξ ἀρχῆς ὁ δοῦλος, ὑπὲρ ὅτου ἀργύριόν τις

40) f. δουλεύειν, αὐτοῖς τοῖς ἑαλωκόσι.

41) Ven. et Mor. post ἐκείνους addunt ὡς, quod Casaubonus recte delet.

42) l. δουλεύοντες πρότερον παρὰ λακεδαιμονίοις, τοὺς —

43) ἀλλὰ [scil. ὅρα, vide] μὴ.

τῷ σώματος[44]) καταβαλεῖν, ἢ ὃς ἂν ἐκ δέλων λεγομένων ᾖ γεγονὼς, ὥσπερ οἱ πολλοὶ νομίζουσι· πολὺ δὲ μᾶλλον, ὥσπερ ὁ ἐλεύθερος [45]) καὶ δελοπρεπής. τῶν μὲν γὰρ λεγομένων δέλων πολλοὺς ὁμολογήσομεν δήπου εἶναι ἐλευθερίους· τῶν δὲ γε ἐλευθέρων πολλοὺς πάνυ δελοπρεπεῖς. ἔτι δὲ ὥσπερ τοὺς γενναίους καὶ τοὺς εὐγενεῖς. τούτους γὰρ οἱ ἐξ ἀρχῆς ὠνόμασαν, τοὺς εὖ γεγονότας πρὸς ἀρετὴν, οὐδὲν πολυπραγμονοῦντες, ἐκ τίνων εἶεν· ὕστερον δὲ οἱ ἐκ τῶν παύρων πλουσίων καὶ τῶν ἐνδόξων ὑπό τινων εὐγενεῖς ἐκλήθησαν. τοῦτο δὲ σημεῖον σαφέστατον. ἐπὶ γὰρ τῶν ἀλεκτρυόνων, καὶ τῶν ἵππων, καὶ τῶν κυνῶν, διέμεινε τὸ ὄνομα, ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρώπων εἶχε τὸ παλαιόν. ὁ γὰρ θεασάμενος [46]) θυμοειδῆ καὶ γαῦρον καὶ πρὸς δρόμον εὖ ἔχοντα, ἢ πυθόμενος, εἴτε ἐξ Ἀρκαδίας ὁ πατὴρ αὐτῷ ἐτύγχανεν ὤν, εἴτε ἐκ Μηδίας, εἴτε Θετταλὸς, φησὶν εὐγενῆ, τῶν ἵππων αὐτὸν κρίνων. ὁμοίως δὲ ὃς ἂν ἅμπειρος κυνῶν, ἰδὼν κύνα [47]) ἰδὴ ταχεῖαν καὶ πρόθυμον καὶ συνετὴν περὶ τὸ ἴχνος, ἀθὲν ἐπιζητεῖ, πότερον ἐκ Καρῶν τὸ γένος, ἢ Λάκαινα, ἢ ἀλλαχόθεν ποθὲν, ἀλλὰ φησὶ γενναίαν τὴν κύνα. τὸ αὐτὸ δὲ τοῦτο ἐπ' ἀλεκτρυόνος

44) Constructio est ὑπὲρ τὸ σώματος ὅτι — *super corpore cuius.* malim tamen post τις addi τιμὴν.

45) f. leg. ὅσπερ ἀνελεύθερος, *quisquis illiberali et seruili est ingenio.* sed videtur aliquid deesse, cuius rei indicio est inlequens ὥσπερ τοὺς γενναίους καὶ τοὺς εὐγενεῖς, quod pendet nunc, olim redibat ad praemissa, quibus hodie caremus. video quidem amissorum sententiam, quae haec aut fuit, aut potuit fuisse: sed vide, ne *serui* et *liberi* sit par ratio et vis, atque est *illiberalis* et *liberalis.* sed verba quis dabit sine bono codice?

46) f. καὶ γὰρ ἵππον θεασάμενος.

47) κυνῶν ἰὰν κύνα] sic recte codex regius. sed Ven. et Mor. omittunt ἰὰν.

νος

35. νος καὶ τῶν ἄλλων ζώων. ἐκεῖν δηλονότι καὶ ἐπ' ἀνθρώπων ἔστως ἔχοι ἂν [48]), ὥστε, ὃς ἂν ᾖ πρὸς ἀρετὴν καλῶς γεγονὼς, τοῦτον προσήκει γενναῖον λέγεσθαι, κἂν μηδεὶς ἐπίσηται τοὺς γονέας αὐτοῦ, μηδὲ
40. τοὺς προγόνους. ἀλλὰ μὴν οὐχ οἷόν τε γενναῖον μὲν εἶναί τινα, μὴ εὐγενῆ δὲ τοῦτον· εὐθὺ εὐγενῆ ὄντα, μὴ ἐλεύθερον εἶναι. ὥστε καὶ τὸν ἀγεννῆ πάντα [49]) ἀνάγκη δοῦλον εἶναι. καὶ γὰρ δὴ εἰ τὸ τῆς δουλείας καὶ τῆς ἐλευθε-
45. ρίας [50]) ἔθος ἦν ἐπί τε ἵππων λέγεσθαι, καὶ αὐλητρύων καὶ κυνῶν, ὧν ἂν ἄλλους μὲν γενναίους εἶναι ἐλέγομεν, ἄλλους δὲ ἐλευθέρους· οὐδὲ ἄλλους μὲν δούλους, ἄλλους δὲ ἀγενεῖς. ὁμοίως δὴ καὶ ἐπ' ἀνθρώπων, ὧν ἄλλους μὲν εἰκὸς ἐστι γενναίους καὶ εὐγενεῖς λέγειν, ἄλλους δὲ ἐλευθέρους, ἀλλὰ τοὺς αὐτούς· οὐδὲ ἄλλους μὲν ἀγενεῖς καὶ ταπεινοὺς, ἄλλους δὲ δούλους. καὶ ἔτω δὴ ἀποφαίνει ὁ λόγος, ὃ τοὺς φιλοσόφους μεταφέροντας τὰ ὀνόματα· ἀλλὰ τοὺς πολλοὺς τῶν ἀνοήτων ἀνθρώπων, διὰ τὴν ἀπειρίαν.

48) ἔχοι ἄν] sic recte vir doctus in margine Venetae meae. ἔχοιεν ἄν Ven. et Mor.

49) l. πᾶσα ἀνάγκη.

50) ἐλευθερίας] subaudi ὄνομα, vel potius addc.

ΠΕΡΙ ΛΥΠΗΣ.

ΛΟΓΟΣ ΙΣΤ.

Τὸ μὲν ὑφ' ἡδονῆς κρατεῖσθαι τοὺς πολλοὺς, αἰτίαν
5. ἴσως ἔχει· κηλέμενοι γὰρ καὶ γοητευόμενοι παρὰ ταύτην μένουσι· τὸ δὲ λύπῃ δεδουλῶσθαι, παντελῶς ἄλογον καὶ θαυμαστόν. ὀδυνώμενοι γὰρ καὶ βασανιζόμενοι τῇ χαλεπωτάτῃ πασῶν βασάνῳ, μέ-

νομεν ἐν αὐτῇ, καὶ τὸν λόγον, ἐλευθερῶντες ἡμᾶς καὶ ἀπαλλάσσοντες τῆς ἀλγηδόνος, ὃ προσιέμεθα. καίτοι τί τοσοῦτον ἀνδρὸς λυπουμένου; τί δὲ ἔτους αἰσχρὸν θέαμα. καὶ γὰρ, οἶμαι, καὶ τῷ σώματος καθικνεῖται τὸ πάθος [1]), καὶ τοῦτο συμφέλκει, καὶ σκυθρωπὸν καὶ δυσειδὲς ὀφθῆναι παρέχει. τὸ δὲ μὴ μόνον εἶκειν τῇ φθορᾷ [2]) τῆς διανοίας, ἀλλὰ καὶ προσμηχανᾶσθαί τινας [3]) ἔξωθεν, οἷον μέλλουσαν ἐσθῆτα, καὶ συμπλοκὰς χειρῶν [4]), καὶ ταπεινὰς καθέδρας· ὡς ὑπὸ τούτων πάντων ἀναγκάζεσθαι τρόπον τινὰ τὴν διάνοιαν, μηδέποτε ἀφίστασθαι τῆς λύπης, ἀλλ' ἀεὶ μνημονεύειν καὶ λυπεῖσθαι, διεγνωκότας μὴ ἔσεσθαί τινα ἀπαλλαγὴν τούτου, εἰ [5]) μὴ πάντως ἀεὶ φαίνεσθαί τινα αἰτίαν τῷ πάθει, ἐχὶ σφόδρα εὐηθες; ἢ γὰρ προσήκοντος θανάτου, ἢ νόσου οἰκείων [5b]) τινὸς, ἢ καὶ αὐτῷ, πρὸς δὲ τούτοις, ἀδοξία, χρημάτων ἀποβολὴ, τὸ μὴ παρεῖναί τι τῶν προκειμένων, ἢ παρὰ τὸ δέον αἰσχολία, κίνδυνος, μυρία ἄλλα ὅσα, συμβαίνει κατὰ τὸν βίον· καὶ σχεδὸν ἀνάγκη τούτων ἀεί τι παρεῖναι.

τὸ

1) καθικνεῖται abeſt a Veneta, et Morellus addit hoc verbum poſt θέαμα; ſed verba ſic ſunt ordinanda: θέαμα. καὶ γὰρ — σώματος καθικνεῖται τὸ πάθος — nam ad corpus quoque, vt facile eſt exiſtimatu, malum hoc, vel perturbatio mentis haec, penetrat. v. Caſaubon. et Morell. ad h. l.

2) φθορᾷ et 3) τινας vtrumque bene habet. paſſus hic eſt Caſaubonus aliquid humani. in τινὰς ſubauditur φθορᾶς, id quod etiam vir doctus in marg. Venetae meae annotauit. primo vocabulo, τὸ δὲ, reſpondet inſequens ἐχὶ σφόδρα εὐηθες.

4) συμπλοκὰς χειρῶν exponit Henr. Valeſius ad Ammian. Marcell. p. 561.

5) εἰ] l. ἢ. vt qui certo cognitum atque exploratum habeant, non ſemper exſtituram vel occurſuram ſibi lugendi cauſam.

5b) margo Mor. dat ἐκείνων.

τὸ δὲ τελευταῖον, ἂν ἄρα γιγνώσκηται[6]) χρόνος; ἐν ᾧ μηδὲν ἀπαντᾷ δύσκολον· ἀλλά τοι τὸ προσδοκᾶν αὐτὸ, καὶ γινώσκειν, ὡς δυνατόν ἐστι συμβῆναι, καθάψεται[7]) τῆς γνώμης τῶν οὕτω διακειμένων· οὔκουν καθ' ἕκαστον αὐτῶν δεῖ ποιεῖσθαι τὴν παραμυθίαν· ἀνήνυτον[8]) γὰρ τὸ πρᾶγμα καὶ λυπηρός ἐστιν ὁ βίος· ἀλλὰ ὅλως ἐξελόντα τῆς ψυχῆς τὸ πάθος· καὶ τοῦτο κρίναντα βεβαίως, ὅτι μὴ λυπητέον ἐστὶ περὶ μηδενὸς τῷ νοῦν ἔχοντι, τὸ λοιπὸν ἐλευθεριάζειν, καὶ πάντων ἄδεια τῶν δυσχερῶν ἔσται. οὐδὲν γάρ ἐστιν αὐτῶν[9]) δεινόν· ἀλλὰ ὑπὸ τῆς δόξης καὶ τῆς ἀσθενείας τῆς ἡμετέρας γίνεται τοιοῦτον. οἱ γοῦν πολλοὶ, κἂν γένηταί τι τῶν νομιζομένων ἀτόπων, ἀεὶ τούτου μνημονεύουσι, δυσχεροῦς οὔσης τῆς μνήμης· ὅμοιον δή τι πάσχοντες τοῖς παιδίοις. καὶ γὰρ ἐκεῖνα τοῦ πυρὸς ἅψασθαι προθυμεῖται, καίτοι σφόδρα ἀλγοῦντα[10]), κἂν ἀφῇς, ἅψεται πάλιν· ὥσπερ οὖν τοῖς εἰς πόλεμον ἐξιοῦσιν οὐδέν ἐστιν ὄφελος, ἂν

6) γιγνώσκηται] sic recte Veneta. γιγνώσκεται Morell.

7) καθάψεται] sic recte Veneta et Casaubonus, καθάψηται Morell.

8) ἀνήνυτον bene habet. res ea foret infiniti laboris, exitu carentis.

9) αὐτῶν] sic Veneta, et sic vult Morellus. sed αὐτῷ Morellianae videtur vitium typographicum esse. si quid mutandum sit, quod non videtur, nam in αὐτῶν nihil est, quod me quidem offendat, haud displicet Angli αὐτὸ. possit quoque legi — ἐστιν ἐν αὐτῷ δεινὸν. *nihil enim in semet est graue.*

10) post ἀλγοῦντα Naogeorgus addit in latinis *ex tactu*, quasi legisset ἐξ ἁφῆς. et sane vir doctus in marg. Venetae meae adscripserat haec: ἐξ ἁφῆς *ex tactu, vel etsi siueris.* sane sententia postulat eiusmodi quid. quid si ergo ista ambo coniungamus ἀλγοῦντα ἐξ ἁφῆς, tametsi ex ambustione vehementer crucientur. (ἁφὴ enim h. l. non *tactus* erit, sed *ambustio.*) κἂν ἀφῇς — et iterum tangent, si permiseris. margo Mor. dat καὶ ἐξ ἁφῆς.

ἂν γυμνοὶ προσελθόντες [11]), ἔπειτα ἕκαστον τῶν φερομένων βελῶν ἐκκλίνειν ἐθέλωσιν· οὐ γὰρ ἔνι φυλάττεσθαι πάντα· δεῖ δὲ θώρακος στερεοῦ καὶ τῆς ἄλλης πανοπλίας, ὥστε, κἂν ἐμπέσῃ τι [12]), μὴ διϊκνεῖσθαι. τὸν αὐτὸν τρόπον καὶ τοῖς εἰς τὸν βίον προελθοῦσιν οὐχ οἷόν τε ἐκκλίνειν οὐδὲ φυλάττεσθαι, ὥστε ὑπὸ μηδενὸς παίεσθαι τῶν ἐκ τῆς τύχης, μυρίων ἐφ' ἕκαστον φερομένων· ἀλλὰ διανοίας ἰσχυρᾶς ἐστι χρεία, μάλιστα μὲν ἀτρώτου καὶ πρὸς μηδὲν εἰκούσης, εἰ δὲ μή γε ῥᾳδίως [13]), μηδὲ ὑπὸ τοῦ τυχόντος τιτρωσκομένης· ἐπεὶ πολλάκις ἀνάγκη κεντεῖσθαι, καὶ μυρία τραύματα λαμβάνειν. καὶ γὰρ οἱ τοὺς πόδας ἔχοντες ἁπαλοὺς καὶ παντελῶς ἀτρίπτους, ἔπειτα γυμνοῖς αὐτοῖς βαδίζοντες, οὐδέποτε τοιαύτην εὑρήσουσιν ὁδὸν, ὥστε μὴ νύττεσθαι [14]), μηδὲ ἀλγεῖν, ἀλλὰ καὶ τὸ τυχὸν αὐτῶν ἅπτεται. τοῖς δὲ ἠσκηκόσιν, οὐδὲ ἡ πάνυ [15]) τραχεῖα, χαλεπή. τοσούτων οὖν δυσκόλων ὄντων ἀπὸ τοῦ σώματος ἀρξαμένοις [16]), τί

11) malim προελθόντες, progressi aduersus hostem.

12) ἐμπέσῃ τι recte dat Veneta. ἐμπέσῃ σῃ (sic) Morell.

13) lego εἰ δὲ μὴ, *sin minus*, h. e. εἰ μὴ πάρεστι διάνοια ἄτρωτος καὶ πρὸς μηδὲν εἴκουσα, *si minus adest animus invulnerabilis, esto saltim non facile vulnerabilis*, μή γε ῥᾳδίως — praefero hoc lectioni, quam Morellus e codice regio protulit εἰ δὲ μή γε, μὴ ῥᾳδίως, tametsi eodem redit. videtur huc pertinere lectio κἂν μὴ, quae est in Var. lect. Venetae, vt sit κἂν μὴ, μή γε ῥᾳδίως. vir doctus in margine Venetae meae scripserat ἢ. videtur voluisse legi ἢ μή γε ῥᾳδίως.

14) νύττεσθαι] sic correxit etiam vir doctus in Veneta mea, pro κύττεσθαι, quod est in Veneta, non κύπτεσθαι, quomodo perhibet margo Morell.

15) οὐδὲ ἡ πάνυ τρ.] sic Veneta et codex regius, Mor. omittit ἡ.

16) ἀπὸ τοῦ σώματος ἀρξ.] *si numerandi initium a corpore facimus*, si censum malorum a malis corpus nostrum affligentibus ordimur. miror Casaubonum in loco tam plano et facili adhaesisse.

τί δεῖ προσδοκᾶν; ἢ πῶς ἔνεστιν ἑκάστου τούτων αἰσθαι-
νόμενον καὶ ῥᾳδίως ἐνδιδόντα, μὴ κακοδαιμονέστατον
ἁπάντων εἶναι προσευχόμενον τοῖς θεοῖς, ὅπως μὴ
τοῦτο, μηδὲ τοῦτο συμβῇ. καθάπερ εἴ τις ἐν ὄμβρῳ
5 πορευόμενος, σκέπασμα μὲν ἔχοι μηδὲν, εὔχοιτο
δὲ μόνον ἕκαστον τῶν σταλαγμῶν διαφυγεῖν· πολὺ
γοῦν τῶν σταλαγμῶν συνεχέστερά ἐστι τὰ δυσχερῆ πα-
ρὰ τῆς τύχης· ἢ νὴ Δία εἴ τις πλέων, ἀντὶ τοῦ τοῖς
10 οἴαξι προσέχειν, καὶ τὸ προσπίπτον δέχεσθαι καλ-
λῶς, εὔχοιτο μηδὲν τῶν κυμάτων κατὰ τὴν ναῦν
γενέσθαι; φέρε γὰρ, ὦ μάταιε, κἂν πάντα σοι
τἄλλα ἔχῃ κατὰ τρόπον, ἀλλὰ τοῦ γε εἰς τὴν ἐπιοῦ-
15 σαν ἡμέραν βιώσεσθαι, τίνα ἔχεις πίστιν, καὶ μὴ
μεταξὺ [17] πάντων ἀθρόως ἀφαιρεθῆναι τῶν δοκούν-
των ἀγαθῶν; οὐκοῦν σε περὶ τούτου πρώτου προσήκει
λυπεῖσθαι, καὶ δεδιέναι τὴν ἀδηλότητα τοῦ πράγμα-
20 τος. ἂν δὲ ἐκεῖνο ἐνθυμηθῇς, ὅτι μηδείς ἐστιν ὅλως
τοῦ βίου χρόνος, ἀλλὰ πάντες οἱ μακάριοι καὶ λίαν
εὐδαίμονες δόξαντες εἶναι τεθνήκασι· καί σοι πάρε-
στιν ἤδη τοῦτο τὸ πέρας, κἂν ἐπὶ πλεῖστον ἔλθῃς τοῦ
25 βίου· πολὺν λῆρον ἡγήσῃ καὶ μεγάλην εὐήθειαν,
τὸ νομίζειν ὅλως τι δεινὸν εἶναι τῶν γιγνομένων, ἢ
μέγα, ἢ θαυμαστὸν, δίχα γε ἑνὸς, τοῦ χωρὶς λύπης
καὶ φόβου καὶ τῶν τοιούτων παθῶν μίαν γοῦν ἡμέραν
30 διαγαγεῖν [18]. τὸν Ἰάσονα, φασὶ, δυνάμει τινὶ χρη-
σάμενον [19]), λαβόντα παρὰ τῆς Μηδείας· ἔπειτα,
οἶμαι, μήτε παρὰ τοῦ δράκοντος μηδὲν παθεῖν, μήτε
ὑπὸ

17) μεταξὺ stat per se absolute, interea dum fruitur vita bonisque suis omnibus, aut est idem atque ἐν τῷ μεταξὺ χρόνῳ *interea temporis*.

18) recte post διαγαγεῖν punctum figunt Veneta et Casaubonus, sed huius καθάπερ nil indigemus.

19) χρησάμενον non improbo. videtur tamen χρισάμενον (a verbo χρίω) melius h. l. conuenire. δύναμις h. l. est medicamentum potens, cui vis inest efficiendi aliquid.

ὑπὸ τῶν ταύρων τῶν τὸ πῦρ ἀναπνεόντων. ταύτην δὲ δεῖ κτήσασθαι τὴν δύναμιν παρὰ τῆς Μηδείας, τυτθὸν τῆς Φρονήσεως, λαβόντα, καὶ τὸ λοιπὸν ἀπείρατον κατὰ Φρονεῖν. εἰ δὲ μή, πάντα πῦρ ἡμῖν, καὶ πάντα ἄϋπνοι δρᾰκόντες. καίτοι [20]) τῶν λυπεμένων ἕκαστος, τὸ αὐτῷ συμβεβηκὸς, Φησὶν εἶναι δεινότατον, καὶ μάλιστα ἄξιον λύπης· καὶ γὰρ τῶν Φερόντων ἕκαστος, ὃ Φέρει, τοῦτ' εἶναι δοκεῖ βαρύτατον. ἔστι δὲ ἀσθενὲς τοῦτο καὶ Φαύλε σώματος. τὸ γὰρ αὐτὸ ἕτερος λαβὼν ἂν ἰσχυρότερος, ῥᾳδίως οἴσει.

20) καίτοι] dubium hoc est, cui occurritur in istis καὶ γὰρ —

ΠΕΡΙ ΠΛΕΟΝΕΞΙΑΣ.

ΛΟΓΟΣ ΙΖ'.

Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων ὑπὲρ τούτων οἴονται δεῖν λέγειν [1]), ὑπὲρ ὧν ἕκαστος αὐτὲ ἔχει τὴν ἀληθῆ δόξαν, ὅπως ἀκούσαντες ὑπὲρ ὧν ἀγνοοῦσι, μάθωσι· περὶ δὲ τῶν γνωρίμων καὶ πᾶσιν ὁμοίως Φαινομένων περιττὸν εἶναι διδάσκειν. ἐγὼ δὲ εἰ μὲν ἑώρων ἡμᾶς οἷς νομίζομεν ὀρθῶς ἔχειν ἐμμένοντας, καὶ μηδὲν ἔξωθεν προσττοντας τῆς ὑπαρχούσης ὑπολήψεως, οὐδ' ἂν αὐτὸς ὤμην ἀναγκαῖον εἶναι διατείνασθαι περὶ τῶν προδήλων. ἐπεὶ δὲ ἐγὼ τὴν ἄγνοιαν ἡμᾶς τῶν

1) scio quidem infinitiuum saepe ita poni, vt δεῖν debeat subaudiri; hic tamen a Casaubono ad λέγειν additum libenter amplector: vt sit οἴονται δεῖν λέγειν. subaudi τὰς λέγοντας ἡμᾶς. plerique hominum, quum nos ad disputandum prouocant, ea nobis argumenta dicendo esse tractanda existimant.

τῶν ἀγαθῶν καὶ τῶν κακῶν τοιοῦτον ὁρῶ λυποῦσαν, ὅταν τὸ μὴ πείθεσθαι τοῖς ὑπὲρ τούτων διαλογισμοῖς, μηδὲ ἀκολουθεῖν οἷς ἔχομεν αὐτοὶ δόξαις [2]), μεγάλην ὠφέλειαν ἡγοῦμαι, τὸ συνεχῶς ἀναμιμνήσκειν καὶ διὰ τοῦ λόγου παρακαλεῖν, πρὸς τὸ πείθεσθαι καὶ φυλάττειν ἔργῳ τὸ προσῆκον. ὥσπερ γάρ, οἶμαι, καὶ τοὺς ἰατροὺς καὶ τοὺς κυβερνήτας ὁρῶμεν πολλάκις τὰ αὐτὰ προσάττοντας, καίτοι τὸ πρῶτον ἀκηκοότων οἷς ἂν κελεύωσιν, ἀλλ' [3]) ἐπειδὴ ἀμελοῦντας αὐτοὺς καὶ μὴ προσέχοντας βλέπωσιν· ἔτως καὶ κατὰ τὸν βίον χρήσιμόν ἐστι γίγνεσθαι πολλάκις περὶ τῶν αὐτῶν τοὺς λόγους, ὅταν εἰδῶσι μὲν οἱ πολλοὶ τὸ δέον, μὴ μέντοι πράττωσιν. ἐ γάρ ἐστι τέλος, ἔτε τοῖς καμοῦσι τὸ γνῶναι τὸ συμφέρον αὐτοῖς, ἀλλ', οἶμαι, τὸ χρήσασθαι· τοῦτο γὰρ αὐτοῖς παρέξει τὴν ὑγείαν· ἔτε τοῖς ἄλλοις, τὸ μαθεῖν τά γε ὠφελοῦντα καὶ βλάπτοντα [4]) πρὸς τὸν βίον, ἀλλὰ τὸ μὴ διαμαρτάνειν τῇ τούτων αἱρέσεως. καθάπερ γάρ ἐστιν ἰδεῖν τοὺς ὀφθαλμιῶντας, ἐπισταμένους μὲν ὅτι λυπεῖ τὸ προσάγειν τοῖς ὀφθαλμοῖς τὰς χεῖρας, ὅμως δὲ ἐκ ἐθέλοντας ἀπέχεσθαι· παραπλησίως καὶ περὶ τὰ ἄλλα πράγματα, οἱ πολλοὶ καὶ λίαν εἰδότες, ὡς ἐ λυσιτελεῖ τι ποιεῖν, ἐδὲν ἧττον ἐμπίπτουσιν εἰς αὐτό. τίς γῶν ἐκ οἶδε τὴν ἀκρασίαν, ὡς μέγα ἐστὶν κακὸν τοῖς ἔχουσιν; ἀλλ' ὅμως μυρίους ἂν τις ἀκρατεῖς εὕροι. καὶ νὴ Δία γε, τὴν ἀργίαν ἅπαντες ἴσασιν, ὡς ἐ μόνον ἐχ οἷά τε πορίζειν τὰ δέοντα πρὸς τὸ ζῆν, ἀλλ' ὅτι [5]) καὶ τὰ ὄντα ἀπόλλυσι· καὶ τῷ ὄντι, πλείους ἐστὶν εὑρεῖν

2) δόξας] sic recte Veneta. δόξως Morell.
3) ἀλλὰ] subaudi e superioribus τὰ αὐτὰ πολλάκις προστάττουσιν.
4) τά γε —] malim τά τε ὠφελοῦντα καὶ τὰ βλάπτοντα.
5) ὅτι] malim ἔτι.

εὑρεῖν τοὺς ἀργοὺς, τῶν ἐθελόντων τι πράττειν. ὅθεν, οἶμαι, προσήκει τοὺς ἄμεινον φρονοῦντας ἀεὶ καὶ συνεχῶς ὑπὲρ τούτων λέγειν· ἐάν πως γένηται δυνατὸν, ἐπιστρέψαι καὶ βιάσασθαι πρὸς τὸ κρεῖττον. ὥσπερ γὰρ ἐν τοῖς μυστηρίοις ὁ ἱεροφάντης οὐχ ἅπαξ προαγορεύει τοῖς μυουμένοις ἕκαστον ὧν χρὴ, τὸν αὐτὸν τρόπον καὶ τοὺς ὑπὲρ τῶν συμφερόντων λόγους, ὥσπερ τιν' ἀπόῤῥησιν [6]) ἱερὰν, λυσιτελεῖ πολλάκις, μᾶλλον δὲ ἀεὶ λέγεσθαι. τὰ γοῦν φλεγμαίνοντα τῶν σωμάτων οὐκ εὐθὺς ἐνέδωκε πρὸς τὴν πρώτην καταιόνησιν, ἀλλ' ἂν συνεχῶς ποιῇ τις [7]), ἐμαλάχθη καὶ ῥᾷον ἔσχεν· οὐκοῦν ὁμοίως καὶ τὴν ἐν τῇ ψυχῇ τῶν πολλῶν φλεγμονὴν, ἀγαπητὸν, εἴ τις δύναιτο πραΰναι, διηνεκῶς τῷ λόγῳ χρώμενος. φημὶ δὴ καὶ περὶ τῆς πλεονεξίας εἰδέναι μὲν ἅπαντας, ὡς οὔτε συμφέρον, οὔτε καλόν ἐστιν, ἀλλὰ τῶν μεγίστων κακῶν αἴτιον, μὴ μέντοι γε ἀπέχεσθαι· μηδὲ ἐθέλειν μηδένα ἀνθρώπων, ἴσον ἔχειν [8]) τῷ πέλας. καίτοι τὴν μὲν ἀργίαν καὶ τὴν ἀκρασίαν, καὶ καθόλου πάσας ἁπλῶς τὰς ἄλλας κακίας, εὕροι τις ἂν, αὐτοῖς τοῖς ἔχουσι βλαβεράς· καὶ νουθεσίας μὲν, οἶμαι, καὶ καταγνώσεως τοὺς ἔν τινι τούτων ὑπάρχοντας, δικαίως τυγχάνοντας· οὐ μὴν μισουμένους γε, οὐδὲ κοινοὺς ἅπασι δοκοῦντας ἐχθροὺς. ἡ πλεονεξία δὲ μέγιστόν ἐστιν αὐτῷ τινι κακόν· λυπεῖ δὲ καὶ τοὺς

6) In Veneta est τινα πόῤῥησιν, vbi vir doctus quidem adscripsit a Morello vulgatam, nescio vnde nactus, an ex ipsa Morelliana, dubito tamen, sitne illa vera lectio. f. praestat aut simplex ῥῆσιν, aut πρόῤῥησιν, non quatenus praedictionem futurorum euentorum, sed denuntiationem agendorum aut omittendorum significat; vt modo προαγορεύειν, vers. 6. et προειπεῖν apud Demosthenem in eodem sensu denuntiandi, edicendi, imperandi.

7) ποιῇ τις] subaudi e praemissis τὴν καταιόνησιν.

8) ἴσον ἔχειν] sic recte Veneta et codex regius. Morell. dat ἴσων.

τὰς πέλας· καὶ τὸν πλεονέκτην οὐδεὶς ἐλεεῖ δήπουθεν, οὐδὲ ἀξιοῖ διδάσκειν. προβάλλονται δὲ ἅπαντες, καὶ πολέμιον αὐτὸν νομίζουσιν. ἕκαστος ἂν αὐτῶν εἰ βέλεται γνῶναι τὸ μέγεθος τῆς τοιαύτης πονηρίας, ἐννοησάτω, πῶς αὐτὸς ἔχει πρὸς τοὺς ἐπιχειροῦντας πλεονεκτεῖν. ἔστω γὰρ ἂν συμβαίλοι, πῶς καὶ τοὺς λοιποὺς ἀνάγκη πρὸς ἐκεῖνον ἔχειν, ἐὰν ᾖ τοιοῦτος. Καὶ μὴν ὅ γε Εὐριπίδης [9]) οὐδενὸς ἧττον ἔνδοξος ὢν τῶν ποιητῶν, τὴν Ἰοκάστην εἰσάγει λέγουσαν πρὸς τὸν Ἐτεοκλέα, παρακαλοῦσαν αὐτὸν ἀποστῆναι τῆς πλεονεκτεῖν τὸν ἀδελφόν, ἔστω πως·

Τί τῆς πανίσης δαιμόνων ἐφίεσαι
Πλεονεξίας, παῖ; μὴ σύ γ'. ἄδικος ἡ θεός.
Πολλὰς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
Εἰσῆλθε, κἀξῆλθ' [10]) ἐπ' ὀλέθρῳ τῶν χρωμένων.
Ἐφ' ᾗ σὺ μαίνῃ. τοῦτο κάλλιστον βροτοῖς
Ἰσότητα τιμᾶν, ἢ φίλοις ἀεὶ φίλοις,
Πόλεις τε πόλεσι, συμμάχους τε συμμάχοις.
Συνδεῖ· τὸ γὰρ ἴσον, νόμιμον ἀνθρώποις ἔφυ.
Τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσατον
Τέλασσον, ἐχθρᾶς δ' ἡμέρας κατάρχετον.

παρεθέμην δὲ ἐξῆς τὰ ἰαμβεῖα. τὸ γὰρ τοῖς καλῶς εἰρημένοις αὐτοῖς χρῆσθαι [11]), νοῦν ἔχοντός ἐστιν. ἐν δὴ τούτοις ἅπαντα ἔνεστι τὰ συμβαίνοντα ἐκ τῆς πλεονεξίας· ὅτι μήτε ἰδίᾳ, μήτε κοινῇ συμφέρει· τἀναντίον δὲ καὶ τὴν τῶν οἴκων εὐδαιμονίαν καὶ τὴν τῶν πόλεων ἀνατρέπει καὶ διαφθείρει. καὶ πάλιν ὡς νόμος ἀνθρώποις τιμᾶν τὸ ἴσον. καὶ ἔτι, τὸ μὲν

9) Euripidis elogium ex Aeschine sumtum esse docuit cl. Valkenaer ad Phoenissas p. 195.

10) κἀξῆλθ' ἐπ' ὀλ.] sic recte Veneta. κἀξῆλθεν Morell.

11) αὐτοῖς χρῆσθαι] ipsis uti, ipsos ponere locos, ipsa auctorum verba dare, non sententiam eorum suis verbis adumbratam.

μὲν [12]) κοινὴν φιλίαν, καὶ πᾶσιν εἰρήνην πρὸς ἀλ- 30.
λήλους ποιεῖ [13]) τὰς δὲ διαφορὰς, καὶ τὰς ἐμφύ-
λους ἔριδας, καὶ τὸς ἔξω πολέμους, κατ' ὀδὸν ἕτερον
συμβαίνοντας [14]), ἢ διὰ τὴν τῦ πλείονος ἐπιθυμίαν,
ἐξ ὧν ἕκαστος καὶ τῶν ἱκανῶν ἀποστερῆται [15]). καίτοι 35.
τί τῦ ζῆν ἀναγκαιότερόν ἐστιν; ἢ τί τούτῳ περὶ πλεί-
ονος [16]) ποιοῦνται πάντες; ἀλλ' ὅμως καὶ τοῦτο ἀπολ-
λύουσι χρημάτων ἐπιθυμίᾳ [17]). οἱ δὲ καὶ τὰς πα-
τρίδας τὰς αὐτῶν ἀνάστατους ἐποίησαν. μετὰ τοῦ- 40.
τα τοίνυν ὁ αὐτὸς ποιητὴς ἔ φησιν ἐν τοῖς θείοις
εἶναι πλεονεξίαν· διὰ τοῦτο ἄφθαρτα καὶ ἀγήρω μέ-
νειν αὐτὰ, τὴν προσήκουσαν ἐν ἕκαστον ἑαυτῷ τάξιν
φυλάττοντα, τήν τε νύκτα καὶ τὴν ἡμέραν καὶ τὰς
ὥρας. εἰ γὰρ μὴ τοῦτον εἶχε τὸν τρόπον, ἐκ ἂν αὐ-
τῶν ἐδὲν δύνασθαι διαμένειν. ὅταν δ' ἐν καὶ τοῖς θείοις
ἡ πλεονεξία φθορὰν ἐπιφέρῃ [18]), τί χρὴ νομίζειν 5.
τἀνθρωπεῖα πάσχειν ἀπὸ ταύτης τῆς νόσου; κα-
λῶς δὲ μέμνηται καὶ μέτρων καὶ σταθμῶν, ὡς ὑπὲρ [19])

τῦ

12) τὸ μὲν] scil. ἴσον aequitatem.
13) aut ποιεῖν, aut ἐμποιεῖν potius. vtrum optes, semper infinitiuum sententia postulat, propter praemissum τιμᾷν. subaudi Φησὶν ὁ ποιητής. v. vers. 10. aut ἔνεσιν ἐν τούτοις τοῖς ἰαμβείοις.
14) συμβαίνοντας] participium pro infinitiuo συμβαίνειν.
15) l. ἀποστερεῖται.
16) πλείστε] imo vero πλείονος.
17) ἐπιθυμίᾳ] sic correxit, praeter Casaubonum, etiam vir doctus in Veneta mea, et sic citat Morellus in annotationibus, vbi ait ἐπιθυμίᾳ a codice regio abesse; sed Ven. et Mor. dant ἐπιθυμίαν.
18) aut ἐπιφέρει in indic. aut seruato coniunct. leg. χρὴν in infin. *oportere* scil. *ait poeta.*
19) ὥσπερ (vt Veneta et Morell. dant) cum ὡς ὑπὲρ esse mutandum, de eo dubium nullum supereſt; et videtur Anglus quoque ὑπὲρ scripsisse, non ὅπερ, quod Wolfei imputat. sed assentiendum in eo vtique Casaubono est. verum sitne μηδενὸς delendum, quod idem vult, an ser-

vare

τῦ δικαίυ καὶ τῦ πλεονεκτεῖν μηδένα μηδενὸς, τῶν εὑρημένων. ὁ δὲ Ἡσίοδος καὶ πλέον εἶναι τῦ παντὸς φησι τὸ ἥμισυ, τὰς ἐκ τῦ πλεονεκτεῖν βλάβας, οἶμαι, καὶ ζημίας λογιζόμενος. τίς γὰρ πώποτε ἢ βασιλεὺς, ἢ δυνάστης, ἢ δῆμος, ἐπιχειρήσας ὑπερβῆναι τὸ δίκαιον, καὶ τῦ πλείονος ὀρεχθῆναι, ἐχ ἅπασαν μὲν τὴν ὑπάρχυσαν εὐδαιμονίαν ἀπέβαλε, μεγάλαις δὲ καὶ ἀμηχάνοις ἐχρήσατο συμφοραῖς, ἅπασι δὲ τοῖς μετ' αὐτὸν παραδείγματα ἐμφανῆ τῆς ἀνοίας [20]) καὶ τῆς πονηρίας κατέλιπεν; ἢ τίς τῶν ἐλαττῦσθαι βελομένων καὶ τὴν δοκῦσαν ἧττον ῥαδίως ὑπομένειν, ἐ πολλαπλάσια μὲν τῶν ἄλλων ἐκτήσατο, αὐτομάτως αὐτῷ καὶ δίχα πόνυ περιγινόμενα [21]), πλεῖσον δὲ χρόνον τὴν εὐημερίαν κατέσχεν, ἀσφαλέστατα δὲ ἐχρήσατο τοῖς παρὰ τῆς τύχης ἀγαθοῖς; αὐτίκα γῦν οἱ τῆς Ἰοκάστης υἱεῖς, ἐκ, ἐπεὶ διέτησαν τῦ πλείονος χάριν· ὁ μὲν, μόνος ἄρχειν βελόμενος, ὁ δ' ἐξ ἅπαντος τρόπυ ζητῶν κομίσασθαι τῆς δυναστείας τὸ μέρος· ἐκ, ἀδελφοὶ μὲν ὄντες, ἀλλήλυς ἀπέκτειναν, μεγάλων δὲ κακῶν αἴτιοι κατέστησαν τοῖς συναραμένοις ἀμφότεροι [22]); τῶν μὲν ἐπιστρατευσάντων παραχρῆμα ἀπολομένων, τῶν δὲ αἰτιωμένων [23]) μετὰ μικρὸν

vandum, an denique cum μηδὲν mutandum, in dubio relinquam. tametsi visitatius est πλεονεκτεῖν τινα, quam τινος, causam tamen nullam video, cur non etiam hoc dici possit, pro πλέον ἔχειν τινός. *plus habere, quam alter*, alterum emolumentis vincere. video nunc Morellum eadem paene ad h. l. attulisse.

20) ἀνοίας] in Veneta est ἀνθρωποίας, vbi vir doctus adscripsit ἀπανθρωπίας, quod interpres reddidit, et margo Morell. dat γρ. ἀνθρωπείας et ἴσ. ἀνανθρωπείας.

21) malim παραγινόμενα.

22) f. ἀμΦοτέροις. *illis, qui vtrique fratrum, tam Eteocli, quam Polynici, praesto fuissent.*

23) αἰτιωμένων] nemo adhucdum corruptum hoc vocabulum

μικρὸν ἡττηθέντων, ἐπειδὴ τὰς νεκρὰς ἐκ εἴων τα- 35.
φῆναι; καὶ μὴν δι' ἑνὸς ἀνδρὸς πλεονεξίαν, τῆ τὴν
Ἑλένην ἁρπάσαντος, καὶ τὰ τῆ Μενελάῳ κτήμα-
τα, οἱ μεγίστην τῆς Ἀσίας οἰκοῦντες πόλιν ἀπώλοντο
μετὰ παίδων καὶ γυναικῶν· καὶ μίαν γυναῖκα ὑπο-
δεξάμενοι, καὶ χρήματα ὀλίγα, τηλικαύτην τιμω- 40.
ρίαν ἔτισαν ὁ τοίνυν Ξέρξης, ὁ τῆς ἑτέρας ἠπείρου
κύριος, ἐπειδὴ καὶ τῆς Ἑλλάδος ἐπεθύμησε, καὶ
τοσοῦτον στόλον καὶ τοσαύτας μυριάδας συναγα-
γὼν ἤνεγκεν, ἅπασαν μὲν αἰσχρῶς [24]) ἀπέβα- 45
λε τὴν δύναμιν, μόλις δὲ τὸ σῶμα ἴσχυσε διασ-
ῶσαι φεύγων αὐτός. πορθουμένης δὲ μετὰ ταῦ-
τα τῆς χώρας καὶ τῶν πόλεων τῶν ἐπὶ θαλάττῃ,
φέρειν ἠναγκάζετο. καὶ μὴν Πολυκράτη φασὶ, ἕως μὲν
Σάμῳ μόνης ἦρχεν, εὐδαιμονέστατον ἁπάντων γενέ- 5.
σθαι· βουλόμενον δέ τι καὶ περὶ τῶν πέρα πολυ-
πραγμονεῖν, διαπλεύσαντα πρὸς Ὀρόντην [25]), ὡς
χρήματα λάβοι, μηδὲ ξωὸν γε θανάτῳ τυχεῖν, ἀλλὰ
ἀνασκολοπισθέντα ὑπὸ τῶ βαρβάρω διαφθαρῆναι. 10.
ταῦτα μὲν, ἵν' ᾖ παραδείγματα ἡμῖν, ἔκ τε τῶν

σφό-

bulum ſanauit. In meo opuſculo Dioneo conieceram λειπομένων, quaſi ſignificaret hoc, *illis, qui e pugna reliqui fuere facti.* ſed primum non conuenit hoc ſatis ſententiae, potius enim *aduerſariis* ea requirit, deinde non animaduerti, λείπεσθαι non ſignificare, *reliquus ex ſuperſtes manere*, ſed *vinci, ſuperari.* quod plane ſententiae repugnat. vide ergo, num praeſtet τῶν δὲ ἡσσωμένων, *illis autem, qui iſtis aduerſati fuerant*, Thebanis puta. margo Mor. dat τ. γ. ὠθισμένων.

24) αἰσχρῶς] ſic Ven. αἴσχρος Mor.

25) Ὀρόντην] videtur haec lectio, quae in Dionis codicibus Herodoteis procul dubio fuit, praeſtare illi, quae hodie in libris noſtris apud Herodotum 3, 120. circumfertur, vbi v. Weſſeling. *Orontes* nomen tam hominum, quam locorum, et fluuiorum, vetuſtis orientis populis, fuit vſitatum.

σφόδρα παλαιῶν, καὶ τῶν μετὰ ταῦτα, καὶ τῶν ἐν ποιήμασι, καὶ τῶν ἄλλως ἱστορημένων, παρήνεγ-
15. κεν ἄξιον δὲ ἐνθυμηθῆναι καὶ τὸν θεὸν, ὡς κακεῖνος κολάζειν πέφυκε τὰς πλεονεκτούσας. Λακεδαιμονίοις γὰρ χρωμένοις εἰ δίδωσιν αὐτοῖς τὴν Ἀρκαδίαν· ὁ μόνον ἀπεῖπε, καὶ τὴν ἀπληστίαν ὠνείδισεν, ὅτως εἰπών·
20. Ἀρκαδίην μ' αἰτεῖς, ἔτοι δώσω.
ἀλλὰ καὶ τιμωρίαν ἐπέθηκεν αὐτοῖς, προεκπὼν μὲν τὸ μέλλον· ὅτως δὲ, ὥστε ἐκείνας μὴ συνέντας, ἐπὶ
25. Τέγεαν στρατεύεσθαι, καὶ ταῖς γνωσκομέναις ὑπὸ πάντων συμφοραῖς περιπεσεῖν. καίτοι φανερῶς τὴν Ἀρκαδίαν αὐτοῖς ἀρνύμενος, οὐδὲ τὴν Τέγεαν ἐδίδου. τὸ γὰρ ἰσχυρὸν τῆς Ἀρκαδίας καὶ μέγιστον
30. τοῦτ' ἦν. ἀλλ' ὅμως διὰ τὴν πλεονεξίαν οὐδὲ ὧτος ἔχειαν οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐδὲ τῶν λεγομένων [26]) αἰσθάνονται. πάλιν τοίνυν Ἀθηναίοις, ἐρωτῶσι περὶ τῆς νήσου Σικελίας, ἔχρησε, προσλαβεῖν
35. τῇ πόλει τὴν Σικελίαν, λόφον τινὰ [27]) ἐγγὺς ὄντα τῆς πόλεως. οἱ δὲ τῶν μὲν παρακειμένων καὶ τῶν ἐν ὀφθαλμοῖς ἠμέλησαν. ὅτως ἔκφρονες ὑπῆρχον, διὰ τὴν ἐπιθυμίαν τοῦ πλείονος, ὥστε τὸν θεὸν αὐ-
40. τοῖς ἐνόμιζον λέγειν, ἐνὶ τείχει περιλαβεῖν τὰς Ἀθήνας, καὶ τὴν ἀπὸ μυρίων που σταδίων ὅσαν νῆσον. τοιγαροῦν ἐκεῖσε πλεύσαντες οὐ μόνον Σικελίας διήμαρτον, ἀλλὰ καὶ τῆς Ἀττικῆς ἐστερήθησαν, καὶ
45. τὴν πόλιν αὐτὴν ἐπεῖδον ἐπὶ τοῖς πολεμίοις γεγενημένην. καὶ τὰ μὲν τοιαῦτα εἰ θέλοι τις ἐπεξιέναι, δῆλον, ὡς οὐδὲν ἔτι ἐπιλείψει [27]). σκοπεῖν δ', ὅτι τὴν ἰσχὺν

26) f. οὐδὲ τῶν σαφῶς λεγομένων. *ne ea quidem, quae clare perspicuaque dicuntur.*

27) post λόφον τινὰ videtur λέγων (scil. ὁ θεὸς) abesse.

27.b) ὡς οὐδὲν ἔτι ἐπιλείψει] sententia dictionem aliquam hyperbolicam postulat, e. c. ὡς οὐδ' αἰ. ἔτη ὅλα λέγῃ, ἐπι-

οἱ πλεῖστοι [28]) τῶν ἀγαθῶν εἶναι νομίζουσιν, ἀλλ', οἶμαι, τοῖς ἐπ' ἄκρων ἰσχύουσι, καὶ λίαν ὑπερβάλλουσι τῇ κατὰ τὸ σῶμα εὐεξίᾳ, συμφέρει μέρος τι αὐτῆς ἀφελεῖν. (τὸ γὰρ πλέον, οἶμαι, τῷ συμμέτρῳ παγχάλεπον.) ὁμοίως ὁ πλοῦτος ἔχων τινὰ χρείαν, ἐὰν μὲν ᾖ μέτριος, ὠφελεῖ τοὺς ἔχοντας, ἀλλ' εὐχερέστερον καὶ, νὴ Δί', ἀνεπιδεῶς παρέχει τὸν βίον· ἐὰν δὲ ὑπερβάλλῃ, πλείονας παρέχει τὰς φροντίδας καὶ τὰ λυπηρὰ τῆς δοκούσης ἡδονῆς· καὶ πολλοὶ μετενόησαν, σφόδρα πλουτήσαντες. οἱ δὲ, διὰ αὐτὸ τοῦτο, ἄποροι καὶ τῶν ἐλαχίστων κατέστησαν. εἶεν. ἀλλ' ἐν ἡμῖν αὐτοῖς, εἰ τῶν τῆς φύσεως μερῶν ἕκαστον ἐθέλοι πλεονεκτεῖν, ἔτθ' ὅπως τὸν βραχύτατον καιρὸν διαμεῖναι δυνησόμεθα. λέγω δὲ, οἷον εἰ πλέον τινὶ τῷ συμμέτρῳ αἵματος [29]) γίγνοιτο, ἢ νὴ Δία τὸ πνεῦμα τὸ θερμὸν, ὅτι δήποτ' [30]), ἐν ἡμῖν ἐπιτείνοι παρὰ τὴν σύμμετρον καὶ τὴν προσήκουσαν [31]), ἐχὶ μεγάλας ἐπίσασθε καὶ χαλεπὰς ἐκ τούτων ἁπάντων νόσους; ἐν δὲ ταῖς ἁρμονίαις τῶν ὀργάνων τούτων [32]), εἰ πλεονεκτήσει τῶν

ἐπιλείψει. *Apparet eiusmodi exempla, ei, si quis exsequi velit, defutura non esse, tametsi totos annos in iis enarrandis consumat.*

28) f. ὅτι, τὴν ἰσχὺν εἰ οἱ πλεῖστοι. *quod robur si hominum plerique in bonis habent.* — illud ὅτι refertur ad insequentia et cum iis cohaeret, ὁμοίως ὁ πλοῦτος — ὠφελεῖ. *diuitiae, modicae quidem, haud molestent.*

29) f. τὸ αἷμα. articulus h. l. per se necessarius non est, sed est propter insequens τὸ πνεῦμα.

30) f. ἢ ὅ, τι δήποτε. *aut quodcunque tandem.*

31) post προσήκουσαν fiue dubio deest τάσιν aut κρᾶσιν, quicquid Casaubonus repugnat.

32) τῶν ὀργάνων τούτων bene habet. horum, quae sic appellantur, organorum seu instrumentorum, qua appellatione vniuersa nemo tamen ignorat solummodo musica significari. Voluit Anglus τατῶν. sed primum scribendum sic esset, τῶν ὀργάνων τῶν τατῶν, articulo iterato. dein-

τῶν φθόγγων τις[33]) τῇ τάσει, πρὸς τοῦ Διὸς, οὐκ ἀνάγκη πᾶσαν λελύσθαι τὴν ἁρμονίαν; σφόδρα δ' ἔγωγε θαυμάζω, τί ἂν ἐποιήσαμεν, εἰ μὴ καὶ τοῦ βίου τὸ ἐλάχιστον παρὰ τῶν θεῶν μέτρον εἴχομεν· ἀλλ' ὥσπερ εἰς τὸν αἰῶνα παρασκευαζόμενοι, πλέον ἄλλος ἄλλου φιλοτιμοίμεθα[34]) ἔχειν. ὥσπερ οὖν εἴ τις εἰδὼς, ὅτι ἢ δύ' ἢ τριῶν ἡμερῶν, ἐὰν πλεῖστος διαγένηται χρόνος, ἔχει πλοῦν, ἔπειτα δὲ[35] ἐνιαυτοῦ σῖτα ἐμβάλλοιτο, ἀνόητος δόξει· τὸν αὐτὸν τρόπον, εἴ τις, ἐπιστάμενος, ὅτι πλείω τῶν ἑβδομήκοντα ἐτῶν οὐκ ἂν βιώσειεν, εἰς ἔτη χίλια πορίζοιτο βίον ἴσως[36]), οὐχ ὁμοίως ἂν εἴη μαινόμενος; ἔνιοι μὲν γὰρ τοσαῦτα παρασκευάζονται, ὡς, εἴ γ' ἔπλεον, εὐθὺς ἂν καταδῦναι τὴν ναῦν. καὶ νὴ Δία γε συμβαίνει μυρίοις. εἶεν. εἰ δὲ δή τις ἐφ' ἑστίασιν κεκληκὼς δέκα ἀνθρώπους, ἢ πεντεκαίδεκα, τούτους αὐτὸν ἐμπλῆσαι δέον, ὁ δὲ πεντακοσίοις ἢ χιλίοις ἑτοιμάζῃ τροφὴν, οὐ παντελῶς ἐξιστάναι[37]) δόξει; τοιγαροῦν καὶ ἡμεῖς εἰδότες τὰς τοῦ σώματος χρείας εὐαριθμήτους τινάς· ἐσθῆτος γὰρ, οἶμαι, καὶ σκέπης καὶ τροφῆς δεόμεθα· ἔπειτα κατατεινόμεθα ὥσπερ στρατοπέδῳ τὰ ἐπιτήδεια συνάγοντες· καὶ νὴ Δία γε εἰκότως. οἱ γὰρ πολλοὶ

deinde non solum in fidibus, sed et in tibiis, peccare possunt soni τῇ τάσει, intentione seu chordarum, seu spiritus, aut deficiente, aut modum excedente.

33) τις] sic recte Veneta, redit enim ad τῶν φθόγγων. vnus aliquis e sonis. Morell. dat τι.

34) φιλοτιμοίμεθα] sic dedi; pendet enim ex εἰ v. 3. *si contenderemus*. v. ἐμβάλοιτο paulo post. Ven. et Morell. dant φιλοτιμούμεθα.

35) δὲ videtur delendum. v. vers. 11. vbi est εἰς ἔτη, non εἰς δ' ἔτη.

36) βίον ἴσως, *ad mille annos forsitan victum comparet*, οὐχ ὁμοίως *nonne is pari modo insaniat?*

37) ἐξιστάναι] imo vero ἐξεστᾶναι, *insanire*; nam illud alterum possit forsitan *ad insaniam adigere* significare.

πολλοὶ βόσκουσι παρ' ἑαυτοῖς τῶν ἐπιθυμιῶν κρεατόπεδον. καὶ ἐσθῆτα μὲν ἀδεὶς βέλεται μείζω τοῦ σώματος ἔχειν, ὡς δύσχρηστον ὄν [38]· ἐσίαν δὲ τῷ παντὶ μείζω τῆς χρείας ἐπιθυμοῦσιν ἅπαντες ἔχειν, ἐκ εἰδότες, ὅτι τοῦτο ἐκείνου χαλεπώτερον. δοκεῖ δέ μοι Κροῖσος καλῶς ὁ Λυδὸς τὴν ἀπλησίαν τῶν ἀνθρώπων ἐλέγξαι βουλόμενος, εἰς τὰς θησαυρὰς εἰσαγαγών τινας, τοσοῦτο χρυσίον αὐταῖς ἐπιτρέπων ἐξενεγκεῖν, ὅσον ἕκαστος ἂν δύνηται σώματι. τὰς γὰρ πολλὰς [39], ἃ μόνον τὸν κόλπον ἐμπλήσαντας, ἀλλὰ καὶ τῇ κεφαλῇ [40] τοῦ ψήγματος ἐκφέρειν, καὶ τῷ σώματι, καὶ μόλις [41] πορευσθαι, πάνυ γε λοίους καὶ διεσκαμμένους. ἔτως ἂν καὶ κατὰ τὸν βίον [42], πορεύεσθαί τινας αἰσχημονοῦντας ὑπὸ τῆς πλεονεξίας, καὶ καταγελάσους ὄντας.

38) ὄν] scil. τὸ ἔχειν ἐσθῆτα μείζω τοῦ σώματος.

39) τὰς γὰρ πολλὰς] aut addendum est, aut certe subaudiendum, Φασίν.

40) in Veneta est τῆς κεφαλῆς. forte τὴν κεφαλήν, scil. ἐμπλήσαντας.

41) f. σώματι, ὥστε καὶ μόλις.

42) post βίον videtur deesse ἡγοῦμαι, vel οἶμαι, vel εἰκός ἐστι, vel tale quid.

ΠΕΡΙ ΛΟΓΟΥ ΑΣΚΗΣΕΩΣ.

ΛΟΓΟΣ ΙΗ'.

Πολλάκις ἐπαινέσας τὸν σὸν τρόπον, ὡς ἀνδρὸς ἀγαθοῦ, καὶ ἀξίου πρωτεύειν ἐν τοῖς ἀρίστοις· ἐδέπο-
5. τε πρότερον ἐθαύμασα, ὡς νῦν τὸν γὰρ ἡλικίας τε ἐν τῷ ἀκμαιοτάτῳ ὄντα, καὶ δυνάμει ἐδενὸς λειπόμενον, καὶ ἄφθονα κεκτημένον, καὶ πάσης ἐξουσίας ἔσης, δι' ἡμέρας καὶ νυκτὸς τρυφᾶν· ὅμως
10. ἔτι παιδείας ἠρέγεσθαι, καὶ φιλοκαλεῖν περὶ τὴν τῶν λόγων ἐμπειρίαν, καὶ μὴ ὀκνεῖν μηδὲ εἰ πονεῖν δέοι· σφόδρα μοι ἔδοξε γενναίας ψυχῆς, καὶ ἐ φιλοτίμου μόνον, ἀλλὰ τῷ ὄντι φιλοσόφου ἔργον εἶναι. καὶ γὰρ τῶν παλαιῶν οἱ ἄριστοι, ἐ μόνον ἀκμάζειν
5. μανθάνοντες, ἀλλὰ καὶ γηράσκειν ἔφασκον. πάνυ δὲ σύ μοι δοκεῖς φρονεῖν, ἡγούμενος πολιτικῷ ἀνδρὶ δεῖν λόγων ἐμπειρίας τε καὶ δυνάμεως. καὶ γὰρ πρὸς τὸ ἀγαπᾶσθαι, καὶ πρὸς τὸ ἰσχύειν, καὶ πρὸς
10. τὸ τιμᾶσθαι, καὶ πρὸς τὸ μὴ καταφρονεῖσθαι, πλείστη ἀπὸ τούτου ὠφέλεια. τίνι μὲν γὰρ μᾶλλον ἄνθρωποι δείσαντες θαῤῥοῦσιν, ἢ λόγῳ; τίνι δὲ ἐξυβρίζοντες καὶ ἐπαιρόμενοι καθαιροῦνται καὶ κολάζονται; τίνι δὲ ἐπιθυμιῶν ἀπέχονται; τίνα δὲ νε-
15. θετοῦντα πραότερον φέρουσιν· ἐ λόγῳ εὐφραίνοντα [1]); πολλάκις ἔν ἰδεῖν ἔστιν ἐν ταῖς πόλεσιν, ῥαναλίσκοντας [2]) μὲν ἑτέρους καὶ χαριζομένους καὶ ἀναθήμασι κοσμοῦντας [3]) ἐπαινουμένους δὲ τοὺς λέγον-

1) f. ἐ λόγῳ εὐφραίνονται; *nonne oratione exhilarantur?*

2) ἀναλίσκοντας] sic recte Casaubonus. ἀναδιδάσκοντας Ven. et Morell.

3) ἀναθήμασι κοσμοῦντας] scil. τὰς ἑαυτῶν πόλεις.

τας, ὡς καὶ αὐτῶν ἐκείνων 4) αἰτίους. διὸ καὶ τῶν ποιη- 20.
τῶν οἱ ἀρχαιότατοι, καὶ παρὰ θεῶν τὴν ποίησιν λα-
βόντες, ὅτε τοὺς ἰσχυροὺς, ὅτε τοὺς καλοὺς ὡς θεοὺς
ἔφασαν ὁρᾶσθαι, ἀλλὰ τοὺς λέγοντας. ὅτι μὲν δὴ
ταῦτα καὶ συνεώρακάς καὶ ἐπιχειρεῖς πράττειν, ἐ- 25.
παινῶ σε καὶ θαυμάζω. χάριν δὲ ἃ τὴν τυχοῦσαν
οἶδα ὑπὲρ ἐμαυτοῦ, ὅτι με πρὸς τὴν διάνοιαν ταύτην
καὶ τὸ ἐγχείρημα, χρήσιμον ἑαυτῷ νενόμικας 5);
μέχρι νῦν μὲν γὰρ, ὥσπερ τις ἔφη τῶν παλαιῶν 30.
αὐτῷ κακῶς εἶναι μάντις 6)· κἀγὼ ἐξαρκεῖν ᾤμην
ἐμαυτῷ περὶ τοὺς λόγους, μόγις καὶ τοῦτο 7). σὺ δέ
με ἐπαίρεις καὶ θαρρεῖν ἀναπείθεις, εἰ ἀνδρὶ καὶ
παιδείας ἐπὶ πλεῖστον ἥκοντι, καὶ τηλικούτῳ, δύνα- 35.
μαι χρήσιμος εἶναι. δυναίμην δ' ἂν τυχὸν, ὥσπερ 8)
ὁδὸν ἰόντι μάλα ἰσχυρῷ καὶ ἀκμάζοντι, πᾶς, ἤ τις
πρεσβύτης ἐνίοτε νομεὺς, ἐπίτομον δείξας ἢ λεωφό- 40.
ρον, ἣν ἐκ ἔτυχεν εἰδώς. ἀλλ' ἵνα μὴ πολλὰ πρὸ
τοῦ πράγματος 9), ἤδη οἷς προσέταξας ἐγχειρη-
τέον.

4) αὐτῶν ἐκείνων] nam literis et eloquentiae debentur bonae leges et prudens constitutio reip. per quae ciues fiunt opulenti, vt possint vrbes suas donariis et muneribus ornare.

5) χρήσιμον ἑαυτῷ νενόμικας potest bonum videri et ἑαυτῷ idem esse atque σαυτῷ tibimet ipsi.

6) αὐτῷ κακῶς εἶναι μάντις bene habet — *vt veterum aliquis aliquando dixit, se vicunque sibi vatem esse.* nos quoque simili modo *übel und böse* vsurpamus, cum volumus indicare rem aliquam geri quomodocunque, tametsi non vsquequaque optime, tamen sic, vt tolerabile sit, et quodammodo necessitati satis fiat, tametsi non modis omnibus.

7) μόγις καὶ τοῦτο] subaudi τὸ ὀλίγον, ὃ κέκτημαι. fort. leg. μόγις δὲ καὶ τοῦτο. *sed vel hoc ipsum tantillum vix satis putabam.* vel μόγις, καὶ ἀδὲ τοῦτο. *vix, ac ne vix quidem.*

8) ὥσπερ] subaudi a communi δύναται χρήσιμος εἶναι.

9) ἵνα μὴ — πράγματος] scil. λέγων διατρίβω vel ἐνοχλῶ. tametsi horum aliquid adesse malim.

τέον. μειρακίῳ μὲν ἢ νέῳ ἀνδρὶ, τῷ τε πράττειν ἀποχωρῆσαι [10]) βουλομένῳ, καὶ πρὸς ἀσκήσει γενέσθαι, καὶ δύναμιν περιποιήσασθαι λόγων, ἑτέρων ἔργων τε καὶ πράξεων [11]) δεῖ. σὺ δὲ ἔτε ἄπειρος τῷ ἔργῳ [12]), ἔτε ἀπολιπεῖν τὸ πράττειν [13]) δύνασαι, ἔτε χρήζεις [14]) δικανικῆς δυνάμεως τε καὶ δεινότητος, ἀλλὰ τῆς πολιτικῷ ἀνδρὶ πρεπούσης τε ἅμα καὶ ἀρκούσης [15]). τοῦτο μὲν δὴ πρῶτον ἴσθι, ὅτι σοὶ δεῖ σοι πόνε καὶ παλαιπωρίας· τῷ μὲν γὰρ ἐπὶ πολὺ ἀσκήσαντι ταῦτα ἐπιπλεῖστον προάγει [16]), τῷ δ' ἐπ' ὀλίγον χρησαμένῳ, συλλήψει [17]) τὴν ψυχὴν, καὶ ὀκνη-

10) Veneta dat ἀποχαρῆσαι, vbi vir doctus in margine adſcripſit ἐπιχειρῆσαι, bene ad ſententiam, ſed verbum hoc cum dativo et accuſativo, non cum genitivo, conſtruitur. videtur melius conuenire ἀποπειρῆσαι, aut in medio ἀποπειρήσασθαι, *degustare geſtum rerum*, periculum facere et tirocinium ponere adminiſtrationis rerum ciuilium.

11) ἔργα ſunt *opera* penſa, in quibus elaborandum eſt, πράξεις effectiones illorum operum.

12) f. ἄπειρος εἰ τῷ ἔργῳ, ſtudium eloquentiae forenſis ſignificat.

13) πράττειν] gerere remp.

14) χρήζεις] ſic recte Veneta, χρήζειν Morelli.

15) τῆς — πρεπούσης — ἀρκούσης] pendent hi genitiui, verbo, quo nitantur, deſtituti. videtur ἐπιλήψαι deeſſe. conſecutus es facultatem eam, quae hominem ciuilem deceat, eique ſufficiat.

16) προάγει] h. e. πρόεισι, *procedunt*. ei, qui diutiſſime validiſſimeque ſe his in rebus exercuit, ei facillime, proſperrimeque quoad vult longiſſime procedunt, proficit in iis quam longiſſime.

17) συλλήψει] poſſunt varia excogitari, fortaſſis non plane aliena, neque tamen id reperiri, quod Dio reliquit. ſententia fert συντρίβει aut συγκόπτει, *conterit*, *comminuit*, h. e. deiicit mentem, aut συντήκει, vel συλλείβει. — προσφέρεσθαι bene habet. *accingi ad opus agendum*, id aggredi, accedere, capeſſere. et ſic quoque vir doctus in margine Venetae meae accepit interpretatusque eſt.

ἐκηρεῶν ποιεῖ προσφέρεσθαι. καθάπερ τὰς ἀσυνή- 10.
θεις περὶ σώματος ἄσκησιν, εἴ τις κοπώσειε βαρυ-
τέροις γυμνασίοις [18]), ἀσθενεστέρας ἐποίησεν· ἀλλὰ
ὡς τοῖς ἀηθέσι πονεῖν, σώματος ἀπολείψεως [19]) δεῖ
μᾶλλον καὶ κινήσεως συμμέτρου, ἢ γυμνασίας· ἔτω 15.
σοι ἐν τῇ περὶ τὰς λόγους ἐπιμελείᾳ, χρεία ἐστὶ μᾶλ-
λον ἡδονῆς μεμιγμένης [20]), ἢ ἀσκήσεως καὶ πόνε-
των· μὲν δὴ παντῶν συμβουλεύσαιμ' ἄν σοι, Μενέν-
δρῳ τε τῷ κωμικῷ μὴ παρέργως ἐντυγχάνειν, καὶ 20.
Εὐριπίδῃ τῷ τραγικῷ, καὶ τούτοις, μὴ ἔτως ἀνα-
γινώσκοντα [21]) ἑτέρων ἐπισαμένων, μάλιστα μὲν καὶ
ἡδέως,

18) voc. γυμνάσιον pro γύμνασμα, *exercitatione*, vſurpari haud memini. malim itaque βαρυτέραις γυμνασίαις.

19) ἀπολείψεως] vir doctus in margine Venetae idem ἀλείψεως adſcripſit. Caſaubonus interpretem ἀπαλείψεως voluiſſe ait, ideoque laudat. dubito, an vtrumque recte. ſimplex vſitatius eſt ἄλειψις, quam compoſitum ἀπάλειψις. deinde cur appoſitum σώματος? mihi potius videtur σώματος ἀναλήψεως leg. eſſe, *recreatione*, *refectione corporis*.

20) μεμιγμένης] ſcil. τῇ ἐπιμελείᾳ, quod praeceſſit; niſi malumus ἡδονῆς σπουδῇ μεμιγμ.

21) μὴ ἔτως ἀναγινώσκοντα bene habet, non ſic ſimpliciter legentem, tuismet oculis, et ſolis oculis, vt nos legimus, vt legunt omnes, qui legunt quicquam: ſed per alios legentem, h. e. audientem alios iſta recitantes. quare malim ſic legi: μὴ ἔτως ἀναγινώσκοντα, ἀλλ' ὑφ' ἑτέρων, ἐπισαμένων, μάλιστα μὲν ἡδέως, εἰ δ' ἂν (vel εἰ δ' ἂν μὴ) ἀλύπως γ' ὑποκρ. *ſed per alios, qui ſciant, quod inprimis equidem velim, et maxime ſit faciendum, ſuauiter et iucunde perſonas et res, quae in ſcena fiunt, voce geſtuque repraeſentare; ſin minus, ſaltem ſine aurium offenſione*. Poſt ἔτως in codice regio eſt αὐτὸν, quod, vt non repudio, ita valde neceſſarium non iudico. Caſaubonus tamen pro ἔτως ibat ſubſtitutum; male ille quidem, non recordatus elegantiam et vim huius aduerbii. Conſtat vel e Plinii epiſtolis, veteres coenae adhibere conſueuiſſe lyriſtas et comoedos, qui fabulas vetuſtas voce et geſtu referrent. Tractauit h. locum quoque Vale-

ἡδέως, εἰ δ' ἦν ἀλύπως ὑποκρίνασθαι. πλείων γὰρ
25. ἡ αἴσθησις ἀπαλλαγέντι τῆς περὶ τὸ γινώσκειν [22])
ἀσχολίας καὶ μηδεὶς τῶν σοφῶν αἰτιάσηταί με,
ὡς προκρίναντα τῆς ἀρχαίας κωμῳδίας τὴν Με-
νάνδρου, ἢ τῶν ἀρχαίων τραγῳδῶν Εὐριπίδην. ἐδὲ
30. γὰρ οἱ ἰατροὶ τὰς πολυτελεστάτας τροφὰς συντάτ-
τουσι τοῖς δεομένοις θεραπείας, ἀλλὰ τὰς ὠφελι-
μωτάτας [23]). πολὺ δ' ἂν ἔργον εἴη τὸ λέγειν, ὅσα ἀπὸ
τούτων χρήσιμα. ἥ τε γὰρ τοῦ Μενάνδρου μίμησις ἅπ-
αντος ἦθους καὶ χάριτος, πᾶσαν ὑπερβέβληκε
35. τὴν δεινότητα τῶν παλαιῶν κωμικῶν· ἥ τε Εὐριπίδου
προσήνεια καὶ πιθανότης, τοῦ μὲν τραγικοῦ ἀπαυ-
θαδήματος [24]) καὶ ἀξιώματος τυχὸν ἂν οὐ τελέως
ἐφικνοῖτο· πολιτικῷ δὲ ἀνδρὶ πάνυ ὠφέλιμος, ἔτι
40. δὲ ἤθη [25]) καὶ πάθη δεινὸς πλῆσαι, καὶ γνώμας
πρὸς

Valesius Emend. p. 54, 55. Pari eum modo interpretatus est Anglus.

22) γινώσκειν] imo vero ἀναγινώσκειν.

23) colligi posse videtur ex hoc loco, Aristophanis, Aeschyli, Sophoclis exemplaria Romae et in Graecia tum fuisse cariora pretio et rariora inuentu, quam Menandri et Euripidis.

24) iuuat lectionem Venetae afferre, minus fideliter a Morello relatam, τοῦ τραγικοῦ ἀπαυθήματος: vbi vir doctus ᾶ mediae vocis cum ῶ mutauerat, et postremae vocis interpretationem *consumacia*. Vnde natum sit in ed. Morell. ὑπαθήματος nescio. Casaubonus voluit εὐχαθήματος. mihi, legenti vestigia lectionis Venetae, probabile fit Dionem dedisse τοῦ τραγικοῦ ἀπαυθαδήματος, *tragicae arrogantiae*. potuit Dio nomen substantiuum ἀπαυθάδημα formare a verbo ἀπαυθαδέω. *ipse meo vsor arbitrio, meum sequor ingenium, spreto aliorum consilio atque more publico*. faciunt hoc profecto tragici nimisquam saepe.

25) f. leg. ὠφέλιμός ἐστι, παντοδαπὰ ἤθη καὶ πάθη δεινὸς ὢν πληῶσαι. *homini in rep. versanti est vtilis, quippe qui mallum non genus morum atque affectuum exhauriat*, h. e. totam eorum formam, vim et naturam oratione ex-

pri-

τας·) μηδὲ τῶν νεωτέρων καὶ ὀλίγον πρὸ ἡμῶν [32]) ἀπείρως ἔχειν· λέγω δὲ τῶν περὶ τον Ἀντίπατρον [33]), καὶ Θεόδωρον, καὶ Πλειτίωνα, καὶ Κόνωνα, καὶ τὴν τοιαύτην ὕλην [34]). αἱ γὰρ τούτων δυνάμεις καὶ ταύτῃ ἂν εἶεν ἡμῖν ὠφέλιμοι, ᾗ ἐκ ἂν ἐντυγχάνοιμεν αὐτοῖς δεδελωμένοι [35]) τὴν γνώμην, ὥσπερ τοῖς παλαιοῖς. ὑπὸ γὰρ τῷ δύνασθαί τι τῶν εἰρημένων αἰτιάσασθαι, μᾶλιστα θαῤῥοῦμεν πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρεῖν, ᾗ [36]) καὶ ἥδιον τις παραβάλλει αὐτὸν, ὡ πειθόμενος συγκρινόμενος, ὃ καταδεέστερος, ἐνίοτε δὲ καὶ βελτίων φαίνεσθαι. τρέψομαι δὲ ἤδη ἐπὶ τὸς Σωκρατικούς, ὃς δὴ ἀναγκαιότατος εἶναί φημι παντὶ ἀνδρὶ λόγων ἐφιεμένῳ. ὥσπερ γὰρ οὐδὲν ὄψον ἄνευ ἁλῶν γεύσει κεχαρισμένον, ἕτως οὐδὲν εἶδος ἔμοιγε δοκεῖ ἀκοῇ προσηνὲς ἂν γενέσθαι, χάριτος Σωκρατικῆς ἄμοιρον. τὸς μὲν δὴ ἄλλους μακρὸν [37]) ἂν εἴη ἔργον ἐπαινεῖν· καὶ ἐντυγχάνειν αὐτοῖς ὃ τὸ τυχόν. Ξενοφῶντα δὲ ἔγωγε ἡγοῦμαι, ἀνδρὶ

32) ὀλίγον πρὸ ἡμῶν] scil. γεγονότων.

33) Antipater ille videtur significari, in quem epigramma incerti auctoris exstat in Anthologia Henr. Stephani graeca 3. c. 31. p. 257. Theodorus autem Gadarenus, alias Rhodius, rhetor est, quem Tiberius Caesar Rhodi exsilium agens frequentauit. v. Interpp. Quintiliani 2, 11. et 3, 1. Pro *Plutione* fubstituit Meursius *Polytionem* Athenis Atticis p. 13. sed bene habet vulgata. Plutionem rhetorem laudat Seneca Suasor. 1. Cononem hic commemoratum nullus dubito eundem esse cum eo, cuius fabulosa argumenta Photius in Bibliotheca seruauit. vixit is aetate D. Augusti.

34) ὕλην forte bene habet. cogitaui tamen aliquando de ὅλην *caterua*m, *gregem*.

35) ᾗ — δεδελωμένοι] sic recte Veneta, Casaubonus et Anglius. ᾗ — δεδελωμένοις Morell.

36) ᾗ] sic rursus recte Ven. *quapropter*, ᾗ Mor.

37) μακρὸν in neutro, et sic quoque vir doctus in marg. Venetae meae. Ven. et Mor. dant μακρὰν.

ἀνδρὶ πολιτικῷ, καὶ μόνον τῶν παλαιῶν ἐξαρκεῖν δύνασθαι· εἴτε [38]) ἐν πολέμῳ τὶς ςρατηγῶν, εἴτε πόλεως ἀφηγούμενος, εἴτε ἐν δήμῳ λέγων, εἴτε ἐν βουλευτηρίῳ, μὴ ὡς ῥήτωρ ἐθέλοι μόνον, ἀλλὰ καὶ ὡς πολιτικὸς καὶ βασιλικὸς ἀνὴρ, τὰ τοιούτῳ προσήκοντα ἐν δίκῃ εἰπεῖν. πάντων ἄριςος ἐμοὶ καὶ λυσιτελέςατος, πρὸς ταῦτα πάντα Ξενοφῶν. τά τε γὰρ διανοήματα σαφῆ καὶ ἁπλᾶ καὶ παντὶ ῥᾴδια φαινόμενα· τό τε εἶδος τῆς ἀπαγγελίας προσηνὲς, καὶ κεχαρισμένον, καὶ πιςικὸν, πολλὴν μὲν ἔχον πιθανότητα, πολλὴν δὲ χάριν καὶ ἐπιβολήν [39])· ὥστε μὴ λόγων δεινότητι μόνον, ἀλλὰ καὶ γοητείᾳ ἐοικέναι τὴν δύναμιν. εἰ γοῦν ἐθελήσειας αὐτοῦ τῇ περὶ τὴν Ἀνάβασιν πραγματείᾳ σφόδρα ἐπιμελῶς ἐντυχεῖν, οὐδένα λόγον εὑρήσεις τῶν ὑπὸ σοῦ λεχθῆναι δυνησομένων, ὃν [40]) οὐ διείληπται, καὶ κανόνος ἂν τρόπον [41]) ὑπόσχοιτο τῷ πρὸς αὐτὸν ἀπευθῦναι [42]) ἢ μιμήσασθαι βουλομένῳ. εἴτε γὰρ θαῤῥῦναι τοὺς σφόδρα καταπεπτωκότας χρήσιμον πολιτικῷ ἀνδρὶ, καὶ πολλάκις [43]), ὡς χρὴ τοῦτο ποιεῖν δείκνυσιν· εἴτε προτρέψαι καὶ παρακαλέσαι, οὐδεὶς, Ἑλληνικῆς φωνῆς ἐπαΐων, οὐκ ἂν ἐπαρθείη τοῖς προ-

38) post εἴτε deesse videtur γὰρ, aut alias post εἰπεῖν est punctum figendum. (quod punctum in Mor. deest.)

39) ἐπιβολὴν] auram quasi afflatu fascinantem. aliter exposuit Anglus, sed alienius ab hoc loco. de suauitate ad mentem lectoris ita allabente, vt aura dulcis ad nares allabens, ἐπιβάλλουσα, caput tentat, hic agi, sequentia docent.

40) ὃν] *quem Xenopho non pertractarit.* Ven. et Mor. dant ὅς.

41) malim τόπον. *locum normae obtineat.*

42) aut deest ἑαυτὸν post ἀπευθῦναι, aut leg. est ἀπευθύνασθαι, aut ἀπευθυνθῆναι.

43) post πολλάκις deest ἐςὶ. et haec verba pro parenthesi habenda sunt. *si expedit* — (*et profecto saepe expedit*) *monstrat Xenopho, quomodo hoc instituere nos oporteat.*

προτρεπτικοῖς Ξενοφῶντος λόγοις. ἔμοιγ' ἔν κινεῖται ἡ διάνοια, καὶ ἐνίοτε δακρύω μεταξὺ, τοσούτων ἔργων τοῖς λόγοις ἐντυγχάνων 44). εἴτε μεγαλοφρονοῦσι καὶ ἐπηρμένοις ὁμιλῆσαι φρονίμως, καὶ μήτε παθεῖν τι ὑπ' αὐτῶν δυσχεραναίντων, μήτε ἀπρεπῶς δουλῶσαι τὴν αὐτοῦ διάνοιαν, καὶ τὸ ἐκείνοις κεχαρισμένον ἐκ παντὸς ποιῆσαι, καὶ ταῦτα ἕνεκα καὶ ἀποζήτοις δὲ λόγοις ὡς προσήκει χρήσασθαι, καὶ πρὸς στρατηγοὺς ἄνευ πλήθους, καὶ πρὸς πλῆθος κατὰ ταὐτό 45)· καὶ βασιλικῶς τινὰ τρόπον διαλεχθῆναι, καὶ ἐξαπατῆσαι ὅπως 45), πολεμίους μὲν ἐπὶ βλάβῃ, φίλους δ' ἐπὶ τῷ συμφέροντι, καὶ μάτην ταραττομένοις, ἀλύπως τἀληθὲς καὶ πιστῶς εἰπεῖν· καὶ τὸ μὴ ῥαδίως πιστεύειν τοῖς ὑπερέχουσι· καὶ οἷς ἐξαπατῶσιν οἱ ὑπερέχοντες· καὶ οἷς καταστρατηγοῦσι καὶ καταστρατηγοῦνται ἄνθρωποι, πάντα ταῦτα ἱκανῶς τὸ σύνταγμα περιέχει. ἅτε γὰρ, οἶμαι, μιγνὺς ταῖς πράξεσι τοὺς λόγους, οὐκ ἐξ ἀκοῆς παραλαβὼν, οὐδὲ μιμησάμενος, ἀλλ' αὐτὸς πράξας ἅμα καὶ εἰπὼν, πιθανωτάτους ἐποίησεν ἐν ἅπασί τε τοῖς συντάγμασι· καὶ ἐν τούτῳ μάλιστα, ὃ ἐπιμνησθεὶς ἐτύγχανον. καὶ εὖ ἴσθι, οὐδένα σοι τρόπον μεταμελήσει 47)· ἀλλὰ καὶ ἐν βουλῇ καὶ ἐν δήμῳ, ὀρέγοντός σοι χεῖρα αἰσθήσῃ τοῦ ἀνδρὸς, εἰ αὐτῷ προθύμως καὶ φιλοτίμως ἐντυγχάνοις. γράφειν μὲν ἔν

44) ἐντυγχάνων] sic recte vir doctus in margine Venetae meae notauit. *interdum illacrymo meae lectioni narrationum de tantis rebus gestis.* ἐντυγχάνω Ven. et Mor.

45) κατὰ ταὐτὸ videtur significare h. l. idem atque ἄνευ στρατηγῶν. *ad milites per absentiam imperatorum.*

46) τινὰ τρόπον et ὅπως traiecit. Consuetus enim ordo postulabat, vt illud ante βασιλικῶς, hoc ante ἐξαπατῆσαι staret. Imposuit hoc Anglo, vt πως encliticum suffectum iret.

47) μεταμελήσει] subaudi ex insequentibus εἰ αὐτῷ προθύμως καὶ φιλοτίμως ἐντυγχάνοις.

ἢν δ' συμβουλεύσω σοι αὐτῷ, ἀλλ' ἡ σφόδρα ἀραιῶς, ἐπιδιδόναι [48]) δὲ μᾶλλον. πρῶτον μὲν γὰρ ἑτοιμότερος [49]) τῷ λέγοντι ὁ ὑπαγορεύων, τῦ γράφοντος. ἔπειτα ἐλάττονι πόνῳ γίνεται [50])· ἔπειτα πρὸς δύ-
45. ναμιν μὲν ἧττον συλλαμβάνει τῦ [51]) γράφειν· πρὸς ἕξιν δὲ [52]), πλεῖον. καὶ γράφειν δὲ ὁ ταῦτά σε ἀξιῶ τὰ σχολαστικὰ πλάσματα, ἀλλ' εἴπερ ἄρα τινὰ τῶν λόγων, οἷς ἂν ἡσθῇς ἐντυγχάνων, μᾶλλον τῶν Ξενοφωντείων, ἢ ἀντιλέγοντα τοῖς εἰρημέ-
5. νοις, ἢ τὰ αὐτὰ ἕτερον τρόπον ὑποβάλλοντα. καὶ ἀναλαμβάνειν [53]) μέντοι, εἴ σοι ῥᾴδιον μεμνῆσθαι, τὰ ἐκείνων ἄμεινον. τῷ τε γὰρ τρόπῳ τῆς ἀπαγγελίας καὶ τῇ ἀκριβείᾳ τῶν διανοημάτων, πάνυ
10. συνήθεις ποιεῖ. λέγω δὲ, ἐχ ἵνα σύνταγμά τι ὅλον,

48) ἐπιδιδόναι nolim ſolicitari, eſt ad calamum dictare. vniuerſe eſt mandare, committere, iniungere alteri exſequenda, quaecunque ſunt; ſic inprimis notario verba calamo celeri excipienti; item diſcipulo, quod memoriae mandet, memoriter ediſcat. ſic Sopater vſurpat in fine Prolegomenorum ad Ariſtidem.

49) aut ὁμοιότερος, aut ἐγγύτερος, poſtulat ſententia. *dictans ſimilior eſt diſputanti, quam ſcribens.*

50) ἐλάττονι πόνῳ γίνεται] ſic recte Veneta, codex regius, Caſaubonus et Anglus. Morell. omittit πόνῳ.

51) τῦ] vir doctus in margine Venetae meae ſcripſit τὸ, in quo falſus eſt et a ſententia auctoris aberrauit, quae haec eſt: *exercitatio ſcribendi plus confert ad δύναμιν, exercitatio loquendi plus ad ἕξιν.* appellat δύναμιν facultatem ſenſus animi verbis planis, ſed ornatis, et ad perſuadendum efficacibus, exprimere, quod niſi meditando et commentando fieri nequit, ἕξιν habitum diſputandi probabiliter, tametſi non ornate, ſed ex tempore, quamuis pinguiuſcule.

52) δὲ] ſic recte interpres. δὴ Ven. et Mor.

53) ἀναλαμβάνειν eſt *memoriter ediſcere.* ſententia eſt: *ſi facile tibi eſt memoriter ediſcere, ſatius erit locos veterum, quam aut recentiorum, aut tuamet ipſius ſcripta, ediſcere.*

ὥσπερ οἱ παῖδες, εἴρων συνάπτης [54]· ἀλλ' ἵνα, εἴ τι σοι σφόδρα ἀρέσειε, τοῦτο κατάσχῃς. πλείονα [55] περὶ τούτου μειρακίῳ ἂν ἔγραψα· σοὶ δὲ ἀρκεῖ τοσαῦτα· καὶ γὰρ εἰ ἐλάχιστα ἀναλάβοις, πολὺ ὀνήσῃ. καὶ εἰ δυσκόλως ἔχοις καὶ μετὰ ὀδύνης πράττοις [56], ἐκ ἐξ ἅπαντος ἀναγκαῖον. ἀλλὰ ἔοικα μὲν πάνυ μηκύναι τὴν συμβουλίαν· σὺ δὲ αἴτιος, ἀναπείσας καὶ προκαλεσάμενος· ὥσπερ οἱ ἐν πάλῃ ὑπερέχοντες τοῖς ἀσθενεστέροις ὑπείκοντες, ἐνίοτε ἐπέσασαν αὐτοὺς, πείθεσθαι ἰσχυροτέρους εἶναι· καὶ σὺ ἔοικας, ἃ κρεῖττον [57] τυγχάνεις εἰδὼς, ἐμοὶ [58] προτρέψαι, ὡς ἔλαττον ἐπισταμένῳ γράψαι. βουλοίμην δ' ἄν, εἴ σοι κεχαρισμένον εἴη, καὶ ἐν τῷ αὐτῷ ποτε ἡμᾶς γενέσθαι, ἵνα καὶ ἐντυγχάνοντες τοῖς παλαιοῖς, καὶ διαλεγόμενοι περὶ αὐτῶν, χρήσιμοί τι ἐγενόμεθα. ὥσπερ τοῖς ζωγράφοις καὶ πλάσαις ἐκ ἀπόχρη εἰπεῖν, ὅτι δεῖ τοιάδε χρώματα εἶναι, καὶ τοιάσδε τὰς γραμμὰς, ἀλλὰ μεγίστη ὠφέλεια, εἴ τις

54) εἴρων συνάπτης] *hoc non eo dico, quo tu librum aliquem veteris alicuius auctoris, id quod pueri in ſcholis facitant, a capite ad calcem memoriter ediſcas.*

55) πλείονα] ſic recte interpres: *plura hac de re.* πλεῖσα Ven. et Mor.

56) πράττοις] ſic dedi, vt modo praeceſſit ἀναλάβοις. *quod ſi autem aegre, moleſteque hoc facias. h. e.* locos veterum memoriae mandes. neſcio praeterea quoque, an δυσκόλως πρὸς τοῦτο ἔχοις. *ſis ad hoc inuitus, et inuita Minerua natus*, accedasque ad hoc agendum cum taedio. Ven. et Mor. dant πράττεις.

57) κρεῖττον] *melius*, vt ſtatim ἔλαττον. Ven. et Mor. dant κρείττων.

58) ἐμοὶ poſſit quodammodo defendi, referendo ad ἔοικας, *videris mihi*, et tum ſubaudiendo ἐμὲ; ſed hoc paulo durius eſt. quare malim legi ἐμὲ προτρέψαι. *tu videris mihi me hortatus eſſe, vt ea, quae tu melius, quam ego, noſſes, tibi tamen ſcripto praeciperem, quaſi tu ea minus, quam ego, teneres.*

εἴ τις αὐτὸς ἢ γραφοντας ἢ πλάττοντας ἴδοι· καὶ
35. ὡς τοῖς παιδοτρίβαις οὐκ ἀρκεῖ εἰπεῖν τὰ παλαίσματα, ἀλλὰ καὶ δεῖξαι ἀνάγκη τῷ μαθησομένῳ· οὕτω καὶ ἐν ταῖς τοιαύταις συμβουλίαις πλείων ἡ ὠφέλεια γίγνοιτ' ἄν, εἴ τις αὐτὸν πράττοντα ἴδοι τὸν συμβεβουλευκότα. ὡς ἔγωγε, καὶ εἰ ἀναγι-
40. γνώσκειν με δέοι, σὲ ἀκροωμένῳ, τῆς σῆς ἕνεκα ὠφελείας οὐκ ἂν ὀκνήσαιμι, σέργων τέ σε, καὶ τῆς σῆς φιλοτιμίας ἀγάμενος, καὶ τῆς πρὸς ἐμὲ τιμῆς χάριν εἰδώς.

ΠΕΡΙ ΤΗΣ ΑΥΤΟΥ ΦΙΛΗΚΟΙΑΣ.

ΛΟΓΟΣ ΙΘ'.

Ἐδέοντο μὲν πάλαι τῶν οἰκείων τῶν ἐμῶν τινὲς ἐν-
5. τυγχάνειν μοι· καὶ τῶν πολιτῶν δὲ ἐλέγοντο ἐπιθυμεῖν πολλοὶ θεάσασθαι, νομίζοντες πλέον τι παρὰ τοὺς ἄλλους ἔχειν με, διὰ τὴν ἄλλην μεταβολὴν τοῦ βίου, καὶ διὰ τὴν δοκοῦσαν αὐτοῖς τοῦ σώματος τα-
10. λαιπωρίαν· τελευτῶντες δὲ ἤδη καὶ ἐνεκάλουν, ἀδικεῖσθαι φάσκοντες [1]). ἐγὼ δὲ οὐκ ἤθελον ἐγγὺς ἰέναι πρὸς αὐτοὺς τοὺς ὄρους, ἀλλὰ ἐδόκει μοι τὸ τοιοῦτο παντελῶς ἀχθομένου τινὸς εἶναι τῇ Φυγῇ, καὶ ἐπι-
15. θυμοῦντος κατελθεῖν· ὥσπερ οἱ μηδὲν καταλιπόντες ἐν τῇ κύλικι δῆλοί [2]) εἰσι πάνυ διψῶντες. ἐλθὼν

1) ἀδικεῖσθαι φάσκοντες] eo ſcil. quod mei copiam ipſis facere nollem, et coram illis diſputare.

2) δῆλοι] ſic recte Caſaubonus. *qui nihil in poculo relinquunt, ſed vel cum ipſis faecibus vacuant, eo facto de ſe produnt, ſe admodum ſitire, idque ex eo agnoſcitur.* δῆλον Ven. et Mor.

ἔν εἰς Κύζικον [3]), ἐκεῖ διέτριβον, καὶ παρεῖχον, εἴ τις βέλεται μοι τῶν ἐπιτηδείων συγγίνεσθαι. καὶ δὴ καὶ τὸ τῦ κιθαρῳδῦ τῦτο, ὃ λέγυσιν, ἔσωσέ με, ὠδήν τινα αὐτοῖς [4]). ἐπεὶ γὰρ ἦκεν ὁ ἄρισος τῶν νῦν κιθαρωδῶν, ὡς δ' ἔνιοί φασιν, ἠδὲ τῶν πρώτων ἠδενὸς ἐνδεέστερος, ἀλλ' ἠδὲ Ἀρίωνος ἐκ τῦ πελάγυς [5])· μαντευόμενοι [6]) δηλονότι, πῶς γὰρ εἰδῆσιν τὸ σαφὲς ἐκ ἀκύσαντες ἐκείνυ; ὡς δ' ἔν τάχισα ᾔσθοντο ἐπιδημῦντα τὸν ἄνδρα, εὐθὺς σπυδὴ ἀμήχανος· καὶ πάντες ἐβάδιζον εἰς τὸ βελευτήριον. ἐγὼ ἔν καὶ αὐτὸς ἐξεῖναι νομίζων καὶ ἡμῖν [7]), ἀκύσαι καὶ μεταλαβεῖν ἔτω καλῆς εὐωχίας, ἐν ἀνθρώποις τρισχιλίοις καὶ πλείοσιν, ἦκον ἐν πρώτοις πάνυ θαῤῥῶν, εἰμὶ δὲ φιλήκοος καὶ φιλόμυσος ἀτεχνῶς, οὐ πάνυ ἔμπειρος ὢν μυσικῆς· ὥστε, εἴπερ ἔτυχον γεγονὼς κατὰ τὸν αὐτὸν χρόνον Ὀρφεῖ, δοκῶ μοι, πρῶτος ἂν ἐπηκολούθην, εἰ καὶ ἔδει [8]) μετὰ νεβρῶν τινων,

3) ἔν] sic recte Ven. ἐκ Mor.

4) ὠδήν τινα αὐτοῖς] vitii locum hunc arguit Caſaubonus, et ſaltim ἅσαντος deeſſe autumat, cui codex regius quodammodo ſuffragatur, addens ἄσαντα, teſte Morello. Veneta quoque dat ὠδήν τινα ἅπαντα αὐτοῖς. ſed bene habere videtur vulgata, et ſubaudiri δὸς. *da illis cantiunculam, qua placentur.* Dilucidior eſſet oratio, ſi originem prouerbii teneremus.

5) imo vero tranſpoſitis vocabulis τῦ ἐκ πελάγυς, ſcil. σωθέντος. *ne Arione quidem ipſo inferior, illo, qui ex undis maris ſaluus euaſit, vel ſeruatus eſt.* mirum eſt dictu, quantam caliginem res tam leuicula, traiectio vnius vocis vnius, Caſaubono obiecerit.

6) μαντευόμενοι cohaeret cum φασι. *vt aiunt quidam non certa illi ſcientia freti, ſed coniecturam quandam ſequentes, et quaſi diuinantes*, h. e. opinantes ſolummodo.

7) ἡμῖν] mihi aliisque philoſophis mei ſimilibus.

8) ἔδει] ſic bene correxit Caſaubonus. ἤδη Ven. et Mor. Conſtructio δοκῶ μοι πρῶτος ἐπηκολούθην pro ἐπηκολουθηκέναι mihi inſolens et dura atque vitioſa videtur.

τινων, ἢ μόσχων, ἡδέν αὐδέμενος· ἐπεὶ καὶ νῦν
40. ταυτὸ τοῦτο πάσχω πολλάκις, ἐπειδὰν εἰσαφίκωμαι σοφιστῆ, διὰ τὴν προσοῦσάν μοι ἀκρασίαν [9]) περὶ τὰς λόγους, καὶ μετὰ τοιούτων συναγελάζομαι θρεμμάτων, ὡραίων καὶ καλῶν, ἄλλως δὲ θορυβέντων, καὶ σκιρτᾶν προθυμουμένων. τοῦτο δὲ πέπονθα πρὸς
5. τὰς σοφιστὰς τε καὶ ῥήτορας ἅπαντας σχεδόν. καθάπερ οἱ πτωχοὶ καὶ τὰς μετρίως εὐπόρους μακαρίζουσι διὰ τὴν αὐτῶν ἀπορίαν· κἀγὼ τὰς ἀμηγέπη δυνατὰς λέγειν θαυμάζω καὶ ἀγαπῶ, διὰ τὸ αὐ-
10. τὸς ἀδύνατος εἶναι λέγειν; τὸ μέντοι τῶν κιθαρῳδῶν τε καὶ, νὴ Δία, τῶν ὑποκριτῶν, ἃ παρ' ὀλίγον μοι δοκεῖ διαφέρειν [10]). πρὸς ἡδονήν τε γὰρ φωνῇ [11]) μείζων, καὶ δηλονότι ἐπιμελεστέρα, ἥ τε ἕξις [12]) ἐκ
15. αὐτοσχεδίου, ὥσπερ ἡ τῶν ῥητόρων ἐξ ὑπογείου [13]) τὰ πολλὰ πειρωμένων λέγειν, ἀλλὰ ποιητῶν, ἐπιμελῶς καὶ κατὰ σχολὴν πεποιηκότων. καὶ τά τε [14]) πολλὰ αὐτῶν ἀρχαῖά ἐστι, καὶ πολὺ σοφωτέρων
20. ἀνδρῶν, ἢ τῶν νῦν· τὰ μὲν τῆς κωμῳδίας, ἅπαντα· τῆς δὲ τραγῳδίας, τὰ μὲν ἰσχυρά, ὡς ἔοικε, μένει· λέγω δὲ τὰ ἰαμβεῖα [15]), καὶ τούτων μέρη διεξιασιν ἐν τοῖς θεάτροις· τὰ δὲ μαλακώτερα ἐξερρύη, καὶ

9) probo Caſauboni ἀκρασίαν pro ἀκράσιν Ven. et Mor.

10) διαφέρειν] *praeſtare*, arti puta ſophiſtarum et oratorum ex tempore loquentium.

11) φωνῇ] vox hiſtrionum et citharoedorum aſſa voce canentium.

12) ἕξις] imo vero λέξις, *dictio*, oratio, verba, quae ab hiſtrionibus et citharoedis recitantur, quippe quae non ipſorum ſunt, ſed veterum et probatorum poetarum.

13) l. ἐξ ὑπογυίου, *ex tempore*, ſubito, ſiue vlla praeparatione et meditatione.

14) leg. τά γε.

15) τὰ ἰαμβεῖα] ea, quae ſenariis perſcripta ſunt, fabulae ipſae, ſine choris.

τοιαύτης σχολῆς τε καὶ ἀποδράσεως. μὴ ἔν τε τοῖς ἀπὸ τῶν ἀνωφελῶν πραγμάτων, καὶ τῶν ἃ προσηκόντων αὐτοῖς ἀσχολιῶν ἀπιόντας, καὶ σχολήν τινα πορίζοντας αὐτοῖς ἀπὸ τῶν ἐνοχλούντων μάτην, ῥητέον ὡς ἀναχωρήσαντας [3]); ἀλλ' ὅτως μὲν ἐχ ὁ μεταβὰς ἐκ πόλεώς τινος εἰς ἑτέραν πόλιν, ἢ ἐκ τόπου εἰς ἕτερον τόπον, ἀναχωρεῖν λέγοιτ' ἄν· ὅπου γὰρ ἂν ἀφίκηται, πολλὰ ἂν εἴη τὰ ἐμποδὼν αὐτῷ γινόμενα, καὶ ἐκ ἐῶντα τὰ προσήκοντα ποιεῖν. καὶ γὰρ τὸ ἐπὶ πότου ξυνεῖναι, καὶ τὸ πίνοντα, ἢ [4]) κυβεύοντα, ἢ ἄλλο τι τῶν βλαβερῶν καὶ ἀσυμφόρων πράττοντα διατελεῖν, παντα χῆ τοιαῦτά ἐστιν ἀδολεσχοῦντα [5]) καὶ ἀκούοντα λόγων ἐδὲν χρησίμων, ἢ περὶ τὰ βασιλέως πράγματα διατρίβειν· ἢ τὰ [6]) τοῦ δεῖνος, ὡς ἔφη τις. ὁ γάρ ἐστιν ἀνόητος τῆς αὐτοῦ ψυχῆς κύριος, ἀλλὰ ῥεμβόμενός τε καὶ ἀγόμενος ῥαδίως ὑπὸ τῆς τυχούσης προφάσεως καὶ ὁμιλίας [7]). ὥστε οἱ πολλοὶ ἄνθρωποι, καθάπερ οἱ ἄσωτοι, τῶν χρημάτων ἐκ ἂν δύναιντο ἀποδοῦναι λόγον, πρὸς ὅ, τι ἀνηλώκασιν ἕκαστον αὐτῶν, φαίνεται δ' ὅμως ἀνηλωμένα πάνυ συχνὰ χρήματα, ἐδὲ ἔτοι τοῦ χρόνου

3) l. ὡς ἀναχωρήσει.

4) πίνοντα, ἢ] haec duo verba videntur delenda; modo enim praeceſſit de compotatione.

5) poteſt hic locus variis modis emendari, ſemper incertis, donec codex bonus dubium tollat. interim hi duo modo videntur mihi probabiles; alter vt poſt παντα χῆ ponatur punctum, ſubaudiatur ἐστι. *haec res vbique ſunt.* τοιαῦτά ἐστι καὶ τὸ ἀδολεσχοῦντα — *Eiusmodi etiam ſunt haec* — alter ſic: παντα χῆ τὰ αὐτὰ *vbique ſunt eadem.* ἔτι δ' ἀδολεσχ. *praeterea quoque vbique ſunt eadem haec.*

6) ἢ τὰ] ſic recte margo Mor. *aut neſcio cuius res procurare.* per contemtum hoc dicitur. ſeruus eſſe reguli alicuius, vel diuitis ſuperbi. ἢ τὸ Ven. et t. Mor.

7) poſt ὁμιλίας deeſt aliquid, e. c. κατέχεται *detinetur*, aut φθείρεται, vel tale quid.

χρόνε τε καὶ βίε δύναντ' ἀποδῶναι λόγον, πρὸς ὅ, τι ἑκάστην ἡμέραν ἀνήλωσαν, ἢ μῆνα, ἢ ἐνιαυτόν· φαίνεται δ' ἔν παριων ὁ βίος καὶ δαπανώμενος ὁ χρόνος, ἐκ ὀλίγε ἄξιος τοῖς ἀνθρώποις, ἐδὲ ἥττονος, ἐμοὶ δοκεῖν, ἢ τὸ ἀργύριον. ἀλλ' ὅμως μιᾶς δραχμῆς ἀπολομένης, ἀναίγκη αἰσθέσθαι καὶ δηχθῆναι ἀμηγέπη· εἰ δὲ καὶ πλείως τις ἀποβάλλοι[8]), ἃ πολλοί εἰσιν οἱ ἐπὶ τῷ τοιέτῳ πραΰως ἔχοντες· λέγω δὲ, ἃ διὰ τὴν ἀμέλειαν λυπέμενοι καὶ δακνόμενοι, καὶ διὰ τὸ μὴ προσέχειν, ἐφ' οἷς[9]) ἄξιον ἦν δάκνεσθαι· ἀλλ' ἐπὶ τῇ ἀπωλείᾳ τῶν δραχμῶν. ἡμέρας δὲ ἐξελθέσης καὶ ἀπολομένης, καὶ δύο καὶ τριῶν, ἐδεὶς ἔσιν, ὃς ἐφρόντισεν. ἀλλ' ἐκεῖ μὲν δύναντα λογίζεσθαι τὸ τοιῦτον[10]), ὅτι, εἰ μὴ προσέξεσι μηδὲ φροντιῦσι τῶν τοιέτων, λάθοι ἂν αὐτὲς ἡ σύμπασα ὑσία διαῤῥυεῖσα καὶ ἀπολομένη. ἐνταῦθα δὲ ἃ δύναντα ταυτὸ τῦτο λογίσασθαι, ὡς, εἰ μὴ προνοήσεσιν ἑκάσης ἡμέρας, καὶ φυλάξεσι μὴ εἰκῇ ῥεῖέναι, λάθοι ἂν αὐτὲς ὁ σύμπας βίος διαῤῥυεὶς καὶ ἀπολόμενος. ἀλλ' ὅτι γε[11]) ὁ τόπος ἐσὶν ὁ παρέχων, ἐδὲ τὸ ἀποδημῆσαι, τὸ μὴ φαῦλ' ἕττα πράττειν, ἐδὲ εἰς Κόρινθον[12]) ἢ Θήβας ἀναπεχωρη-

8) ἀποβάλλοι] Ven. et Mor. dant ἐμβάλλοι. saepe ἐκ et ἀπο permutantur a librariis, aut ab iis, qui codices mstos non satis didicerunt tractare, neque satis tenent siglas graecorum librariorum.

9) ἐφ' οἷς] ἐπὶ τῇ ἀμελείᾳ puta καὶ τῷ μὴ προσέχειν.

10) τὸ τοιῦτον videtur delendum, vt e proximo versu perperam iteratum.

11) ἀλλ' ὅτι γε] aut deest aliquid, e. c. δῆλον, aut εἰκός ἐσιν, aut tale quid. *verum constat*, vel *liquet nullum locum praebere vacationem a praxi coeptis.* aut leg. est ἀλλὰ γὰρ ὁ τόπος *verum enim vero neque locus vllus, neque peregrinatio hoc praestat*, vt *vacuus sis et liber a malis institutis.*

12) malim ἐδὲ τὸ εἰς Κόρ. *neque iter ad Corinthum, aut ad Thebas, hoc a turpibus otium praestat, sed hoc praestat*, vt *secum quis velit esse, et sibi attendere.*

χωρηκέναι, τὸ δὲ, τὸν βελόμενον πρὸς αὐτῷ εἶναι. καὶ γὰρ ἐν Θήβαις καὶ ἐν Μεγάροις, καὶ παντα-χῆ σχεδὸν, ἔστις ἂν ἀπέλθοι τῆς Ἑλλάδος καὶ τῆς Ἰταλίας, ἔνεστι τό τε ἀργεῖν καὶ τὸ ῥᾳθυμεῖν, καὶ ἐκ ἀπορήσει προφάσεως, ὅπῃ ἂν τύχοι ὤν, δι' ἣν βλακεύων τε καὶ ἀσχολέμενος ἀναλώσει καὶ πάνυ πολὺν χρόνον, ἂν ἔτως τύχῃ. μὴ ἕν [13]) βελτίστη καὶ λυσιτελεστάτη πασῶν ἡ εἰς αὐτὸν ἀναχώρησις, καὶ τὸ προσέχειν τοῖς αὐτῷ πράγμασιν, ἐάν τε ἐν Βαβυλῶνι τύχῃ τις ὤν, ἐάν τ' Ἀθήνησιν, ἐάν τ' ἐν θρατοπέδῳ, ἐάν τ' ἐν νήσῳ μικρᾷ καὶ μόνος. οἱ γὰρ τοιαῦται ἀναχωρήσεις [14]) καὶ ἀποδημίαι μικράν τινα ἔχουσι ῥοπὴν πρὸς τὸ σχολὴν ἄγειν καὶ τὸ πράττειν τὰ δέοντα· ὥσπερ τοῖς ἀσθενοῦσιν, ἐφ' ἑτέρας καὶ ἑτέρας κλίνας καταικλίνεσθαι. φέρει μέν τινα ἐνίοτε μικρὰν ἀνάπαυσιν, ἐ μὴν ἱκανήν γε, ἐφ' ὥστε ἀπαλλάξαι. ἰδεῖν δέ ἐστι καὶ ἐν τῷ πάνυ πολλῷ θορύβῳ τε καὶ πλήθει, ἃ κωλυόμενον πράττειν ἕκαστον τὸ αὐτῷ ἔργον· ἀλλ' ὅ, τε αὐλῶν, ἢ διδάσκων αὐλεῖν, τοῦτο ποιεῖ, πολλάκις ἐπ' αὐτῆς τῆς ὁδῷ τὸ διδασκαλεῖον ἔχων [15]), καὶ ἐάσει αὐτὸν ἐξίστησι τὸ πλῆθος, ἐάσει ὁ θόρυβος τῶν παριόντων· ὅ, τε ἐρχόμενος ὁμοίως, ἢ ὀρχησοδιδάσκαλος, πρὸς τούτῳ ἐστὶν, ἀμελήσας τῶν μαχομένων τε καὶ ἀποδυομένων, καὶ ἄλλα πραττόντων· ὅ, τε κιθαριστὴς, ὅ, τε ζωγράφος· ὁ δὲ πάντων φοβερώτατόν [16]) ἐστιν, οἱ γὰρ τῶν γραμμάτων διδάσκαλοι μετὰ τῶν παίδων

13) μὴ ἕν] bene habet: *vide ergo, ne omnium ſeceſſuum ille ſis optimus, qui cuique ſis in ſemet ipſum.*

14) αἱ γὰρ τοιαῦται ἀναχ.] non ſeceſſus et deſcenſus in mentem cuiusque ſuam, ſed illi vulgares Roma in villam, aut Rhodum, aut alio —

15) locum hunc illuſtrat Henr. Valeſius Emendat. p. 56.

16) φοβερώτατον] ſubaudi ἀκῆσαι. *auditu maxime formidabile.* rariuscule dictum, pro θαυμαζότατον.

παίδων ἐν ταῖς ὁδοῖς καθηνται, καὶ ἡδὲν αὐτοῖς ἐμποδών ἐστιν ἐν τοσούτῳ πλήθει, τὸ διδάσκειν τε καὶ μανθάνειν. ἤδη δέ ποτε εἶδον ἐγὼ, διὰ τὸ Ἱπποδρόμῳ βαδίζων, πολλοὺς ἐν τῷ αὐτῷ ἀνθρώπους, ἄλλον ἄλλο τι πράττοντας· τὸν μὲν αὐλοῦντα, τὸν δὲ ὀρχούμενον, τὸν δὲ θαύμαθ' ἀποδιδόμενον [17]), τὸν δὲ ποίημα ἀναγινώσκοντα, τὸν δὲ ᾄδοντα, τὸν δὲ ἱερεῖαν τινὰ ἢ μῦθον διηγούμενον· καὶ ἡδὲ εἷς τούτων ἡδένα ἐκώλυσε προσέχειν αὐτῷ, καὶ τὸ προκείμενον πράττειν. καίτοι [18]) τούτων ἡδέν ἐστι τῶν ἔργων, ἃ συναίγει τὴν ψυχὴν καὶ καθίστησι, καὶ καταφρονεῖν ποιεῖ τῶν ἄλλων ἁπάντων. παιδείας δὲ, ὡς ἔοικε, καὶ φιλοσοφίας, αἳ μάλιστα τοῦτο διαπράττονται, πολλῆς ἐρημίας τε καὶ ἀναχωρήσεως τυγχάνουσι δεόμεναι· καὶ ὥσπερ τοῖς νοσοῦσιν, εἰ μὴ πανταχόθεν ἐστὶ σιωπή τε καὶ ἡσυχία, ἃ δυνατὸν ὕπνος μεταλαβεῖν· ἴσως ἄρα καὶ τοῖς φιλολόγοις, εἰ μὴ πάντες ὑποσγήσουσιν αὐτοῖς, καὶ μήτε ὄψεται μηδὲν ἄλλο ἔξω [19]), μήτε ἀκούσεται ἀκούειν μηδενός, ἀπ' ἄρα οἵα τε ἔσται ἡ ψυχὴ, τοῖς αὐτοῖς [20]) προσέχειν καὶ περὶ ταῦτα γίνεσθαι ἀλλ' ἔγωγε ὁρῶ καὶ τοὺς πλησίον τῆς θαλάττης, ἡδὲν πάσχοντας, ἀλλὰ διανοεῖσθαι δυναμένους, ἃ βούλονται διανοεῖσθαι, καὶ λέγοντας καὶ ἀκούοντας, καὶ καθεύδοντας, ὁπόταν αὐτοῖς ἡ καιρός· ὅτι ἡδὲν οἴονται προσήκειν αὐτοῖς τοῦ φόβου [21]) τούτου, οὐδὲ φροντίζουσιν. εἰ δὲ

17) θαύματα ἀποδιδόμενον, *spectacula mirifica et portentosa ostentantem pro pecunia.*

18) καίτοι] hic incipit quaestio, vel obiectio. *Verum tamen vide, ne philosophia opus habeat secessu.*

19) aut post ἄλλο, aut post ἔξω, deest ὁρᾷν.

20) l. τοῖς αὐτῆς, scil. ἔργοις. *studiis suis attendere.*

21) τὸ Φόβου] non dubito v. Φοβος apud poetas occurrere in significatu *strepitus, fremitus terrifici.* prosaici vero ψόφον aut θόρυβον vsurpant; quorum vtrum huic loco con-

τὴν ψυχὴν ἐθίζειν ἂν δέοι, μηδέποτε ἀποτρέπεσθαι, μηδὲ ἀναχωρεῖν τῶ δοκοῦντος εἶναι προσήκοντος ἔργου· εἰ δὲ μὴ, ὃ ῥᾴδιον περιγενέσθαι, ὐδὲ ἐξεργάσασθαι ὐδὲν ἱκανῶς. ἢ ἐκ ἐν ταῖς ἠρεμίαις [35]) καὶ ἡσυχίαις, ἐκ ἐνταῦθα μάλιστα, ἀνευρήκασιν οἱ ἀνόητοι ἄνθρωποι, ὅπως μηδὲν διανοῶνται τῶν δέοντων, ἕτερα [36]) πολλὰ καὶ ἄτοπα διανοήματα, οἷς ἀγαπῶσι ζυνόντες, τυραννίδας τε καὶ πλούτους καὶ ἄλλ' ἄττα θαυμαστὰ ἀναπλάττοντες αὐτοῖς; οἱ μὲν θησαυρούς τινας ἀναπλάττοντες [37]) χρυσοῦ τε καὶ ἀργύρου, πλῆθος ἐξαίφνης ἀμήχανον ὅσον κτώμενοι. οἱ δὲ βασιλεῖς τε καὶ μοναρχους πόλεών τε καὶ ἐθνῶν ἀποδυκνύντες σφᾶς αὐτούς· ἔπειτα ἤδη τὰ ἑξῆς περὶ τὴν τυραννίδα πράττοντες· τοὺς μέν τινας ἀποκτιννύντες, τοὺς δὲ ἐλαύνοντες, παρθένοις δὲ καὶ μειρακίοις γυναιξὶ πλησιάζοντες, αἷς ἂν ἐθέλωσιν· ἑστιάσεων καὶ εὐωχιῶν τῶν πολυτελεστάτων μεταλαμβάνοντες. οἱ δέ τινες, ἀργύριον ἐκδανείζοντες, ἢ ἄλλας ἐργασίας ἐργαζόμενοι [38]), οἷον ἐγρηγορότες τε καὶ ὁρῶντες ὀνείρατα ποικίλα καὶ παντοδαπὰ, πλάττοντες αὐτοῖς. ἐνίοτέ γε μὴν ἐκ τῶν ὀνειράτων τούτων ἀποβαίνει καὶ ὕπαρ αὐτοῖς τὰ φαυλότατα καὶ ἀτοπώτατα. τυραννίδες μὲν γὰρ ὃ πάνυ τι ἐκ τῶν τοιούτων

35) latiniſat hic Dio: nonne in ſolitudinibus ἠρεμίαις malim, quam ἠρεμίαις) et in otiis, nonne in his maxime, inuenerunt homines ſtulti artem, nihil cogitandi eorum, quae decebat? ſententia eſt: *nonne aut ſolummodo in ſolitudine et otio, aut certe in his maxime, reperierunt.* nemo graecus ſic vnquam eſt locutus.

36) neſcio, quid ſibi velit ἕτερα. aut delendum eſt, aut deſunt quaedam.

37) ſecundum ἀναπλάττοντες deletum malim; praeceſſit enim modo verſu 9. idem vocab.

38) ἐργασίας ἐργαζόμενοι οἷον — ἀποβαίνει] ſic recte Caſaubonus. Ven. et Mor. omittunt ἐργαζόμενοι, et dant ἀποβαίνειν.

των γεγονεναι· ἐ γαρ ἐθέλει ἡ τυραννὶς ὑπὸ ξαθύμε τε καὶ τρόπον τινὰ ἀεὶ κοιμωμένης διανοίας θηρεύεσθαι, ἀλλὰ τἐναντίον, ὑπὸ δριμείας τε καὶ ἀγρύπνε Φροντίδος. δαπάναι δὲ καὶ ἔρωτες καὶ τοιαῦται τινὲς διατριβαὶ πολλοῖς ἤδη πολλάκις ἀπήντησαν. οἷον δὴ ἐγὼ, οἶμαι, τὸν Ἀλέξανδρον 39), ὡς ἐτύγχανε σχολὴν ἄγων ἐν τῇ Ἰδῃ περὶ τὰ βουκόλια, τοιαύτης ἐννοίας καὶ ἐπιθυμίας αὐτῷ γενομένης, ὡς ἄρα εὐδαιμόν τε καὶ μακάριον τὸ τὴν παρῶν καλλίστην γυναῖκα ἔχειν· καὶ ὅτε βασιλείας τότε ἄξιον· τῶ χρήματος, ὅτε ψλοῦτος, ὅτε κρατεῖν μαχόμενον ἁπάντων ἀνθρώπων. μετὰ ταῦτα ἤδη διανοεῖσθαι 40), τίς δε δὴ καὶ παρὰ τίσιν ἡ τοιαύτη γυνὴ, καὶ πόθεν ἂν αὐτῷ τοιοῦτος ὑπάρξαι γάμος; καὶ δὴ τὰς μὲν ἐν Ἰλίῳ νύμφας καὶ παρθένους, ὅτε τύραννος ὢν, ἠτίμαζε, καὶ ἐκ ὤετο ἀξίας τυχεῖν 41)· ὁμοίως δὲ καὶ τὰς Λυδῶν τε καὶ Φρυγῶν, τάς τε ἐν Λέσβῳ, καὶ τὰς ἐν τῇ Μυσίᾳ γυναῖκας ὑπερεώρα. πυνθανόμενος δὲ ἐν Σπάρτῃ τινὰ εἶναι, Διὸς λεγομένην θυγατέρα, Μενελάῳ συνοικοῦσαν, ἀνδρὶ βασιλεῖ καὶ βασιλέως ἀδελφῷ τῆς ξυμπάσης Ἑλλάδος, ἣν ἐμνήσευσάν τε καὶ ἔσπευσαν λαβεῖν, πολλὰ ἔδνα καὶ δῶρα διδόντες οἱ πρῶτοί τε καὶ ἄκροι τῶν Ἑλλήνων· καὶ δὴ καὶ ἀδελφῶν ἐλέγετο εἶναι ἀγαθῶν, Πολυδεύκους καὶ Κάστορος, Διὸς υἱῶν γενομένων· ἐπεθύμησεν αὐτῷ ταύτην γενέσθαι τὴν γυναῖκα. ἄλλως μὲν ἔν ἐ πάνυ τοι ἡγεῖτο δυνατὸν, εἰ δὲ θεός τις ὑπόσχοιτο καὶ δώῃ, τάχ' ἂν γενέσθαι τὸ τοιοῦτον. καὶ τίνα δὴ θεὸν ἄλλην εἰκὸς τὰς τοιαύτας χαρίζεσθαι χάριτας, ἢ τὴν κρατοῦσάν τε καὶ ἄρχουσαν τῶν περὶ τὸς γάμους τε καὶ ἔρωτας; ἐκεῖν ἐκείνης μὴ διδούσης, ἀδύνατον ἡγεῖτο τὸν γάμον. πῶς ἂν ἔν

39) τὸν ἀλέξανδρον cohaeret cum διανοεῖσθαι n. 40.
41) ἀξίας τυχεῖν] scil. ἑαυτῆ.

ἓν ἐκείνην πεῖσαι χαρίσασθαι; εἰ τρόπον τινὰ γίγνοιτο αὐτὸς προσφιλὴς τῇ θεῷ; καὶ χάριν τινὰ καὶ δωρεὰν δεδωκώς; ἀλλ' ἔτε χρημάτων αὐτὴν τυγχάνειν δεομένην, ἄτε χρυσῆν οὖσαν καὶ πάντα χρήματα ἁπλῶς κεκτημένην, ἔτε θυσιῶν· πάντας γὰρ αὐτῇ παντοίους θύειν· ἔτε ἀλλῃ τινὶ ὁμιλίᾳ καὶ δεήσει ῥᾳδίως ὑπακοῦσαι ἄν· ἀλλ' εἰ, ἃ μάλιστα ἐπεθύμει, καὶ ὃ πάντων τιμιώτατον νενόμικε, τοῦτο προσθείη τις αὐτῇ, καὶ μαρτυρήσειεν, ὡς ἐστι καλλίστη, τάχ' ἂν ἀγαπῆσαι αὐτήν. νικᾶν δὲ καὶ προκρίνεσθαι κατὰ τοῦτο, τίνος ἄν ποτε ἀξιώσειεν, ἢ θεῶν τῶν πρώτων τε καὶ μεγίστων, Ἀθηνᾶς τε καὶ Ἥρας; καὶ ἔτι μᾶλλον, εἰ φαίνοιντο ἐκεῖναι μεγάλα καὶ θαυμαστὰ παρεχόμεναι δῶρα ἕνεκα τῆς νίκης. ἔτω δὴ διελθών τε καὶ ἐξεργασάμενος τὴν αὐτοῦ δόξαν καὶ ἐπίνοιαν, οἷον ψυχῆς ἐν ὕπνῳ φαντασίας, καὶ δόξης[42]) ἐπακολουθήσης, καὶ μακρόν τι καὶ συντεταγμένον ὑφανάσης ὄναρ, κριτὴς τε ὑπὸ τοῦ Διὸς γίνεται τῶν θεῶν· καὶ τὰς μὲν, αὐτάς τε ὑπερεῖδε καὶ τὰ δῶρα αὐτῶν, τὴν δὲ προέκρινεν, ἐπὶ μισθῷ τε καὶ δώρῳ, τῷ λαβεῖν τὸν γάμον ἐκείνης τῆς γυναικὸς, ὑπὲρ ἧς ἐνεθυμήθη τε καὶ εὔξατο. εἰ μὲν ἓν αὐτὸ τοῦτο βεκόλος καὶ ἰδιώτης ἐτύγχανεν ὤν, οὐδὲν ἂν πρᾶγμα ἀπήντησεν ἐκ τοῦ τοιούτου ὀνείρατος. νῦν δὲ ἐπειδὴ τύραννος καὶ δυνάστης ἦν[43]), καὶ πλούτῳ τε ἰσχύων, καὶ ἄρχων πόλεως τῆς τότε μεγίστης, καὶ τῇ τῶν γονέων πρὸς αὐτὸν εὐνοίᾳ, τἄ λοιπὰ ἤδη[44]) ἔργῳ ἐξεργάσατο· ὡς ἐπὶ τούτοις ἀληθῶς γεγονόσι, ναῦς τε ναυπηγησάμενος καὶ ἑταίρους συν-

σγα-

42) l. Φαντασίαις καὶ δόξαις.

43) verba sic videntur collocanda — δυνάστης ἦν, καὶ ἄρχων πόλεως τῆς τότε μεγίστης, καὶ πλούτῳ τε ἰσχύων καὶ τῇ τῶν γονέων.

44) ἤδη] sic vir doctus Venetae meae adscripserat. ἴδῃ Ven. et Mor.

ἀγαγὼν, καὶ πλεύσας ἐπί τε τὴν Ἑλλάδα καὶ Σπάρτην, καὶ εἰς τὴν οἰκίαν ἀφικόμενος τὴν Μενελάου καὶ Ἑλένης, καὶ ξενίων τυχὼν, ἀναπείσας καταλιπεῖν αὐτὴν τὸν ἄνδρα καὶ τὴν Ἑλλάδα, ἦκεν ἄγων εἰς Τροίαν, πολλῶν καὶ χαλεπῶν πραγμάτων καὶ συμφορῶν ἀρχήν[45]). ἔτως αἱ μὲν ἰδιωτικῆς καὶ ἀδυνάτου ψυχῆς ἄνοιαί τε καὶ ἐπιθυμίαι ὑπήνεμοί τε καὶ ἀδρανεῖς, καὶ ἐδὲν ἀπ' αὐτῶν[46]) γίνεται χαλεπόν· ἀλλ' ὥσπερ τὰ τῷ ὄντι ὀνείρατα ἀναπαύντων εὐθὺς οἴχεται, καὶ ἐδὲν αὐτῶν, ὡς φασι, τὸν ἥλιον ἐδὲ τὴν ἡμέραν ὑπομένει· παραπλησίως καὶ τὰ τοιαῦτα ἔχει[47]) ἐπιθυμήματά τε καὶ ἐλπίσματα. τὰ[48]) δὲ τῶν μοναρχῶν, ἢ πλεσίων, ἢ ἄλλην τινὰ ἐχόντων δύναμιν[49]), ἐπὶ πέρας ἀφικνεῖται πολλάκις, φοβερόν τε καὶ χαλεπόν. καὶ ἔστιν ὅμοιον, ὥσπερ ἐμοὶ δοκεῖ, τὸ τοιῦτον ὑπηνεμίοις[50]) γεννήμασι. φασὶ γὰρ ὠὰ γίνεσθαι ἔτως ἄνευ συνουσίας τε καὶ μίξεως ἀῤῥένος, ἃ καλοῦσιν ὑπηνέμια, ὡς ὑπ' ἀνέμου περιπεσόντι γιγνόμενα. ὅθεν δὴ καὶ Ὅμηρος, ἐμοὶ δοκεῖν, ἐκ ἀδύνατον ἡγησάμε-

45) ἀρχὴν praefero lectioni Venetae ἄρχων, tametsi haec quoque ferri queat.

46) ἀπ' αὐτῶν] sic recte Ven. ἐπ' αὐτῶν Mor.

47) ἔχει] sic dedi. ἔχειν Ven. et Mor.

48) τὰ] scil. ἐπιθυμήματα καὶ ἐλπίσματα; quod vocabulum notabile est ob raritatem.

49) post δύναμιν inserenda sunt verba, quae nescio quo errore ab hac sede sua vera ad n. 51. aberrarunt, vt haec sit loci series: τινὰ ἐχόντων δύναμιν, πολλάκις ἔκ τινος ἐνθυμήματος ψευδοῦς καὶ ἀδυνάτου ἀποβῆναι πρᾶγμα ἀληθὲς, ἐπὶ πέρας ἀφικνεῖται, πολλάκις φοβερόν τε καὶ χαλεπόν. *Visa autem et spes monarchorum, aut locupletium, aut si qui alia aliqua potestate sunt armati, saepe, ex aliquo falso viso, et, quod in rem veram certamque abire nullo pacto queat, tamen perueniunt ad finem, eumque saepe terribilem saeuumque.*

50) ſ. τοῖς ὑπηνεμίοις.

σάμενος, ἐδδὲ ἀπίθανον τοῖς ἀνθρώποις, φανῆναι ἵππων ὑπηνέμιον γένος, τὸν Βορέαν ἔφη, ἐρασθέντα Τρωικῶν τινων ἵππων, ἐμπλῆσαί τε αὐτὰς γονῆς, καὶ γένος ἵππων ἐξ αὐτῶν γενέσθαι [51]). πολλάκις ἔκ τινος ἐνθυμήματος ψευδοῦς καὶ ἀδυνάτου ἀποβῆναι πρᾶγμα ἀληθές. καὶ εἴρηταί μοι πάντα ταῦτα ἀπ' ἐκείνης τῆς ἀρχῆς καὶ ἐκτροπῆς, ὅτι δεῖ τὴν ψυχὴν ἐθίζεσθαι τὰ δέοντα πράττειν καὶ διανοεῖσθαι, παντα χῇ τε καὶ ἐν ἅπαντι θορύβῳ, καὶ ἐν ἀπάσῃ ἡσυχίᾳ. εἰ δὲ μή, τὸ τῆς ἐρημίας τε καὶ ἡσυχίας, ἐδὲν μεῖζον καὶ ἀσφαλέστερον [52]) τοῖς ἀνοήτοις τῶν ἀνθρώπων, πρὸς τὸ μὴ πολλὰ καὶ ἄτοπα διανοεῖσθαί τε καὶ ἁμαρτάνειν.

51) verba haec quo pertineant, modo est demonstratum. καὶ post ἀληθὲς delendum est.

52) aut positi sunt hi comparatiui ἐδὲν μεῖζον καὶ ἀσφαλέστερον, pro positiuis ἐδὲν μέγα καὶ ἀσφαλὲς, scil. ὄνειαρ, *non magnum neque certum praesidium*, aut subaudiri debet, *quam fremitus multitudinis.*

ΠΕΡΙ ΚΑΛΛΟΥΣ.

ΛΟΓΟΣ ΚΑ'.

Ὡς ὑψηλὸς ὁ νεανίσκος καὶ ὡραῖος; ἔτι δὲ ἀρχαῖον αὐτῷ τὸ εἶδος, οἷον ἐγὼ ἔχ ἑώρακα τῶν νῦν· ἀλλ' ἢ τῶν Ὀλυμπιάσιν ἀνακειμένων, τῶν πάνυ παλαιῶν παίδων. αἱ δὲ τῶν ὕστερον εἰκόνες ἀεὶ χείρους καὶ ἀγεννεστέρων φαίνονται, τὸ μέν τι ὑπὸ τῶν δημιουργῶν· τὸ δὲ πλέον καὶ αὐτοὶ τοιοῦτοί εἰσιν. ἢ δεινὸν λέγεις, εἰ, ὥσπερ φυτόν τι [1]), ἢ ζῶον, ἐκλελοίπασι τῷ χρό-

νῳ

1) τι] sic recte Casaubonus. τε Ven. et Mor.

νω οἱ καλοὶ, οἷον δὴ φασι τὸς λέοντας παθεῖν τὸς
15. ἐν τῇ Εὐρώπῃ. ὃ γὰρ ἔτι αὐτῶν εἶναι τὸ γένος πρότερον δὲ ἦσαν, καὶ περὶ Μακεδονίαν, καὶ ἐν ἄλλοις τόποις. εἰ [2]) ἔτως ὀΐχεται δὴ κάλλος ἐξ ἀνθρώπων. τὸ γε ἀνδρεῖον, ὦ βέλτιστε, τὸ μέντοι
20. γυναικεῖον ἴσως πλεονάζει. ἀνὴρ δὲ καλὸς, καὶ σπάνιον μὲν καὶ γίνεται νῦν [3]), καὶ γενόμενος, τὸς πλείστους λανθάνει· πολλῷ μᾶλλον, ἢ οἱ καλοὶ ἵπποι τὸς ὀρεωκόμους. εἰ δ' ἄρα καὶ ἅψαιτο τῶν τοιούτων
25. μεθ' ὕβρεως καὶ πρὸς ὀδὲν ἀγαθόν [4]· ὥστε μοι δοκῶσι καὶ οἱ γενόμενοι ταχὺ λήγειν καὶ ἀφανίζεσθαι. ὃ γὰρ μόνον ἡ ἀρετὴ ἐπαίνῳ αὔξεται, ἀλλὰ καὶ τὸ κάλλος ὑπὸ τῶν τιμώντων αὐτὸ καὶ σεβομένων. ἀ-
30. μελέμενον δὲ, καὶ ὀδενὸς εἰς αὐτὸ βλέποντος, ἢ πονηρῶν βλεπόντων, σβέννυται, ὥσπερ τὰ κάτοπτρα. ἆρ' ἔν, ὅπερ Ἀθηναῖοι πολλάκις, καὶ ἡμᾶς χρὴ ἀναρχίαν ἀναγράφειν [5]) τὸν παρόντα καιρὸν, ὡς ὀδενὸς ὄντος καλῆ, ναὶ μὰ Δία, ὡς Πέρσαι γε ἐνόμιζον· Ἑλλήνων δὲ ὀδεὶς, ἢ εἴ τις [6]) ἐκ τῶν τριάκοντα.

2) *εἰ*] Casaubonus vult *ἢ*, sed *εἰ* bene habet.

3) sic videtur leg. *ἀνὴρ δὲ καλὸς καὶ σπανίως γίνεται νῦν*, aut *καὶ σπάνιον θέαμα γίνεται νῦν*.

4) f. leg. *εἰ δ' ἄρα καὶ ἅψαιντο τῶν — ὕβρεως ἅπτονται καὶ πρὸς — et si quoque aliqui tales formosos contingant* vel *constrectent, constrectant eos per contumeliam et ad nullum bonum finem.*

5) admodum speciosa est Casauboni coniectura *ἀναρχίαν κάλλους ἀναγράφειν.*

6) f. *ἑλλήνων δὲ ἢ ὀδεὶς, ἢ, εἴ τις. Graecorum vero aut nemo, aut, si quis est, unus aliquis similis Critiae. An tu Critiam non nosti* — Graeci cum volunt oppido paucos significare, dicant, *aut nemo, aut unus duoue.* Sententia est haec: negat Dio id, quod is, quicum colloquitur, interrogauerat; nempe scil. anarchiam pulchritudinis esse, si quidem pulchritudo eo sensu accipiatur, quo Persae eam accipiant. Nam si eo sensu accipiatur, quo Graeci, vere quidem Graeci, veteres illi ingenui, eam acceperint, omni-

ἢ ἐκ οἴσθα Κριτίαν τὸν τῶν τριάκοντα, ὅτι κάλλιστον 5.
ἔφη εἶδος ἐν τοῖς ἄρρεσι τὸ θῆλυ, ἐν δ' αὖ τοῖς θήλεσι τἀναντίον; ἐκεῖν δικαίως Ἀθηναῖοι νομοθέτην αὐτὸν εἵλοντο, ἐπί γε τῷ μεταγράψαι τὰς παλαιὰς νόμους, ὡς [7]) ἐδέησε αὐτῶν ἔλιπεν. εἶεν. οἱ δὲ Πέρ- 10.
σαι πῶς ἐνόμιζον; ἢ γὰρ φανερὸν, ὅτε [8]) εὐνόχους ἐποίουν τοὺς καλούς, ὅπως αὐτοῖς ὡς κάλλιστοι ὦσι; τοσοῦτον διαφέρειν ᾤοντο πρὸς κάλλος τὸ θῆλυ. σχεδὸν [9]) καὶ πάντες οἱ βαρβαροι, ἥπερ [10]) τὰ 15.
ἄλλα ζῶσι διὰ τὸ μόνον τὰ ἀφροδίσια ἐννοεῖν; ὡς ἔν λέγεται Δαίδαλος ποιῆσαι, τὸν ταῦρον ἐξαπατῶν, περιθεῖναι [11]) τῷ ξύλῳ δέρμα βοός· καὶκεῖνει γυναικὸς εἶδος περιτιθέασι τοῖς ἄρρεσιν, ἄλλως δὲ 20.
ἐκ ἐπίσανται ἐρᾶν. ἴσως δὲ καὶ ἡ τροφὴ αἰτία τοῖς

Πέρ-

omnino, ait, anarchiam pulchritudinis esse; h. e. neminem esse neque formosum, neque principem formosum. Formosos, qui tum essent, omnes effoeminatos esse, non moribus modo, sed ipsa quoque forma, ad mentem Persarum, qui extra foemineum habitum negent formosum quicquam esse posse. Viriliter formosum hodie esse neminem; sed veteres et veros Graecos statuere, virum formosum esse non posse, nisi eum, cuius pulchritudo sit mascula. se ab hoc numero Graecorum sic sentientium excludere eos, si qui secus sentiant, et cum Critia faciant.

7) ὡς bene habet. significat *nam, siquidem, quandoquidem, quippe qui.*

8) ὅτε videtur bene habere. *nonne constat?* nonne liquet, quid Persae scilicet de formositate statuerint, cum formosos exsecuerint. ὅτε potest reddi per *cum*, aut accipi pro οἵ γε *quippe qui.*

9) post σχεδὸν addendum est δὲ. *propemodum vero omnes quoque barbari.*

10) ἥπερ] sic recte Veneta et Casaubonus. οἵπερ Mor.

11) περιθεῖναι praeferam, quod Mor. dat, an περιτεῖναι, quod Veneta, ambigo. infinitiuus quidem hic tenendus, cum subaudito δηλονότι. *quod Daedalus, taurum decipere studens, fecisse dicitur, vt nempe vaccae ligneae circumtenderet, aut circumponeret pellem vaccae.*

Πέρσαις, τῷ[12]) μέχρι πολλῶ τρέφεσθαι ὑπό τε γυναικῶν καὶ εὐνούχων τῶν πρεσβυτέρων· παῖδας δὲ μετὰ παίδων καὶ μειρακίσκια μετὰ μειρακίων, μὴ πάνυ συνεῖναι, μηδὲ γυμνοῦσθαι ἐν παλαίστραις καὶ γυμνασίοις. ὅθεν ἐγὼ οἶμαι ζυμβῆναι αὐτοῖς, ταῖς[13]) μητράσι μίγνυσθαι· ὥσπερ οἱ πῶλοι, ἐπειδὰν ἀδρότεροι ὄντες ἀκολουθῶσιν ἔτι ταῖς μητράσιν, ἐπιβαίνειν ζητοῦσι. τὸ μέντοι τῆς τροφῆς καὶ ἐνταῦθα δείκνυσι τὴν ἰσχύν. κάλλιον μὲν γὰρ δὴ πολὺ, ἵππος ὄνου. οἱ δέ γε ὄνοι ἐκ ἐπιθυμοῦσιν ἵππων διὰ τὴν φύσιν, εἰ μὴ ὃς ἂν ᾖ τεθραμμένος ἵππου γάλακτι. ὁμοίως καὶ ἵππος πωλευθεὶς ὑπὸ ὄνου, τὸ αὐτὸ πάσχει. ἐν δὲ τοῖς ἀνθρώποις καὶ ἡ ἐξουσία παραίνειν τί ἐστι. Νέρωνα δ' ἂν[14]) πάντες ἐπισάμεθα ἐφ' ἡμῶν, ὅτι ἐ μόνον ἐζήτεμε τὸν ἐρώμενον[15]), ἀλλὰ καὶ τὸ ὄνομα αὐτῷ μετωνόμασε γυναικεῖον, τῆς αὐτῷ ἐρωμένης καὶ γυναικὸς, ἧς ἐκεῖνος ἐπιθυμήσας, ἔγημεν· ἀναφανδὸν εἶρξας τὴν πρόσθεν, ἐφ' ᾗ τὴν βασιλείαν εἰλήφει. καὶ τί ἦν τὸ ὄνομα τῇ γυναικὶ, ὃ τῷ εὐνούχῳ ἔθετο; τί δέ σοι τοῦτο; πάντως γὰρ ἐ Ῥοδογύνη ἐλέγετο[15 b]); ἀλλ' ἐκεῖνός γε καὶ τὰς ἐν τῇ κεφαλῇ τρίχας διεκέκριτο, καὶ παιδίσκαις ἠκολούθει, ὁπότε βαδίζοι, καὶ ἀμπίσχετο ἐσθῆτας γυναικείους, καὶ τά τε[16]) ἄλλα, ἕτως ἠναγκάζετο ποιεῖν. τέλος δὲ περιτέθησαν μεγάλαι καὶ[17]) τιμαὶ καὶ χρήματα ἄπειρα τὸ πλῆθος, ὅστις αὐτὸν

12) τῷ] sic recte Casaub. τὸ Ven. et Mor.
13) ante ταῖς videtur addendum esse τὸ.
14) ἂν] malim γᾶν.
15) ἐρώμενον — ἐρωμένης] sic recte Casaubonus. ἐράμενον — ἐραμένης Ven. et Mor.
15 b) f. γ' ἐλέγετο.
16) aut καὶ delendum, aut τε.
17) rursus καὶ videtur delendum.

τὸν γυναῖκα ποιήσειεν. οἱ οὖν [18]) καὶ ὑπέσχοντο. τί δαὶ οὐκ ἔμελλον ἐκείνῳ ὑποσχέσθαι τοσαῦτα διδόντι; ἢ οὐκ εἶσθα τὴν δύναμιν τοῦ διδόντος ὅση ἐστίν; ὅπου γε καὶ ὁπόταν βασιλέα ἀποδεῖξαι δέοι, τὸν πλουσιώτατον αἱροῦνται, καὶ παρ' οὗ ἂν ἐλπίσωσιν ὡς πλεῖστον ἀργύριον λήψεσθαι· τὰ δὲ ἄλλα οὐδὲν φροντίζουσιν ὅπως ἂν ᾖ, κἂν μέλλῃ πάντας διατεμεῖν παραλαβὼν τὴν ἀρχὴν, τούς τε ἄλλους ἅπαντας, καὶ αὐτοὺς ἐκείνους τοὺς εἰληφότας τὰ χρήματα· καὶ ἔτι πάντων αὐτοὺς καὶ τῶν ὑπαρχόντων ἀφαιρήσεσθαι. τούτῳ [19]) δὴ μάλιστα περιῆν ὁ Νέρων, καὶ οὐδεὶς ἀντέλεγεν αὐτῷ περὶ οὐδενὸς, ὅ, τι εἴποι· οὐδ' ἀδύνατον ἔφη εἶναι ὃ κελεύσειεν· ὥστε καὶ εἰ πέτεσθαι κελεύοι τινὰ, καὶ τοῦτο ὑπέσχετο αὐτῷ· καὶ συχνὸν χρόνον ἐτρέφετο ἔνδον παρ' αὐτῷ ἐν τοῖς βασιλείοις, ὡς πτησόμενος. μόνος γὰρ δὴ οὐδένα τρόπον ἐφείδετο χρημάτων, οὔτε διδοὺς, οὔτε λαμβάνων. διὰ μόνην μέντοι ταύτην τὴν ὕβριν καὶ ἀπέθανε, τὴν εἰς τὸν εὐνοῦχον. ὀργισθεὶς γὰρ ἐξήνεγκεν αὐτοῦ τὰ βουλεύματα τοῖς περὶ αὐτόν· καὶ οὕτως ἀπέστησαν ἀπ' αὐτοῦ, καὶ ἠνάγκασαν ὅτῳ ποτὲ τρόπῳ ἀπολέσθαι αὐτόν [20]). οὐδέπω γὰρ καὶ νῦν τοῦτό γε δῆλόν ἐστιν· ἐπεὶ τῶν γε ἄλλων ἕνεκεν οὐδὲν ἐκώλυεν αὐτὸν βασιλεύειν τὸν ἅπαντα χρόνον, ὅν γε καὶ νῦν [21]) ἔτι πάντες ἐπιθυμοῦσι ζῆν. οἱ δὲ πλεῖστοι καὶ οἴονται, καὶ [22]) τρόπον τινὰ οὐχ ἅπαξ αὐτοῦ τεθνη-

18) οἱ οὖν] sic adscripsit quoque vir doctus ad oram Venetae meae, in qua est οἷς οὖν. deesse quaedam videntur. Casaubonus dedit οἱ δ' οὖν. Anglus vult τί οὖν; καὶ ὑπέσχοντο. quod impense placet. *quid ergo? etiamne promittebant?* aut ἢ οὖν καὶ ὑπ. *ergone promittebant quoque?*

19) τούτῳ] scil. τῷ πλεῖστα διδόναι καὶ τῷ ἐλπίζειν πάντας πλεῖστα παρ' αὐτοῦ λήψεσθαι.

20) f. ἀπολέσαι αὐτόν. *semet ipse suis manibus interimere.*

21) χρόνον, ὅν γε καὶ νῦν] sic Casaub. sed Ven. et Mor. omittunt ὄν.

22) καὶ] malim καίτοι. *tametsi non semel ille sit mortuus, sed*

τεθνηκότος, ἀλλὰ παλαίοις μετὰ τῶν σφόδρα οἰηθέντων αὐτὸν ζῆν. σὺ μὲν ἀεὶ λόγους ἀνευρίσκεις, ὥστε διασύρειν τὰ τῶν ἀνθρώπων, καὶ νῦν ἐξ ὑδενὸς, ὡς εἰπεῖν, ἐπὶ ταῦτα ἦλθες. ὃ δὲ ἐβουλόμην ἔρεσθαι, ἐκ εἴασας. ἴσως γάρ με καταφρονεῖς καὶ ἡγῇ με ληρεῖν, ὅτι ὁ περὶ Κύρου καὶ Ἀλκιβιάδου λέγων, ὥσπερ οἱ σοφοὶ ἔτι καὶ νῦν, ἀλλὰ Νέρωνος, καὶ τοιούτων πραγμάτων νεωτέρων τε καὶ ἀδόξων, ὧν [23]) μνημονεύω. τοῦτο δὲ αἴτιον, τὸ μὴ πάνυ φιλεῖν τὰς τραγῳδὰς, μηδὲ ζηλᾶν· ἐπεὶ οἶδα [24]), ὅτι αἰσχρόν ἐστιν ἐν τραγῳδίᾳ, τοὺς νῦν ὄντας ὀνομάζειν· ἀλλὰ ἀρχαίου τινὸς ἔδει [25]) παραδείγματος, καὶ ὑδὲ πάνυ πιστοῦ. οἱ μὲν ἓν ἔμπροσθεν ἐκ ἠσχύνοντο, τοὺς τότε ὄντας ὀνομάζοντες, καὶ λέγοντες καὶ γράφοντες· οἱ δὲ νῦν ἐκείνους ἐξάπαντος ὀνομάζειν ζητοῦσιν. ἔστιν δὲ τῇ σοφίᾳ πράττουσιν αὐτὸ, ἐγώ σοι ἐρῶ, καὶ [26]) μὴ πάντας φλυαρεῖν με φῇς· ἀλλ' ἴσως ὅπου [27]) δεῖ. πάντως γάρ τινι τῶν βιβλιοπώλων προσέσχηκας; διὰ τί δὴ τοῦτό με ἐρωτᾷς; ὅτι εἰδότες τὰ ἀρχαῖα τῶν βιβλίων σπουδαζόμενα, ὡς ἄμεινον γεγραμμένα, καὶ ἐν κρείττοσι βιβλίοις [28])· οἱ δὲ τὰ φαυλότατα τῶν νῦν καθέντες εἰς σῖτον, ὅπως τὸ τε χρῶμα [29]) ὅμοια γένηται τοῖς παλαιοῖς, καὶ προσδιαφθείροντες, ἀποδίδονται ὡς παλαιά. ἀλλὰ τί ἦν, ὦ πάλαι δὴ ἐρέσθαι σπεύδεις; περὶ τοῦδε τοῦ νεανίσκου, ὅστις τέ

sed quodammodo saepenumero, toties quippe, quoties eorum aliquis moreretur, qui nulli dubitarent, sed certi essent Neronem adhuc viuere. v. Tillemont Hiſtoire des Empereurs T. I. p. 333. Reimar. ad Dion. Caſſ. p. 1036.

23) ὧν delendum vna cum commate.

24) f. οἶδας, aut οἶσθα noſti.

25) ἔδει] f. δεῖ, et καὶ ὑδὲ τότε πάνυ πιστοῦ.

26) καὶ] malim ἵνα.

27) ὅπου] f. τύπου. *ſed videtur res indigere exemplo quodam.*

28) βυβλίοις Caſaubonus admonuit ſcrib. eſſe.

29) Caſaubonus vult τό γε χρῶμα.

ἐς, καὶ ἔτινος υἱός· ὡς ἐγὼ ἀδύνατα πώποτε ἐξεπλάγην [30]). ἡ μὲν γὰρ ἡλικία παῖδα αὐτὸν ἐνδείκνυσιν ἑκκαίδεκα ἴσως, ἡ ἑπτακαίδεκα ἐτῶν· τὸ δὲ μέγεθος ὀλίγον ἥττον τῶν ἀνδρῶν. ἡ δὲ αἰδὼς τοσαύτη, ὥστε καὶ τὸν προσιόντα αἰδεῖσθαι εὐθὺς ποιεῖ. καὶ ὃν ἔστιν ἐπιπλέον εἰς τὸ πρόσωπον αὐτῷ ὁρᾶν, εἰ μὴ καὶ αὐτὸς ἀποβλέψειεν [31]) ἀπὸ τύχης. ὀδὶς γὰρ ἔτως ἀναιδὴς καὶ λίθινός [32]) ἐστιν, ὅστις ὑπομενεῖ καὶ ἀντισήσεται ὁρῶν αὐτὸν, ἀλλ' εὐθὺς ἀνάγκη τραπῆναι καὶ μεταβαλέσθαι τὼ ὀφθαλμώ. τοῦτο δὲ ἐγὼ τὸ πάθος πάνυ θαυμάζω· ὅτι τὸ κάλλος, ἐὰν μετὰ αἰδοῦς ᾖ, καὶ τὸν ἀναιδεῖς τρέπει τε καὶ ἀναγκάζει αἰδεῖσθαι. ἴσως γὰρ ὁ προσενόησας [33]) τὸ ἐν τοῖς ὕδασι γιγνόμενον. τί δή; ὅτι τῷ ἡλίῳ ἐπιλάμψαντος εἰς τὸ κατευθὺ μᾶλιστα ἀντιλάμπει. καὶ ἴσως ἑώρακας ἐν τοῖς τοίχοις τὸ κινούμενον καὶ περιτρέχον φῶς, ἐκ οὗ ἀληθινὸν, ἀλλ' ἀπὸ τῆς ἐν τοῖς ὕδασιν αὐγῆς τοῦ ἡλίου γεγονὸς πρὸς τὸ μάλιστα κατευθύ. τοιοῦτον ἔν τι καὶ ἀπὸ τῆς ἀληθινῆς αἰδοῦς ἀντιλάμπει τε, καὶ ποιεῖ δοκεῖν αἰδεῖσθαι τὸς ἐρῶντας [34]). ἔπεστ' εὐθὺς ἐπελθόντες [35]) ἀναι-

30) Idem vult ἔτως ἐξεπλάγην. amplector hoc, aut etiam μᾶλλον ἐξεπλάγην, ſed praeterea ὁρῶν quoque eſt addendum.

31) ἀποβλέπειν h. l. eſt, vt bene admonuit Caſaubonus, *alio ſpectare*. v. p. 16, 36. 309, 14. 377, 1. (ed. Mor.) et apud alios ea vi occurrit quoque, vt apud Plutarch. Opuſc. Mor. p. 531, 39. 582, 32.

32) ἔτως ἀναιδὴς καὶ λίθινος] ſic recte codex regius. ſed Ven. et Mor. omittunt καὶ.

33) f. προσενενόησας.

34) ἐρῶντας] Caſaubonus mauult ὁρῶντας.

35) ἐπελθόντες vulgatam ſeruem, an ἀπελθ. praeferam, quod olim conieci, dubito: illud eſt, *cum ad rem amatam acceſſerint*, hoc, *cum ab ea diſceſſerint*. vniuerſe illa comparatio radiorum ſolis ex aquis repercuſſorum cum pulchritudine conniuere intuentes cogente, non ſatis eſt effecta, neque perſpicua.

ἀναιδεῖς εἶσιν, ὡς ἔμοιγε [36]) καὶ ὁ παιδοτρίβης ἐδόκει, καὶ αὐτὸς οἷον ἐνθουσιῶν τε καὶ ἐκπεπληγμένος. ἠκοῦν ἔτι μᾶλλον θαυμαίοις, ἐπεὶ δὰν πύθῃ, ὅτι ἕτος, τοιοῦτος ὤν, ἀδενὸς υἱός ἐστι.

10. πῶς λέγεις μηδενὸς εἶναι αὐτόν; ἕτως, ὅπως σὺ ἐπύθῃ, ὅτι ἐστίν. οἶμαι γὰρ ἐρωτᾷν σε, ὅτι υἱός ἐστιν. ἀλλ' ἦ τῶν Σπαρτῶν ἐστὶν εἷς. πρέποι μὲν ἂν τοῦ μεγέθει αὐτῦ [37]) καὶ τῇ ἀνδρείᾳ, εἴγε ἐπιεικεῖς ἦσαν [38]) καὶ Φιλάνθρωποι τὰς φύσεις, ὥσπερ ὅδε·

15. ἀλλὰ μὴ παντελῶς σκληροὶ καὶ ἄγριοι, τῆς γῆς τοὶ [39]) τέκνα· ἐπεί γε τὸ σῶμα ἐ φαύλως εἰκάζεις, Βοιωτίῳ μᾶλλον εἰκάζων αὐτὸ, ἢ Λακωνικῷ τε καὶ Ἀττικῷ. ὅτι μὲν γὰρ Ἑλληνικῶν ἄκρος [40]) ἐστὶν, ἐ

20. δεῖ δήπε ἀγνοῆσαι. τί γάρ; εἴη τις ἂν τῦ γένες διαφορὰ, πρός γε τὸ κάλλος; ἀλλ' ἐκ οἶει, τὸ μέν τι βαρβαρικὸν εἶναι, ὥσπερ εἶδος καὶ κάλλος [41]), ἢ ἀδένα

36) verba ὡς ἔμοιγε ad ἐκπεπληγμένος sunt ignoti illius cum Dione colloquentis. vidit Anglus quoque, personas ita esse distinguendas.

37) αὐτῦ] malim αὐτοῖς. deceret eos, dignus esset, qui cum ipsis, Spartis puta, comparetur.

38) ἦσαν] illi Sparti.

39) τὰ malim abesse — Sparti scil. e Boeotia erant exorti.

40) f. ἑλληνίζων ἄκρος *et sermone et moribus atque ingenio penitissime Graecos referens.*

41) f. ὥσπερ εἶδος, ἕτω καὶ κάλλος. praeterea nihil hic est in personis turbatum; quod esse Casaubono visum fuit. omnia haec Dionis sunt. Finge tibi orationem sic habere: ἐκ οἶει, ὥσπερ ἐςὶ Φωνὴ μὲν ἄλλη ἑλληνικὴ, ἄλλη δὲ βαρβαρικὴ, καὶ ἐσθὴς ἑλληνικὴ, καὶ ἄλλη βαρβαρικὴ, καὶ εἶδος τὸ μὲν βαρβαρικὸν, τὸ δὲ ἑλληνικὸν, ἕτω καὶ κάλλος εἶναι τὸ μὲν ἑλληνικὸν, τὸ δὲ βαρβαρικὸν, ἀλλ' ἐμοίως σοι δοκεῖ γενέσθαι καλὸς Ἀχιλεύς τε καὶ Ἕκτωρ. sic plana et perspicua sunt omnia. *vt alia oratio est graeca, alia barbarica, vt alius est graecus vestitus, alius barbaricus, vt denique vultus alius est graecus, alius barbaricus; pari ratione num tu negabis aliam esse pulchritudinem graecam, aliam barbaricam? existimasne potius, pari modo pulchrum*

ἀδύνατα οἴεσθαι γίγνεσθαι ἐν τοῖς βαρβάροις καλὸν, τὸ δὲ Ἑλληνικὸν, ὥσπερ καὶ φωνὴν καὶ ἐσθῆτα; ἀλλ' ὁμοίως σοι δοκεῖ γενέσθαι καλὸς Ἀχιλλεύς τε καὶ Ἕκτωρ; ἀ γὰρ μόνον ὡς περὶ ἀνδρείᾳ τῷ Ἕκτορος [42]) ὁ ποιητὴς διέξεισιν, ὅπᾳ γε ταῖς ναυσὶν ἐμπίπρησιν· ἀ γὰρ, οἶμαι, περὶ κάλλους αὐτῷ ἔπρεπεν αὐτῷ ἔτι [43]) μεμνῆσθαι. τελευτήσαντος δὲ καὶ γυμνωθέντος, ἐκπλαγῆναί φησιν αὐτῷ τὸ κάλλος τῆς Ἀχαιοὺς ἰδόντας. ἕτω πως λέγεται [44]).

Οἱ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν Ἕκτορος. ἀ γὰρ, οἶμαι, πρότερον ἦν αὐτοῖς σχολὴ θηήσασθαι αὐτὸν ἀκριβῶς, καὶ τὰ ἄλλα σχεδὸν σαφέστερον ἐπέξεισιν, ὡς [45]) περὶ ἄλλου τινὸς τῶν καλλίστων. τήν τε γὰρ κεφαλὴν χαρίεσσαν αὐτῷ φησιν εἶναι, καὶ τὴν κόμην πάνυ μέλαιναν, καὶ τὸ σῶμα ἀ σκληρόν. περὶ δὲ τῆ Ἀχιλλέως εἴδες ἀδὲν λέγει καθέκαστον, ἢ [46]) τῆς κόμης, ὅτι ξανθὴ ἦν· καὶ περὶ τῆς Εὐφόρβη κόμης, καὶ Πατρόκλη, ὡς μάλιστα ἐν ἀκμῇ τελευ-

pulchrum fuisse Hectorem, atque fuit Achilles; nisi forte negas vllum aliquem in barbaris formosum exsistere.

42) τῷ Ἕκτορος] sic Veneta et Casaubonus. Mor. omittit Ἕκτορος. mox verba ὅπᾳ γε ταῖς ναυσὶν ἐμπίπρησιν videntur ignoti cum Dione colloquentis esse. *ibi quidem Homerus de Hectore sic verba facit, tanquam de forti viro solummodo, vbi eum faciz nauibus ignes iniicientem.* respondet Dio: *nempe nondum decebat ibi mentionem facere de ipsius forma.*

43) ἔτι si bene habet, accipi debet pro ἤδη *iamdum.* malim tamen duo illa vocabula ἔτι μεμνῆσθαι in vnum ἐπιμεμνῆσθαι contrahi, nisi malumus ζῶντος addere, ad hunc modum: αὐτῷ ζῶντος ἔτι μεμνῆσθαι, quod praefero. *non enim decebat eum*, Homerum puto, *formae eius*, Hectoris puta, *adhuc superstitis, meminisse.*

44) f. ἕτω πως λέγων.

45) ὡς] sententia postulat ἤ. *apertius, quam de vllo alio formosissimorum.*

46) ἤ] malim ἀλλ' ἤ. *sed de coma.*

τελευτησάντων· καὶ περὶ τῶν ἄλλων σμικρόν τι περὶ ἑκάστου καὶ ἀνδρῶν καὶ γυναικῶν τῶν καλλίστων. πλὴν ὅτι γε οὐδεὶς ἂν εἴποι [47]), τούσδε ὁμοίως ἀνεῖναι καλούς· οὐδὲ Ἀλέξανδρον, ἢ Εὔφορβον, ἢ Τρωΐλον, ἐοικέναι τε Μενελάῳ [48]) καὶ Πατρόκλῳ καὶ Νιρεῖ· οὐδὲ ἐν τοῖς βαρβάροις, Σέσωστριν τὸν Αἰγύπτιον, ἢ Μέμνονα τὸν Αἰθίοπα, ἢ Μινύαν [49]), ἢ Εὐρύπυλον, ἢ Πέλοπα.

47) οὐδεὶς ἂν εἴποι] sic Casaubonus. *verumtamen nemo facile asseveret.* οὐδὲ κἂν εἴποι Ven. et Mor.

48) τε postponendum nomini Menelai.

49) Μινύαν] malim Νινύαν. Ninyam, quem Diodorus Siculus 2, 21. mollem otio, voluptatibusque deditum refert, formosum fuisse credibile est.

ΠΕΡΙ ΠΟΛΕΜΟΥ ΚΑΙ ΕΙΡΗΝΗΣ [1]).

ΛΟΓΟΣ ΚΒ'.

Πολλὰ μὲν καὶ ἄλλα εὕροι τις ἂν, καὶ ξύμπαντα ἀτεχνῶς τὰ ἔργου τινὸς ἐχόμενα καὶ πράξεως, κοινὰ τοῖς φιλοσόφοις καὶ ῥήτορσιν, ὅσοι μὴ ἀγοραῖοι, μηδὲ μίσθαρνοι, πρὸς χρήματα ὁρῶντες μόνον καὶ τὰς ἰδιωτικὰς ἀμφιλογίας· περὶ συμβολαίων, ἢ τινῶν δημοσίᾳ [2]) συμβουλεύειν καὶ νομοθετεῖν ἀξιούμενοι· καθάπερ, οἶμαι, Περικλῆς καὶ Θουκυδίδης Ἀθήνησι, καὶ Θεμιστοκλῆς ἔτι πρότερον, καὶ Κλεισθένης, καὶ Πεισί-

1) argumentum huius fragmenti, seu prooemii, bene vidit et indicauit Casaubonus.

2) f. ἢ τινων τοιούτων ἐργολαβοῦντες, περὶ δὲ τῶν συμφερόντων δημοσίᾳ. Anglus vult τοιούτων τινῶν δημοσίᾳ δὲ συμβ.

Πεισίστρατος, ἕως ἔτι ῥήτωρ καὶ δημαγωγὸς ἠνείχετο καλέμενος. Ἀριστείδην μὲν γὰρ καὶ Λυκοῦργον καὶ Σόλωνα καὶ Ἐπαμινώνδαν, καὶ εἴ τις ἕτερος τοιοῦτος, φιλοσόφους ἐν πολιτείαις θετέον, ἢ ῥήτορας, κατὰ τὴν γενναίαν τε καὶ ἀληθῆ ῥητορικήν. λέγω δὲ οἷον, περί τε ἀγωγῆς τῶν νέων συμβουλεύοντας, καὶ νομοθετοῦντας, ὥσπερ ἐν Λακεδαίμονι Λυκοῦργος· καὶ περὶ τῆς ἐρωτικῆς ὁμιλίας, καὶ περὶ χρημάτων κτήσεως, ὅσην τε καὶ ὅπως δεῖ ποιεῖσθαι, καὶ περὶ γάμου καὶ περὶ κοινωνίας, καὶ περὶ νομίσματος, καὶ τιμῆς καὶ ἀτιμίας, καὶ περὶ οἴκων κατασκευῆς· πότερα χρὴ τετειχισμένην οἰκεῖν πόλιν, ἢ, καθάπερ ὁ θεὸς παρῄνεσε Λακεδαιμονίοις, ἀτείχιστον· καὶ περὶ ἀσκήσεως τῶν πολεμίων [3]), καὶ τάξεως, ἃ μόνον ὁπλιτικῆς, ἀλλὰ καὶ οἵαν Ἐπαμινώνδας εὑρεῖν λέγεται [4]), τὰς ἐρασὰς μετὰ τῶν ἐρωμένων τάξας, ἵνα σώζοιντο μᾶλλον, καὶ μάρτυρες ὦσιν ἀλλήλοις τῆς ἀρετῆς καὶ τῆς κακίας. καὶ τὸν λόχον τοῦτον, ἱερὸν ἐπονομάσαντα [5]), κρατῆσαι Λακεδαιμονίων τῇ ἐν Λεύκτροις μάχῃ, ξυμπάντων ἐκείνοις ἑπομένων τῶν Ἑλλήνων. τὸ δὲ δὴ κεφάλαιον, καὶ πολλάκις πολλοῖς παρέπιπτε [6]), περί τε εἰρήνης καὶ πολέμου, ὃ νῦν τυγχάνει ζητούμενον. πᾶν δὲ τὸ τοιοῦτον γένος παρὰ τοῖς φιλοσόφοις καλεῖται, περὶ τοῦ πρέποντος· οἷον εἰ γαμητέον, εἰ πολιτευτέον, εἰ βασιλεῖ [7]) χρηστέον, ἢ δημοκρατίᾳ, ἢ ἄλλῃ τινὶ κατασκάσει πολιτείας· ἐν οἷς ἐστὶ καὶ τοῦτο, ἐμοὶ δοκεῖν, εἰ πολεμη-

3) τῶν πολεμίων a genere neutro τὰ πολέμια est repetendum; quod idem est atque τὰ πολεμικά.
4) v. Max. Tyr. p. 587. or. 24.
5) ἐπονομάσαντα ferri potest, et ad Epaminondam referri; conuenit tamen melius ἐπονομασθέντα.
6) malim παρενέπιπτε. *incidit, occurrit, vsu venit.* nam παραπίπτειν est *peccare, aberrare, labi.*
7) βασιλείᾳ malim.

λεμητέον. ὃ γὰρ μόνον ἁπλῶς οἱ Φιλόσοφοι ζητοῦσι περὶ τούτων, ἀλλὰ πηνίκα[8]) καὶ τίσι καὶ πρὸς τίνας, καὶ τίνων συμβάντων, ἢ μὴ συμβάντων, ἕκαστα τούτων πρακτέον. διαφέρει δὲ τοσοῦτον, ὅτι οἵ γε ῥήτορες[9]) ἐπὶ τῶνδε σκοποῦσιν· οἷον εἰ συμφέρει πολεμεῖν Ἀθηναίοις πρὸς Πελοποννησίους, ἢ βοηθεῖν Κερκυραίοις πρὸς Κορινθίους, ἢ Φιλίππῳ, συμμαχήσαι Θηβαίοις ἐπὶ Φωκέας, ἢ Ἀλεξάνδρῳ, διαβῆναι εἰς τὴν Ἀσίαν. ἐν γὰρ ταύταις ἁπάσαις ταῖς βουλαῖς οὐχ ἥκιστα ἐμπίπτει καὶ τὸ τοιοῦτον· εἰ δίκαιον τοῖς μὴ προαδικήσασι πολεμεῖν· εἰ συμβέβηκεν ἀδίκημα παρὰ τούτων, οἷς διανοοῦνται πολεμεῖν, πηλίκον[10]) τι τοῦτο συμβεβηκός. οἱ Φιλόσοφοι δὲ πόρρωθεν τὰ πράγματα ὁρῶσιν, ἐπ' αὐτῶν[11]) ἐξετάζοντες, ὁποιάττα ἐστίν. πολὺ γὰρ κρεῖττον τὸ βουλεύσασθαι περὶ ἁπάντων ἐκ πλείονος, καὶ διεγνωκότας, ἐπειδή ποτε καιρός τινος πράγματος, αὐτούς τε εἰδότας ἔχειν χρῆσθαι, καὶ ἑτέροις παραινεῖν· ἀλλὰ μὴ τρόπον τινὰ ἐξαίφνης ληφθέντας ταράττεσθαι καὶ αὐτοσχεδιάζειν περὶ ὧν οὐκ ἴσασιν. οἱ μὲν γὰρ ῥήτορες, ὅταν δέῃ σκοπεῖν περί τινος, οὐδὲν εἰδότες τῶν ἄλλων πλέον, οὐδὲ ἐσκεμμένοι πρότερον, ἅμα τε αὐτοὶ βουλεύονται τρόπον τινά, καὶ συμβουλεύουσιν ἑτέροις. οἱ Φιλόσοφοι δὲ περὶ τῶν πράξεων προοίδασι, καὶ πάλαι βεβουλευμένοι τυγχάνουσιν· ὥστε ἄν τις αὐτοὺς παρακαλῇ συμβούλους τῶν πόλεων, ἢ τῶν ἐθνῶν, ἢ τῶν βασιλέων, κρεῖττον ἔξουσι καὶ ἀσφαλέστερον ἀποφαίνεσθαι, ἃ τὸ ἐπὶ σφίσιν αὐτοῖς· ἃ δὲ νῦν μὲν ταῦτα, πάλιν δὲ ταναντία, δι' ὀργήν, ἢ φιλονεικίαν, ἢ χρήμασι πληγέντες· ὥσπερ ἐπὶ

8) malim ἀλλὰ καὶ πηνίκα. *Sed etiam quando.*
9) malim οἱ μὲν ῥήτορες ob sequens δὲ vers. 13.
10) ante πηλίκον videtur aut καὶ aut ἢ deesse.
11) ἐπ' αὐτῶν] sic recte Casaubonus. ἐπ' αὐτὸν Ven. et Mor.

ἐπὶ τρυτάνης, ἔφη τις, οἶμαι, τῶν ῥητόρων αὐτῶν, κατὰ τὸ λῆμμα ἀεὶ ῥέποντες. λέγω δὲ ὁ ψέγων ῥητορικὴν, οὐδὲ ῥήτορας τοὺς ἀγαθούς· ἀλλὰ τοὺς φαύλους καὶ τοὺς προσποιουμένους τὸ πρᾶγμα.

ΟΤΙ ΕΥΔΑΙΜΩΝ Ὁ ΣΟΦΟΣ.

ΛΟΓΟΣ ΚΓ.

Πότερον δοκεῖ σοι γεγονέναι ἄνθρωπος εὐδαίμων· εἰ δὲ μὴ, γεγονέναι, ἢ ἔσεσθαι [1]), ἢ ἀδύνατον ἡγῇ τὸ τοιοῦτον περὶ ἀνθρώπου, ὥσπερ εἴ τις ἀθάνατον ἄνθρωπον λέγοι εἶναι; ἴσως γὰρ ἂν τὴν αὐτὴν ἔχοις δόξαν Ὁμήρῳ, καὶ ἄλλοις συχνοῖς τῶν ποιητῶν; καὶ πῇ ἀποφαίνεται περὶ τούτου Ὅμηρος; ὅπου πεποίηκε τὸν Δία, λέγοντα αὐτὸν, ὡς οὐδὲν φησιν οἰζυρότερον εἶναι [2]) ἀνδρὸς, ἀπάντων τῶν Ζώων, Ὅσσα τε γαῖαν ἐπισπέες τε καὶ ἕρπει. εἰ δοκεῖ σοι τὴν οἰζὺν αὐτὴν κακοδαιμονίαν τινὰ λέγειν [3]); ἔμοιγε. ἕτερος δὲ ποιητὴς, ἐν ἰδίᾳ ἔτους, ἀλλὰ κοινῇ πρὸς θέατρον ἀγωνιζόμενος, εἰσηγεῖται· Τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά· Τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον, χαίροντας καὶ συνη-

1) εἰ δὲ μὴ γεγονέναι, aut si fuisse minus videtur, ἀλλ' ἔσεσθαί γε, saltim futurus esse aliquis videtur? an desperas fieri posse, vt sit aliquis beatus.

2) l. ἐςί.

3) λέγειν] sic recte Ven. λέγεν Mor. alter poeta a Dione designatus est Euripides; e cuius Creſphonte locus hic est desumtus. id quod Morellus iam annotauit. v. Vpton. ad Arrian. diss. Epictet. p. 601, 12.

συνηδομένους, οἴεται δεῖν ἐκπέμπειν. ἔστι ταῦτα. ἦκεν[4]) ὀρθῶς παρήνεσαν; εἰ γὰρ ἅπαξ ἔδει κλαίειν τοὺς ἀνθρώπους διὰ τὴν αὐτυχίαν, καὶ γενομένους πρόσηκεν θρηνεῖν, τῶν ἐσομένων αὐτοῖς κακῶν ἕνεκεν· καὶ τελευτήσαντας, ὅτι πολλὰ καὶ δεινὰ πεπόνθασι, καὶ πάντας[5]), ὅτι εἰσὶν ἐν κακοῖς. ὥστε ὥρα ἂν ἦν κατὰ τὸν ποιητὴν μηδέποτε παύσασθαι ὀδυρομένους, πολὺ μᾶλλον τῶν ἀηδόνων. ἐκείναις μὲν γὰρ τὸ ἦρος λέγονται θρηνεῖν τὸν Ἴτυν· τοὺς δὲ ἀνθρώπους εἰκὸς ἦν θρηνεῖν καὶ θέρους καὶ χειμῶνος. πόσῳ δὲ βέλτιον, τοὺς γενομένους ἐᾶν εὐθὺς ἀπολέσθαι ὑπὸ τῶν κακῶν, ἀλλὰ μὴ σπαργάνοις ἐνειλοῦντας καὶ λούοντας[6]) καὶ τιθηνουμένους, τοσαύτην ἐπιμέλειαν ποιεῖσθαι, ὅπως ἄθλιοι ἔσονται; ἐχθρῶν γὰρ, ὦ Φίλων, οὐδὲ κηδομένων τὸ τοιοῦτο. καὶ νὴ Δία, αὐτοὺς πρώτους ἀπαλλάττειν τοῦ βίου. κινδυνεύουσι γὰρ κατὰ τὸν λόγον τοῦτον μόνοι φρόνιμοι γενέσθαι οἱ γενόμενοι ἐν Κόλχοις ἐκ τῶν τοῦ δρακόντος ὀδόντων, οὓς ἔσπειρεν Ἰάσων. ἦτοι γὰρ, ὅτε πρῶτον ἤσθοντο γεγονότες, εὐθὺς ἀλλήλους ἀνῄρουν, ἕως ὀλίγοι ἔλιπον· βοηθοῦντες ἀλλήλοις δηλονότι, καὶ διὰ

Φιλίαν

4) aut ἦκεν accentu in antepenultimam retracto, vt Anglus iam admonuit, aut ἐκ ἕν duobus vocabulis. *non ergo* — negantis modo, non interrogantis. sed et praeterea παρήνεσεν legi malim; non enim hoc ad Homerum quoque, sed ad solum Euripidem pertinet. Ven. et Mor. dant ἐκεῖν.

5) πάντας] deceptus argutatione nimis subtili Casaubonus mauult ζῶντας, Anglo probante. sed vulgata bene habet; quae conditionem humanae naturae quamcunque complectitur; modo natos, viuentes, mortuos; quos omnes ait esse in malis; alios in malis, quae eos maneant, alios in iis, quae iam nunc tolerent; alios denique miseros ideo esse, quod mala quondam perpessi sint.

6) λούοντας] sic recte Anglus. *lauantes.* λύοντας Ven. et Mor.

φιλίαν τοῦτο πράττοντες, οὐ δι' ἔχθραν [7]). ἀλλὰ τοῦτό γε [8]) ὁ ποιητὴς ληρεῖν ἔμοιγε φαίνεται. τὸ δὲ τοῦ Ὁμήρου ταράττει με, ὅτι οὕτω σαφῶς ὑπὲρ τῶν ἀνθρώπων ταύτην ἀπεφήνατο τὴν γνώμην. καὶ τί ἄτοπον εἴρηκεν; οὐ γὰρ ὡς ἅπαντες οἱ ἄνθρωποι ἄθλιοί εἰσι, φησὶν, ἀλλ' ὅτι οὐδέν ἐστι ζῶον, ἀνθρώπου ἀθλιώτερον· τοῦ [9]) γε ἀθλίου. ὥσπερ, ἀμέλει, καὶ ἡμεῖς φαῖμεν ἄν. ἴσως γάρτοι καὶ μόνος τῶν ἄλλων ὁ ἄνθρωπος κακοδαίμων ἐστὶν, ὥσπερ καὶ εὐδαίμων· ἐπεί τοι καὶ μόνος ἄφρων, ὥσπερ καὶ φρόνιμος. οὔτε γὰρ ἄδικος, οὔτε ἀκόλαστος ἂν εἴη, ἵππος, ἢ σῦς, ἢ λέων· ὥσπερ οὐδὲ ἄμουσος, οὐδὲ ἀγράμματος. ἀλλὰ καλῶς μοι δοκεῖς διωρθῶσθαι [10]) τὸ τοῦ Ὁμήρου, καὶ ἀποκρίνασθαι, ὅτι εἰ ἡγοῦμαι ἄνθρωπον εὐδαίμονα εἶναι [11]). ἆρα ὁ εὐδαίμων ἀγαθός ἐστιν; ὃς δ' ἀγαθός ἐστι, τοῦτον εὐδαίμονα εἶναι φῂς, τὸν δὲ μοχθηρὸν κακοδαίμονα; ἔγωγε. δαίμονα [12]) δὲ ἄλλως ἀγαθὸν λέγεις; πῶς γε; ὥσπερ ἄνθρω-

7) οὐ δι' ἔχθραν] sic quoque Anglus. οὐδ' ἔχθραν Ven. et Mor.

8) malim μὲν. poeta hic appellatus est Euripides. *hoc quidem nugatur Euripides.*

9) τοῦ γε] sic Casaubonus. τοῦ δὲ Ven. et Mor.

10) f. διορθώσασθαι.

11) f. καὶ ἀπόκριναί μοι ὅντινα ἡγῶμαι εὐδαίμονα εἶναι. *responde mihi, quemnam debeam εὐδαίμονα beatum habere.*

12) videtur sic esse distinguendum: δαίμονα δὲ ἄλλως λέγεις ἀγαθόν; sic interrogat Dio amicum, quicum colloquitur. *Putasne daemonem alio modo bonum dici?* occurrit amicus, dubitans, rectene mentem Dionis ceperit, alia interrogatione: ἢ πῶς γε; *quam quonam tandem modo?* respondet Dio? ὥσπερ ἄνθρωπον, ἔτι δὲ μᾶλλον θεόν. *ego volo scire, num tu putes alio quopiam modo daemonem appellari bonum, quam quo homo appellatur, et multo magis deum?* [hoc est, multo magis volo scire, num putes deum alio quopiam modo bonum appellari, quam quo homo bonus appellatur.] ἢ θεοὺς — *aut, num tu putas deos, si boni*

ἄνθρωπον, ἔτι δὲ μᾶλλον θεὸν, ἢ τοὺς θεοὺς, εἴπερ νομίζεις ἀγαθοὺς εἶναι, οὐ δικαίους νομίζεις, καὶ φρονίμους καὶ σώφρονας, καὶ τὰς ἄλλας ἀρετὰς ἔχοντας, ἀλλὰ ἀδίκους καὶ ἀνοήτους καὶ ἀκολάστους; οὐδαμῶς ἔγωγε. οὐκοῦν καὶ δαίμονα, εἴπερ τινὰ ἀγαθὸν ἡγῇ, δῆλον, ὡς δίκαιον ἡγῇ καὶ χρήσιμον, καὶ φρόνιμον; πῶς γὰρ οὔ; ἢ γὰρ ὃν κακόν τινα νομίζεις, πονηρὸν οἴει τὸν αὐτὸν εἶναι καὶ ἄδικον καὶ ἀνόητον; ἀνάγκη πάντως. τί δαί; οὐ τῶν ἀνθρώπων ἕκαστον κατὰ τὸν αὐτοῦ δαίμονα βιοῦν [13]), ὁποῖος ἂν ᾖ ποτε, ἀλλὰ καθ' ἕτερον; οὐδαμῶς καθ' ἕτερον. οὐκοῦν τὸν τυχόντα ἀγαθοῦ δαίμονος ἡγῇ δικαίως ζῆν, καὶ φρονίμως καὶ σωφρόνως· τοιοῦτον γὰρ ὁμολογεῖς εἶναι τὸν δαίμονα αὐτοῦ; πάνυ γε. τὸν δὲ μοχθηροῦ δαίμονος, πονηρῶς καὶ ἀφρόνως, καὶ ἀνοήτως καὶ ἀκολάστως; φαίνεται ταῦτα συμβαίνειν ἐκ τῶν εἰρημένων. νῦν ἄρα ὅστις ἄνθρωπος, νοῦν ἔχων, ἐστὶ δίκαιος καὶ σώφρων, οὗτος εὐδαίμων ἐστὶν ἀγαθῷ δαίμονι συνών· ὅστις δὲ ἀσελγὴς καὶ ἄφρων καὶ πανοῦργος, ἀνάγκη κακοδαίμονα φάσκειν ἐκεῖνον, κακῷ δαίμονι συνεζευγμένον καὶ λατρεύοντα; ἀληθὲς [14]). σοφὸν δὲ ἄλλον τινὰ καλεῖς, ἢ τὸν φρόνιμον ἄνθρωπον, καὶ δίκαιον καὶ ὅσιον καὶ ἀνδρεῖον, φαῦλον δὲ τὸν ἄδικον [15]), καὶ ἀνόσιον καὶ δειλόν; φημί. μὴ τοίνυν

boni sint, esse quidem bonos, non autem iustos, neque prudentes, neque continentes, neque aliis quibuscunque virtutibus praeditos? respondet alter: οὐδαμῶς. *ego vero alia omnia censeo.*

13) post βιοῦν subaudiri debet e praemissis vnum horum trium, ἡγῇ, aut νομίζεις, aut οἴει.

14) ἀληθὲς accentu in vltima. *verum ais.* nam alterum, quod accentum habet in prima, interrogat, (vt dant Ven. et Mor.) *itane vero? ain vero?*

15) f. φαῦλον δὲ φῂς τὸν ἄδικον. alias non bene responderet φημί.

ἔτι θαύμαζε τῶν λεγόντων, ὅτι μόνον καὶ πάντα[16]) φασὶ τὸν σοφὸν εὐδαίμονα εἶναι· τῶν δὲ φαύλων οὐδένα, ὄντινα ἐ κακοδαίμονα· ἐπειδή γε καὶ σοὶ ταῦτα δοκεῖ. τὰ μὲν ἄλλα δοκεῖς μοι ἐ παρὰ δόξαν διειλέχθαι· ὅπως δὲ χρὴ δαιμόνιόν τι πονηρὸν ἡγεῖσθαι καὶ ἄδικον καὶ ἀνόητον, ἐκ ἔχω εἰπεῖν. ἄλλως τε ἐ[17]) πρὸς ὑμῶν τῶν φιλοσόφων ἐστὶν, εἴπερ θεῖον τὸ δαιμόνιον ἡγεῖσθε[18]) τοιοῦτον ὑπολαμβάνειν. ἀλλ' ἐγὼ νῦν ἐ κατὰ τὴν ἐμαυτοῦ δόξαν διείλεγμαι τὰ πολλά, πλήν γε αὐτὸ τοῦτο, ὅτι μοι δοκεῖ πᾶς καὶ μόνος εὐδαίμων ὁ σοφός· τὰ δὲ ἄλλα κατὰ τὴν τῶν πολλῶν ἀνθρώπων, ὅπως μὴ δοκῶ βιάζεσθαι αὐτός. ἐπεὶ[19] φέρε, εἰ ἡγεῖσθε τὸ δαιμόνιον θεῖον καὶ ἀγαθὸν, καὶ μηδενὶ κακῷ μηδενὸς αἴτιον, πῶς φατὲ γίγνεσθαι κακοδαίμονα ἄνθρωπον; ὁπόταν μὴ προσέχωσι, μηδὲ πείθονται τῷ δαιμονίῳ, ἀγαθῷ ὄντι; ὥσπερ εἰ νομίζεις[20]) τοὺς ἰατροὺς ἅπαντας ἀγα-

16) πάντα hic eſt accuſ. ſing. gen. maſcul. non plur. neutrius. *omnem ſapientem, et ſolum ſapientem eſſe εὐδαίμονα.* apparet etiam e proxime oppoſito οὐδένα τῶν φαύλων ὄντινα ἐ κακοδαίμονα. *neminem non malorum eſſe κακοδαίμονα.* margo Mor. dat παντάπασι.

17) ἄλλως τε ἐ] videtur Dioni ſolitum eſſe hoc ἄλλως τε pro *praeterea* vſurpare. videor mihi iam in aliis locis obſeruaſſe, vbi ſuſpicatus ſum, forſitan falſo, leg. εἶναι ἄλλως τε καὶ — quomodo etiam hic naſci queat ſuſpicio leg. εἶναι ἄλλως τε καὶ ὅτι ἐ, *cum aliis de cauſis, tum hac inprimis, quod vos philoſophi non ſoleatis τὸ δαιμόνιον pro iniuſto et fatuo habere, ſiquidem idem cum τῷ θείῳ habetis.*

18) ἡγεῖσθε] ſic interpres et vir doctus in margine Venetae meae. ἡγεῖσθαι Ven. et Mor.

19) ἐπεί] continuatur obiectio verſ. 5. coepta, et in verbo ὑπολαμβάνειν a Dione interpellata. cui Dio occurrit in verbis ὁπόταν: ſic enim leg. pro ἢ ὅταν, vt dant Ven. et Mor.

20) Inſequentia βλέπομεν et φαῖμεν poſtulant etiam hic νομίζομεν aut νομίζοιμεν et βλέποιμεν.

ἀγαθὸς εἶναι, τοῦ τῆς τέχνης, καὶ μηδένος αὐτῶν πονηρὸν ἰατρὸν, μηδὲ βλαβερόν· τῶν δὲ καμνόντων κακῶς τινας πράττοντας βλέπομεν καὶ βλαπτομένους ἐν ταῖς νόσοις, δηλονότι τούτους, ὃς [21]) ἂν φαίμεν μὴ ἐθέλειν τὰ προσταττόμενα ποιεῖν· τοὺς δὲ πειθομένους ἀνάγκη καλῶς ἀπαλλάττειν, καὶ τί ἂν γίνεσθαι ἐκ ἂν θαυμάζειν [22]). ἕτως ἔχειν. πότερον οὖν δοκοῦσί σοι ἐγκρατεῖς εἶναι καὶ σώφρονες καὶ νοῦν ἔχοντες, ἕτοι ἀπειθεῖν ἂν [23]) τοῖς ἰατροῖς τοῖς ἐμπείροις, καὶ τὰ συμφέροντα προστάττουσιν, ἢ τἀναντίον [24]), ἀνόητοι καὶ ἀκόλαστοι. δῆλον, ὅτι ἀκόλαστοι. τί δαί; τῷ δαίμονι χρησῷ ὄντι πείθεσθαι, καὶ ζῆν κατ' ἐκεῖνον, πότερον ἡγῇ τῶν σωφρόνων εἶναι καὶ νοῦν ἐχόντων, ἢ τῶν πονηρῶν καὶ ἀνοήτων; τῶν σωφρόνων. τὸ δέ γε μὴ πείθεσθαι, μηδὲ προσέχειν, ἀλλ' ἐναντίως τῷ θείῳ τε καὶ δαιμονίῳ πράττειν, τῶν κακῶν καὶ ἀγνωμόνων; πῶς δ' ἂν ἄλλως λέγοιμεν; εἶναι δὲ τοὺς πειθομένους τῷ δαιμονίῳ, τοιούτῳ ὄντι, εὐδαίμονας· τοὺς δὲ ἀπειθοῦντας κακοδαίμονας; ἀνάγκη. ἐκεῖ κἀνταῦθα συμβαίνει, τὸν μὲν σοφὸν καὶ φρόνιμον εὐδαίμονα εἶναι πάντα· τὸν δὲ φαῦλον, κακοδαίμονα; ἐχ ὡς τῷ δαιμονίῳ κακῷ ὄντος, ἀλλ' ὡς αὐτὸν ἃ προσέχοντα [25]) ἐκείνῳ χρησῷ ὄντι.

21) ὃς videtur delendum.

22) f. καὶ ταυτὶ ἕτω γίγνεσθαι ἐκ ἂν θαυμάζοιμεν. *et haec sic fieri, non admodum miremur.* respondet alter ἕτως ἔχει. *sic est.* pergit Dio πότερον ἄν.

23) f. ὅσοι ἀπειθῶσιν ἄν.

24) post τἀναντίον addit Mor. οἱ, quo Veneta caret. *si qui medicis peritis et salutaria praecipientibus repugnent, utrum sibi videntur continentes et sapientes esse, an stulti et intemperantes?* respondet *utique stulti et intemperantes.*

25) προσέχοντα] προσχόντα Ven. et Mor.

ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ.

ΛΟΓΟΣ ΚΔ'.

Οἱ πολλοὶ ἄνθρωποι καθόλε μὲν ἀδὲν περφροντίκασιν, ὁποίας χρὴ εἶναι, ἀδὲ ὅ, τι βέλτιςον ἀνθρώπῳ ἐςὶν, ἕ ἕνεκα χρὴ πάντα τἄλλα πράττειν· ἰδίᾳ δὲ ἐσπεδάκασιν, οἱ μὲν ἱππεύειν, οἱ δὲ ςρατηγεῖν, οἱ δὲ περὶ ἀγωνίαν, οἱ δὲ περὶ μεσικὴν, ἄλλοι περὶ γεωργίαν, ἄλλοι δύνασθαι λέγειν [1]). ἥντινα δὲ χρείαν αὐτοῖς ἔχει τέτων ἕκαςον, ἢ τί τὸ ὄφελος ἐξ αὐτᾶ γίγνοιτ' ἄν, ἐκ ἴσασιν, ἀδὲ ζητᾶσιν. τοιγαρᾶν ἱππεῖς μὲν ἀγαθοὶ γίγνονται τινὲς, εἰ ἄν φιλοπονῶσιν αὐτοὶ καὶ ἐκμελετῶσι, καὶ παλαῖσαι ἄλλοι ἄλλων ἱκανώτεροι, καὶ πυκτεῦσαι, καὶ δραμεῖν, καὶ τἄλλα ἀγωνίσασθαι, καὶ τᾷ σπόρᾳ μὴ διαμαρτεῖν, καὶ πλέοντες μὴ διαφθεῖραι τὴν ναῦν, καὶ κατὰ μεσικὴν [2]) τινες ἐπίσαναι βέλτιον ἑτέρων· ἀγαθὸν δὲ ἄνδρα καὶ φρόνιμον, καὶ αὐτὸ τᾶτο εἰδότα, ὅστις ἐςὶν ὁ χρηςὸς ἀνὴρ καὶ νᾶν ἔχων, ἀδένα τέτων ἐςὶν εὑρεῖν. αὐτίκα [3]), περὶ τὸ λέγειν πάντες ἐσπεδάκασι, καὶ πολλοὶ τῶν ἐλευθέρων καὶ φιλοτίμων εἶναι δεκέντων· οἱ μὲν, ὥςε ἐν δικαςηρίοις ἀγωνίζεσθαι [4]) καὶ πρὸς δᾶμον λέγοντες, διὰ δὲ τᾶτο ἰσχύειν πλέον τῶν ἄλλων, καὶ πράττειν ὅ, τι ἂν αὐτοὶ θέλωσιν· οἱ δὲ τῆς δόξης ἕνεκα τῆς ἀπὸ τᾶ πράγματος, ὅπως δεινοὶ νομίζωνται [5]). τινὲς δὲ αὐτῆς φασι τῆς ἐμπειρίας ἐπιθυμεῖν. καὶ τέ-

τῶν

1) malim ἄλλοι περὶ τὸ δύνασθαι λέγειν.
2) f. καὶ τὰ κατὰ τὴν μεσικὴν. *artem muſicam.*
3) αὐτίκα] *exempli cauſa.*
4) ἀγωνίζεσθαι] ſententia poſtulat εὐδοκιμεῖν, vel tale quid.
5) νομίζωνται] ſic Veneta. νομίζονται Mor.

των οἱ μὲν λέγοντες, οἱ δὲ συγγεράφοντες μόνον, ὡς ἔφη τις τῶν πρότερον μεθόρια εἶναι τῶν φιλοσόφων καὶ τῶν πολιτικῶν· ὅ, τι δὲ συμφέρει πράττειν [6]), ἢ πρὸς ὅ, τι ἡ δόξα αὐτοῖς ὠφέλιμος, ἢ τί τῆς ἐμπειρίας ταύτης ὄφελος, ἐκ σκοπῶσιν. ἐγὼ δὲ φημι, πάντα ταῦτα, δίχα τῆς τοιαύτης ἐπιμελείας καὶ ζητήσεως, ἐλίγου ἄξια εἶναι· τῷ δὲ ἐκεῖνόεν νοήσαντι καὶ ξυνέντι, τοῦτο καὶ τὸ λέγειν καὶ τὸ πραττειν, καὶ ὅ, τι ἂν ἄλλο ποιῇ, ξυμφέρον τε [7]) εἶναι, καὶ ἐπ' ἀγαθῷ γίγνεσθαι· ἐπεὶ τό γε ἐπαινεῖσθαι καθ' ἑαυτὸ ὑπὸ ἀνθρώπων ἀνοήτων, οἷοί [8]) περ εἰσὶν οἱ πολλοὶ, ἢ τὸ δύνασθαι ἐν τοῖς τοιούτοις, ἢ τὸ ἡδέως ζῆν, οὐδὲν ἂν διαφέροι πρὸς εὐδαιμονίαν, τῷ ψέγεσθαι, καὶ μηδὲν ἰσχύειν, καὶ ἐπιπόνως ζῆν.

6) f. συμφέρει ταῦτα πράττειν.
7) ξυμφέρον τε] sic vir doctus in Ven. mea, sed Ven. et Mor. dant ξυμφέροντα.
8) margo Mor. dat ὅσοι.

ΠΕΡΙ ΤΟΥ ΔΑΙΜΟΝΟΣ.

ΛΟΓΟΣ ΚΕ'.

Φασὶ τὸν φιλόσοφον λέγειν, ὡς ἄρα εὐδαίμων εἴη μόνος ὁ σοφός. λέγουσι γάρ. ἆρ' ἔν ἀληθῆ σοι δοκοῦσι λέγειν; ἔμοιγε. τί οὖν οὐχὶ καὶ μοὶ ἔφρασας τὴν διάνοιαν αὐτῶν; ἐὰν ἐμοὶ σὺ πρῶτον εἴπῃς, ὅ, τι νομίζεις τὸν δαίμονα εἶναι. ἐγὼ μὲν τὸ κρατοῦν ἑκάστου, καὶ καθ' ὃν ζῇ τῶν ἀνθρώπων ἕκαστος, ὁμοίως μὲν ἐλεύθερος, ὁμοίως δὲ δοῦλος, καὶ πλούσιος καὶ πένης, καὶ βασιλεὺς καὶ ἰδιώτης, καὶ πράττειν ὅσα ἂν πράττοι, τοῦτο δὲ ἐν αὐτῷ νομίζεις εἶναι τῷ ἀνθρώπῳ,

πω, τὸ κρατῶν ἑκάστε, ὃ δαίμονα καλεῖς, ἢ ἔξωθεν ὄν, ἄρχοντα [1]) καὶ κύριον τῦ ἀνθρώπε; ἔξωθεν ἔγωγε. ἆρά γε ἄνθρωπον ἕτερον; ἔστι γάρ πε ἄνθρωπος, ὁ μέν τινος κρατῶν [2]· ὁ δὲ παλῶν, καὶ ἄγων ὅπη τε καὶ ὅπως αὐτὸς βέλεται, ἤτοι πειθοῖ, ἢ βίᾳ, ἢ καὶ ἀμφοτέροις. λέγω δὲ ἀδὲν [3]) ἄγνωσον, ἀλλὰ τὲς τε δημαγωγὲς, οἷς πάντα πείθονται αἱ πόλεις. καὶ ὅπως ἂν ἐκεῖνοι ἐξηγῶνται καὶ συμβελεύωσιν, ἕτω πράττεσιν· ἐάν τε πολεμεῖν συμβελεύωσιν, ἐάν τε εἰρήνην ἄγειν, ἐάν τε τείχη οἰκοδομεῖσθαι, ἐάν τε τριήρεις κατασκευάζεσθαι, ἐάν τε θυσίας θύειν, ἐάν τε ἐκβάλλειν τινὰς αὐτῶν, ἢ χρήματα ἀφαιρεῖσθαι, ἢ καὶ ἀποσφάττειν. καὶ τὲς βασιλέας [4]) καὶ τὲς τυράννες, ὁμοίως δὲ καὶ τὲς δεσπότας τῶν οἰκετῶν, ὅσοι ἀργύριον καταβαλόντες, ἢ ἄλλῳ τῳ τρόπῳ κέκτηνταί τινα· ὡς ἂν εἰ Λυκῦργόν τε [5]), Λακεδαιμονίων δαίμονα καλεῖς [6]). ἐκείνε γὰρ κελεύσαντος, ἔτι νῦν μαστιγῦνται Λακεδαιμόνιοι, καὶ θυρεαυλῦσι, καὶ γυμνητεύσι, καὶ ἄλλα πολλὰ καὶ χαλεπὰ δόξαντα ἂν ἑτέροις ἀνέχονται· καὶ Πεισίστρατον, Ἀθηναίων [7]) πρότερον. οἶσθα γὰρ δήπε, ὅτι, Πεισιστράτε προστάττοντος καὶ ἄρχοντος, εἰς μὲν τὴν πόλιν ἐ κατῳκεσαν ὁ δῆμος, ἐν δὲ

1) malim ἄρχον τε.
2) f. ὁ μὲν ἑνός τινος κρατῶν.
3) ἀδὲν] sic rectè Ven. *nil ignotum.* animaduertit idem Morellus, sed ed. Mor. dat ἀδὲ.
4) καὶ τὲς βασιλέας cohaeret cum τὲς τε δημαγωγὲς vers. 7. *oratores designa, regesque atque tyrannos.*
5) τε] huic respondet καὶ vers. antep. *Lycurgumque — et Pisistratum.* Ven. et Mor. dant γε.
6) malim ἐκάλεις. *ut si appellas Lycurgum δαίμονα Lacedaemoniorum.* aut καλεῖς in opt.
7) f. ἀθηναίων τῶν πρότερον *Athenienſium priorum.* qui sic appellantur respectu ad eos habito, qui ὕστερον (p. 521, 5.) fuêre aetate Themistoclis.

δὲ τῇ χώρᾳ διατρίβαντες γεωργοὶ ἐγίγνοντο· καὶ τὴν Ἀττικὴν, πρότερον ψιλὴν καὶ ἄδενδρον ὖσαν, ἐλαίαις κατεφύτευσαν, Πεισιστράτου προσάξαντος· καὶ τἆλλα, ὅπως ἐκεῖνος ἐβούλετο, ὅτως ἔπραττον. ὕστερον δὲ ἴσως, ἄλλος τε φαίη τις ἄν, καὶ Θεμιστοκλέα καὶ Περικλέα γενέσθαι. ἐ γὰρ ἀνήκοος τυγχάνεις ὅπῳ περὶ τοῖν ἀνδροῖν· τὸν [8]) μὲν, ὅτι ναυμαχεῖν Ἀθηναίους ἠνάγκασε πεζὸς πρότερον ὄν-τας, καὶ τὴν χώραν καὶ τὴν πόλιν προεμένους τοῖς βαρβάροις, καὶ θεῶν ἱερὰ καὶ τάφους προγόνων, ἐν ταῖς ναυσὶ ποιήσασθαι πάντα τὰ σφέτερα πράγ-ματα· καὶ ὕστερον τὸν Πειραιᾶ τειχίσαι, πλειόνων ἢ ἐννενήκοντα σταδίων, καὶ ἄλλα τοιαῦτα προσέτα-ξεν αὐτοῖς, ὧν τὰ μὲν ἐπὶ τοσοῦτον ἔπραττον, ἐφ' ὅ-σον ἐκεῖνος παρῆν, τὰ δὲ καὶ φυγόντος αὐτοῦ καὶ τελευτήσαντος. καὶ μετὰ ταῦτα ἄλλους τινὰς ἴσως δαίμονας φήσεις γεγονέναι τῶν Ἀθηναίων, οἷον Ἀλ-κιβιάδην τὸν Κλεινίου καὶ Νικίαν καὶ Κλέωνα [9]) καὶ Ὑπέρβολον· τοὺς μέν τινας ἐπιεικεῖς τυχὸν, τοὺς δὲ πάνυ πονηρούς τε καὶ χαλεπούς. ἔτι δὲ Κῦρον, Περ-σῶν ἀπὸ χρόνου τινὸς [10]) δαίμονα γενέσθαι, καὶ [11]) βασιλικόν τινα καὶ ἐλευθέριον, ὃς δουλεύοντας αὐτοὺς Μήδοις πρότερον εἰς ἐλευθερίαν ἀφείλετο, καὶ πάντων ἐπέφηνε δεσπότας τῶν κατὰ τὴν Ἀσίαν. ἔτι δὲ Καμβύσην καὶ Δαρεῖον, καὶ τοὺς ἄλλους τοὺς ἐφεξῆς. τὸν μὲν Καμβύσην, τά τε χρήματα αὐτῶν

8) τὸν] malim τοῦ, quia περὶ praeceſſit, ſiue ſerues punctum, vel comma potius, ſiue tollas. deinde oblitus eſt Dio de Pericle, quod coeperat, aliquid commemorare.

9) ſic recte Veneta. Κλείωνα Mor.

10) ἀπὸ χρόνου τινὸς dubito probumne ſit pro ἐπὶ χρόνον τινὰ, *ad tempus aliquod, aliquamdiu.* Reperi tamen, ſi bene memini, ſimiles alios locos.

11) καὶ aut eſt delendum, aut leg. καὶ ταῦτα *et id quidem*, aut καὶ τοῦτον *et eum quidem regalem quendam.*

ἀναλίσκοντας, καὶ αὐτὰς καταπολεμοῦντας, καὶ στρατείας προστάσσοντας χαλεπὰς καὶ συνεχεῖς, καὶ μηδέποτε ἐῶντας οἴκοι μένειν· τὸν δὲ Δαρεῖον, χρήματα μὲν ὡς οἷόν τε πολλὰ συναγαγόντα, καὶ τῇ χώρᾳ γενόμενον αἴτιον, ὅπως ἐργασθήσεται, πολέμους δὲ καὶ τοῦτον ἀναγκάζοντα πολεμεῖν, χαλεπὰς καὶ ἐπικινδύνους· καθάπερ, οἶμαι, τὸν πρὸς Σκύθας, καὶ τὸν πρὸς Ἀθηναίους. ἔτω δὲ καὶ τὸν Νεμαῖον μὲν Ῥωμαῖοι τυχὸν ἂν λέγοιεν αὐτῶν δαίμονα, Καρχηδόνιοι δὲ Ἄννωνα καὶ Ἀννίβαν, Μακεδόνες δὲ Ἀλέξανδρον ἢ Φίλιππον, ὃς Μακεδόνας, ταπεινὰς ὄντας καὶ ἀσθενεῖς [12]), καὶ τῷ πατρὸς αὐτῷ παραχωρήσαντος Ὀλυνθίοις τῆς ἀρχῆς, ἰσχυρὰς ἐποίησε καὶ πολεμικὰς, καὶ μικρῷ δεῖν ἁπάσης Εὐρώπης ἐγκρατεῖς. Ἀλέξανδρος δὲ ὕστερον μετ' ἐκεῖνον εἰς τὴν Ἀσίαν ἐξαγαγὼν, ἅμα μὲν πλουσιωτάτους ἁπάντων ἀνθρώπων ἀπέδειξεν, ἅμα δὲ πενιχροτάτους, καὶ ἅμα μὲν ἰσχυρὰς, ἅμα δὲ ἀσθενεῖς, Φυγάδας τε καὶ βασιλέας τὰς αὐτὰς, Αἴγυπτον μὲν [13]) καὶ Βαβυλῶνα, καὶ Σῦσα καὶ Ἐκβάτανα προσθεὶς, Αἰγὰς δὲ, καὶ Πέλλαν, καὶ Δῖον ἀφελόμενος, Καρχηδονίους δὲ Ἄννων μὲν ἀντὶ Τυρίων ἐποίησε Λίβυας, καὶ Λιβύην κατοικεῖν ἀντὶ Φοινίκης, καὶ χρήματα πολλὰ κεκτῆσθαι, καὶ συχνὰ ἐμπόρια καὶ λιμένας καὶ τριήρεις, καὶ πολλῆς μὲν γῆς, πολλῆς δὲ θαλάττης ἄρχειν. Ἀννίβας δὲ πρὸς τῇ Λιβύῃ, καὶ τῆς Ἰταλίας αὐτῆς κρατῆσαι παρέσχεν, ἑπτακαίδεκα ἔτη. αὖθις δὲ αἴτιος ἐγένετο, ἀναστάτους γενέσθαι, καὶ τὴν πόλιν αὐτὴν μεταβαλεῖν [14]) ὑπὸ Ῥωμαίων, πολλὰς δὲ πρότερον τῶν

12) post ἀσθενεῖς videtur παραλαβὼν deesse.

13) μὲν] *Aegyptum quidem.* Ven. et Mor. dant δὲ.

14) μεταβαλεῖν si bene habet, haec est sententia: *Hannibal in causa fuit, vt Carthaginiensium vrbs a Romanis e sedibus antiquis in aliud longinquius solum transferretur.*

possit

τῶν Ῥωμαίων ἀπολέσας[15]), καὶ μικρὸν ἀποσχὼν αὐτὴν ἑλεῖν τὴν Ῥώμην, ἐ βεληθεὶς δὲ, ὥς φασι, διὰ τὰς οἴκοι ἀντιστασιώτας. καὶ τάχιστον ἴσως, ἔτε Καρχηδονίοις, ἔτε Ῥωμαίοις, ἀγαθὸν δαίμονα προσήκειν αὐτὸν καλέσαι[16]). Νῦμᾶς δὲ τὴν Ῥώμην παραλαβὼν μικρὰν καὶ ἄδοξον, ἔτι δὲ ἐν ἀλλοτρίᾳ χώρᾳ διῳκισμένην[17]), καὶ συγκλυδας καὶ πονηρὰς ἔχουσαν τὰς ἐνοικοῦντας, ἔτι δὲ τοῖς προσχώροις πᾶσιν ἐχθρὰς, καὶ πένητας, καὶ ἀγρίας καὶ ἐπικινδύνως ζῶντας, τὴν Ῥωμύλε χαλεπωτάτην γῆν[18]) αὐτὰς βεβαίως ἔχειν ἐποίησε, καὶ φίλας εἶναι τοῖς περιοίκοις, καὶ νόμους καὶ θεὰς καὶ πολιτείαν κατεστήσατο, καὶ πάσης αἰτίας ὑπῆρξε τῆς λεγομένης[19]) ὕστερον εὐδαιμονίας. ἔχοιμι δ' ἂν καὶ περὶ τῶν ἄλλων λέγειν πόλεων καὶ γενῶν καὶ ἀνθρώπων τὸν αὐτὸν τρόπον, εὖ τε καὶ κακῶς πραξάντων, διά τινας ἄρχοντας αὐτῶν γενομένας καὶ προστάτας· ἀλλὰ ἱκανῶς οἶμαι τὴν ἐμαυτῷ διάνοιαν ἐνδεδεῖχθαι. εἰ δὴ τούτους καλεῖς δαίμονας ὡς[20]) τῶν ὑπ' αὐτοῖς καὶ δι' ὧς ἕκαστος βέλτιον ἢ χεῖρον ἔπραξεν, ἡδέως ἂν ἀκούοιμι.

possit quoque ἀποβαλεῖν legi. *vt vrbem suam per Romanos amitterent.*

15) Ven. et Mor. dant ἀπωλέσας.

16) f. προσήκει καλέσαι, sine αὐτὸν, nescio quoque, an satius sit καὶ τάχιστον μὲν ἴσως legi.

17) f. ἐν ἀλλοτρίᾳ χώρᾳ νὴ Δί' ᾠκισμένην. *in alieno adeo solo fundatam.* illud νὴ δία est *adeo.* διοικίζειν abhorret a sententia huius loci; est enim, *ciues per loca dissita dispergere.*

18) χαλεπωτάτη γῆ videtur solum esse h. l. quod ab incolis aegerrime teneri et ab inimicorum insultibus defendi queat.

19) malim γενομένης.

20) ὡς et καὶ delenda sunt. *num ergo δαίμονας eorum, qui parent, appelles bos, per quos vnusquisque* —

ΠΕΡΙ ΤΟΥ ΒΟΥΛΕΥΕΣΘΑΙ.

ΛΟΓΟΣ ΚΣΤ'. 1).

Πάλαι 2) καθήμενος καὶ ὑμῶν ἀκέων, ὅτε πολλαῖς ὥραις διετρίβετε παρά τινι τῶν πολιτικῶν βουλευόμενοι περί τινων πραγμάτων, σκοπῶ παρ' ἐμαυτῷ καὶ ἀναζητῶ, τί ἐστι τοῦτο, ὃ φατε βουλεύεσθαι, ἢ ὅ, τι αὐτὸ δὴ τὸ βουλεύεσθαι; ἆρα γὰρ περὶ τούτου τὶς βουλεύεται τῶν πράγματος, ὃ οἶδέ τε καὶ ἐπίσταται; ἃ δοκεῖ μοι, περὶ ὧν τις οἶδε, περὶ τούτων βουλεύεσθαι, ἀλλὰ ἤδη εἰδέναι. τί δαί; ἃ ἂν οἶδεν, ἃδὲ ἃ 3) ἐπίσταται, περὶ τούτων 4) ὥσπερ διαμαντευόμενος καὶ ἀναζητῶν γνῶναι ἃ ἂν οἶδεν; ἃ δοκεῖ μοι ἀδὲ ἕτως 5) δύνασθαι βουλεύεσθαι περὶ τούτων, περὶ ὧν ἀδεμίαν ἐπιστήμην ἔχει. ἆρ' ἔν, μὴ τοιόνδε τι ᾖ τὸ βουλεύεσθαι, ὥστε τινὰ μὲν εἰδέναι, τινὰ δὲ ἀγνοεῖν, καὶ τοῦτο ᾖ, περὶ ἃ βουλεύονται ἄνθρωποι; ἵνα δὲ μᾶλλον τῷ λόγῳ παρακολουθήσωμεν, δι' εἰκόνος τινὸς ἐπιδείξομεν αὐτό. ὑποτιθέμεθα γὰρ, εἰδέναι μὲν ἡμᾶς Χαρικλέα καὶ Χαρίξενον, ὅπου δὲ οἰκοῦσιν, ἀγνοεῖν· ἐσχάζεσθαι δὲ περὶ τῆς οἰκίας αὐτοῖν. μὴ ἆρα τοῦτο ᾖ τὸ βουλεύεσθαι, ὥστε ἐξ ὧν οἴδαμεν, ἐκ τούτων καὶ περὶ ὧν ἀδέπω ἴσμεν τεκμαίρεσθαι,

1) Fieri queat, vt haec disputatio nata sit e loco p. 275, 40. ed. Mor. vt XXV. quae est de genio, e XXIII. et XXIV. videntur exstitisse.

2) Constructio hic est paulo perturbatior, quae debebat haec esse: πάλαι σκοπῶ παρ' ἐμαυτῷ, καθήμενος, καὶ ἀναζητῶ, τί ἐστι τοῦτο, ὃ φατε βουλεύεσθαι, ἀκέων ὑμῶν, ὅτε —

3) ἃ posterius videtur delendum.

4) post περὶ τούτων videtur βουλεύεται deesse.

5) malim ἕτος, scil. ὁ διαμαντευόμενος καὶ ἀναζητῶν.

ρεσθαι, καθάπερ οἱ ἀρτιάζοντες; ἴσασι μὲν, ὅτι [6]) ἐν ταῖς χερσὶν οἱ προπαλεσάμενοι αὐτοὺς ἔχουσιν χρῆμα· ἐ μέντοι, ὅτι τοσοῦτον· ἀλλ' ἐνίοτε καὶ ἐπέτυχον εἰπεῖν, καὶ ὕστω δὴ κρατήσαντες ἀπηλλάγησαν. μὴ ἄρα καὶ τὸ βουλεύεσθαι τοιοῦτον ἦ; ὥστε εἰδέναι μέν τι, τὰ δὲ ἄλλα, ὅσα ποιήσομεν, σοχαζόμενοι, ἐνίοτε αὐτομάτως ἐπετύχομεν, καὶ μετ' εὐδαιμονίας ἐπιστήμης; φέρε γὰρ, ἴδωμεν, ὁποῖόν ἐστι τὸ πρᾶγμα. τὰ ὄντα, καὶ ἔστι, καὶ ἐγένετο, καὶ ὑφέστηκε· τὰ δὲ μὴ ὄντα, ἔτε ἐστὶ, ἔτε ἐγένετο, ἔτε ὑφέστηκεν. ἃ δεῖ μὲν ἔν περὶ τῶν ἤδη ὄντων [7]) ἔστι γὰρ καὶ εὖ ἔχον λος περὶ τῶν γεγονότων καὶ ὑφεστηκότων βουλεύεσθαι· τί γὰρ καὶ βουλευσόμεθα περὶ αὐτῶν, ἵνα μὴ γένηται τὰ γεγονότα; ἃ δύναται μὴ γεγονέναι. ἀλλ' ἵνα μὴ ᾖ τὰ ὄντα; πῶς δυνάμεθα ποιῆσαι μὴ ὄντως, ὡς ἐγένετο. ἀλλ' ἵνα μὴ ὑφεστήκοι; πᾶν τὸ ὂν ὑπόστασιν ἔχει. ἀλλὰ περὶ μὲν τῶν ὄντων τί ἄν τις καὶ βουλεύοιτο; περὶ τίνων ἔν βουλεύομεθα; περὶ τῶν μελλόντων, ὡς ὁ λόγος ἀποδείκνυσι· τὰ δὲ μέλλοντα, οὔτε ἐστὶν, οὔτε γέγονεν, οὔτε ὑφέστηκε. περὶ τῶν οὐκ ὄντων οὖν τίς δύναται βουλεύεσθαι καὶ περὶ τῶν οὐχ ὑφεστώτων; τὸ γὰρ μήπω ὂν, οὐδέ ἐστι. περὶ δὲ τοῦ οὐκ ὄντος οὐδεὶς δύναται βουλεύεσθαι. οὐδεὶς ἄρα δύναται βουλεύεσθαι περὶ τῶν μελλόντων. ἡ γὰρ βουλὴ ἐπί τινι ἐστί. τὸ δὲ μέλλον οὐκ ἔστιν. οὐκ ἄρα οὐδὲ τὸ βουλεύεσθαι περὶ τῶν μελλόντων δύναιτ' ἂν εἶναι. τί ἔν; ὁ ἄμουσος καὶ ὁ ἀνεπιστήμων ἁρμονίας, καὶ μέλους καὶ ῥυθμοῦ, καὶ τῆς τούτων τάξεως καὶ κινήσεως, δύναιτ' ἂν καλῶς βουλεύσασθαι περὶ μουσικῆς, καὶ τῶν ἔργων τῶν κατὰ μουσικήν; οὐδαμῶς. τί δαί; ὁ γεωμετρίας ἄπειρος, περὶ σώματος καὶ μήκους καὶ πλάτους

6) ὅτι] sic Ven. *quod. ὅ, τι* Mor.
7) post ὄντων videtur βουλεύσασθαι deesse.

πλάτες καὶ βάθες βυλευόμενος ἂν, καλῶς βυλεύοιτο; οὐδὲ ἕτος. τί δαί; ὁ νεὼς ἄρχων οὐκ ἐπιστάμενος, περὶ νεὼς ἀρχῆς καὶ ἔργων κυβερνητικῶν ἱκανῶς ἂν βυλευόμενος βυλεύοιτο; οὐδὲ ἕτος. ἆρα ἔστις οὐδὲν ἱκανῶς περὶ οὐδενὸς οὐδὲ πεπαίδευται, οὐδὲ οἶδεν, ἕτος οὐδὲ βυλεύεσθαι [8] περὶ τύτε ἱκανός ἐσι. χρὴ ἂν ἐπιμελεῖσθαι μάλισα φρονήσεως καὶ παιδείας, ἵνα ἡμῖν ᾖ ῥᾴδιον περὶ ἁπάντων πραγμάτων βυλεύεσθαι, καὶ εἰδέναι τὸ συνοῖσον ἑκάσῃ βυλῇ, καὶ μὴ διαμαρτάνειν. ἀλλὰ καθάπερ οἱ μουσικοὶ καὶ οἱ γεωμέτραι καὶ οἱ κυβερνῆται περὶ τῶν ἰδίων ἔργων ἀτεχνῶς σκέπτονται, καὶ ἅπαντες οἱ περί τι δεινοὶ, καὶ συνεῖναι περὶ αὐτῶν εἰσιν [9]· ἕτω καὶ ἡμεῖς περὶ τῶν ἰδίων ἱκανοὶ ὦμεν βυλεύεσθαι καὶ λέγειν. ἄτοπον γὰρ, τὺς μὲν ἀρτιάζοντας σύνεσιν ἐπιδεικνυσθαι, καὶ ταῦτα εἰκάζοντας καὶ μὴ ἑῶντας τὸ, περὶ ὃ ἀποφαίνονται· τὺς δὲ περὶ πραγμάτων βυλευομένης, μήτε ξύνεσιν, μήτε ἐπιστήμην, μήτε ἐμπειρίαν ἐπιδεικνυσθαι, καὶ τύτων ἐνίοτε τῶν μεγίστων ὄντων· περὶ ὁμονοίας καὶ φιλίας οἰκιῶν, καὶ πόλεων, καὶ περὶ εἰρήνης καὶ πολέμε, καὶ περὶ κατοικισμῦ καὶ περὶ κατοικήσεως [10], περί τε παίδων, καὶ περὶ γυναικῶν.

8) margo Mor. dat βυλύσασθαι.

9) f. καὶ συνιέναι περὶ αὐτῶν ἱκανοί εἰσιν.

10) περὶ κατοικισμῦ καὶ περὶ κατοικήσεως] si bene habet hic locus, neque posterius membrum prioris est varians lectio, debent haec duo vocabula κατοικισμὸς et κατοίκησις ita accipi, vt accepit interpres, illud *de coloniarum deductione*, hoc *de iure coloniarum*.

ΔΙΑΤΡΙΒΗ ΠΕΡΙ ΤΩΝ ΕΝ ΣΥΜΠΟΣΙΩ.

ΛΟΓΟΣ ΚΖ'.

